# ARISTOTELIS

# OPERA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

ACCEDUNT

INDICES SYLBURGIANI.

TOMUS III.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXVII.

83-B14338-1

10

# ARISTOTELIS

METEOROLOGICA
DE MUNDO
DE ANIMA
DE SENSU ET SENSILI
DE MEMORIA
DE SOMNO
DE INSOMNIIS
DE DIVINAT. PER SOMN.
DE LONGITUDINE VITÆ
DE JUVENTUTE ETC.
DE RESPIRATIONE
DE SPIRITU

EX RECENSIONE

## IMMANUELIS BEKKERI.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
MDCCCXXXVII.

# INDEX CODICUM.

E. Parisiensis Regius 1853.
F. Laurentianus 87 7.
H. Vaticanus 1027.
L. Vaticanus 253.
M. Urbinas 37.
N. Vaticanus 258.
O. Vaticanus 316.
P. Vaticanus 1339.
Q. Marcianus 200.
R. Parisiensis 1102.
S. Laurentianus 81 1.
T. Vaticanus 256.
U. Vaticanus 260.
V. Vaticanus 266.
W. Vaticanus 1026.
X. Ambrosianus H. 50.
Y. Vaticanus 261.
Z. Oxoniensis collegii corporis Christi W. A. 2 7.
$B^{a}$. Palatinus Vaticanus 162.
$G^{a}$. Marcianus 212.
$H^{a}$. Marcianus 214.
c. Parisiensis 1861.
f. Marcianus 206.
i. Parisiensis 2032.
l. Parisiensis 1860.
m. Parisiensis 1921.
n. Urbinas 39.
o. Coislinianus 166.

# [a]ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ Α.

ΠΕΡΙ μὲν οὖν τῶν πρώτων αἰτίων τῆς φύσεως καὶ περὶ
πάσης κινήσεως φυσικῆς, ἔτι [b]δὲ περὶ τῶν κατὰ τὴν ἄνω φο-
ρὰν διακεκοσμημένων ἄστρων καὶ περὶ τῶν στοιχείων τῶν
σωματικῶν, πόσα τε καὶ ποῖα, καὶ τῆς εἰς ἄλληλα μεταβο-
λῆς, καὶ περὶ γενέσεως καὶ φθορᾶς τῆς κοινῆς εἴρηται πρότε-
ρον. Λοιπὸν δ' ἐστὶ μέρος τῆς μεθόδου ταύτης ἔτι θεωρη- 2
τέον, ὃ πάντες οἱ πρότερον [c]μετεωρολογίαν ἐκάλουν· ταῦτα
δ' ἐστὶν ὅσα συμβαίνει κατὰ φύσιν μέν, ἀτακτοτέραν μέντοι
τῆς τοῦ πρώτου στοιχείου τῶν [d]σωμάτων, περὶ τὸν γειτνι-
ῶντα μάλιστα τόπον [e]τῇ φορᾷ τῶν ἄστρων, οἷον περί τε
γάλακτος καὶ κομητῶν καὶ τῶν ἐκπυρουμένων καὶ κινουμένων
φασμάτων, ὅσα τε θείημεν ἂν ἀέρος εἶναι κοινὰ πάθη καὶ
ὕδατος, ἔτι δὲ γῆς ὅσα [f]εἴδη καὶ μέρη καὶ πάθη τῶν μερῶν,
ἐξ ὧν περί τε πνευμάτων καὶ σεισμῶν θεωρήσαιμεν ἂν τὰς
αἰτίας καὶ περὶ πάντων τῶν γινομένων κατὰ τὰς κινήσεις τὰς
τούτων· ἐν οἷς τὰ μὲν ἀποροῦμεν, τῶν δ' ἐφαπτόμεθά τινα
τρόπον· ἔτι δὲ περὶ κεραυνῶν πτώσεως καὶ τυφώνων καὶ
πρηστήρων καὶ τῶν ἄλλων τῶν ἐγκυκλίων, ὅσα διὰ πῆξιν
[g]συμβαίνει [h]πάθη τῶν αὐτῶν σωμάτων τούτων. Διελθόντες 3
δὲ περὶ τούτων, θεωρήσωμεν εἴ τι δυνάμεθα κατὰ τὸν ὑφηγη-
μένον τρόπον [i]ἀποδοῦναι περὶ ζῴων καὶ φυτῶν, καθόλου τε
καὶ χωρίς· σχεδὸν γὰρ τούτων ῥηθέντων τέλος ἂν εἴη γεγο-
νὸς τῆς ἐξ ἀρχῆς ἡμῖν προαιρέσεως πάσης. Ὧδ' οὖν ἀρξάμε-
νοι λέγωμεν περὶ αὐτῶν πρῶτον.

Codices E.F.H.N. [a] μετεώρων N. [b] δὲ τῶν περὶ τὴν ἄνω E. [c] μετεωρολόγον N. [d] σωμάτων κινήσεως περὶ H.N. [e] τῇ φορᾷ] διαφορὰ pr. N, τῇ φορᾷ τῇ E. [f] μέρη καὶ εἴδη F.H.N. [g] συμβαίνει om. N. [h] πάθη om. H.N. [i] ἀποδοῦναι om. E.

2 [k] Ἐπεὶ γὰρ διώρισται πρότερον ἡμῖν μία μὲν ἀρχὴ τῶν
σωμάτων, ἐξ ὧν συνέστηκεν ἡ τῶν [l] ἐγκυκλίως φερομένων σω-
μάτων φύσις, ἄλλα δὲ [m] τέτταρα σώματα διὰ τὰς [m] τέττα-
ρας ἀρχάς, ὧν διπλῆν [n] εἶναί φαμεν τὴν κίνησιν, τὴν μὲν ἀπὸ
τοῦ μέσου, τὴν δ' ἐπὶ τὸ μέσον· [o] τεττάρων δ' ὄντων τούτων,
πυρὸς καὶ ἀέρος καὶ ὕδατος καὶ γῆς, τὸ μὲν [p] τούτοις πᾶσιν
ἐπιπολάζον εἶναι πῦρ, τὸ δ' ὑφιστάμενον γῆν· δύο δ' ἃ
πρὸς αὐτὰ τούτοις ἀνάλογον ἔχει· ἀὴρ μὲν γὰρ πυρὸς [q] ἐγ-
2 γυτάτω τῶν ἄλλων, ὕδωρ δὲ γῆς. Ὁ δὴ περὶ τὴν γῆν
[r] ὅλος κόσμος ἐκ τούτων συνέστηκε τῶν σωμάτων· περὶ [s] ὃν
τὰ συμβαίνοντα πάθη φαμὲν εἶναι ληπτέον. Ἔστι δ' ἐξ
ἀνάγκης συνεχής πως οὗτος ταῖς [t] ἄνω φοραῖς, ὥστε πᾶσαν
αὐτοῦ τὴν δύναμιν κυβερνᾶσθαι ἐκεῖθεν· ὅθεν γὰρ ἡ τῆς κινή-
3 σεως ἀρχὴ πᾶσιν, ἐκείνην [v] αἰτίαν νομιστέον πρώτην. Πρὸς
δὲ τούτοις ἡ μὲν ἀΐδιος καὶ τέλος οὐκ ἔχουσα τῷ τόπῳ τῆς
κινήσεως, ἀλλ' ἀεὶ ἐν τέλει· ταῦτα δὲ τὰ σώματα [w] πάντα
4 [x] πεπερασμένους διέστηκε τόπους ἀλλήλων. Ὥστε τῶν συμ-
βαινόντων περὶ αὐτὸν πῦρ μὲν καὶ γῆν καὶ τὰ συγγενῆ τού-
τοις ὡς ἐν ὕλης εἴδει τῶν γιγνομένων αἴτια χρὴ νομίζειν (τὸ
γὰρ ὑποκείμενον καὶ πάσχον τοῦτον προσαγορεύομεν τὸν
τρόπον), τὸ δ' οὕτως αἴτιον [y] ὡς ὅθεν ἡ τῆς κινήσεως ἀρχή,
τὴν τῶν ἀεὶ κινουμένων αἰτιατέον δύναμιν.

3 Ἀναλαβόντες οὖν τὰς ἐξ ἀρχῆς θέσεις καὶ τοὺς [z] εἰρημένους
πρότερον διορισμούς, λέγωμεν περί τε τῆς τοῦ γάλακτος
φαντασίας καὶ περὶ κομητῶν καὶ τῶν ἄλλων ὅσα τυγχάνει
2 τούτοις [a] ὄντα συγγενῆ. Φαμὲν [b] δὲ πῦρ [c] καὶ ἀέρα καὶ ὕδωρ
καὶ γῆν [d] γίνεσθαι ἐξ ἀλλήλων, καὶ ἕκαστον ἐν ἑκάστῳ ὑπάρ-
χειν τούτων δυνάμει, ὥσπερ καὶ τῶν ἄλλων οἷς ἕν τι καὶ ταὐ-
3 τὸν ὑπόκειται, εἰς [e] ὃ ἀναλύονται ἔσχατον. Πρῶτον μὲν

[k] ἐπειδὴ F.H.N. [l] ἐγκύκλω E. [m] τέσσαρα et τέσσαρας H. [n] φαμὲν εἶναι F.H. [o] τεσσάρων N. [p] πᾶσι τούτοις F.H.N. [q] ἐγγύτατα E. [r] ὅλην E. [s] οὗ F.H.N. [t] ἄνωθεν E. [v] αἰτίαν εἶναι ν. H.N. [w] πάντα om. E. [x] πεπερασμένοις τόποις διέστηκεν F. [y] ὡς om. F.H N. [z] ὡρισμένους F. [a] συγγενῆ ὄντα H.N. [b] δὴ F.H N. [c] καὶ ἀέρα om. E. [d] γενέσθαι E. [e] ὃ] ὃ δὴ F.H.N.

οὖν ἀπορήσειεν ἄν τις περὶ τὸν καλούμενον ἀέρα, τίνα τε χρὴ
λαβεῖν αὐτοῦ τὴν φύσιν ἐν τῷ περιέχοντι κόσμῳ τὴν γῆν,
καὶ πῶς [f] ἔχει τάξει πρὸς τἆλλα τὰ λεγόμενα στοιχεῖα τῶν
σωμάτων. Ὁ μὲν [g] γὰρ τῆς γῆς ὄγκος πηλίκος ἄν [h] τις εἴη 4
πρὸς τὰ περιέχοντα μεγέθη, οὐκ ἄδηλον· ἤδη γὰρ ὦπται
διὰ τῶν ἀστρολογικῶν θεωρημάτων ἡμῖν ὅτι πολὺ καὶ τῶν
ἄστρων ἐνίων ἐλάττων ἐστίν. Ὕδατος δὲ φύσιν συνεστη- 5
κυῖαν καὶ ἀφωρισμένην οὔθ' ὁρῶμεν οὔτ' ἐνδέχεται κεχωρι-
σμένην εἶναι τοῦ περὶ τὴν γῆν ἱδρυμένου σώματος, οἷον [i] τῶν
τε φανερῶν, θαλάττης καὶ ποταμῶν, κἂν εἴ τι κατὰ βάθους
[k] ἄδηλον ἡμῖν ἐστίν. Τὸ δὲ δὴ μεταξὺ τῆς γῆς τε καὶ τῶν 6
ἐσχάτων ἄστρων πότερον ἕν τι νομιστέον εἶναι σῶμα τὴν
φύσιν ἢ πλείω, κἂν εἰ πλείω, πόσα, καὶ μέχρι ποῦ διώρισται
τοῖς τόποις; Ἡμῖν μὲν οὖν εἴρηται [l] πρότερον περὶ τοῦ 7
πρώτου στοιχείου, ποιόν τι τὴν δύναμίν ἐστι, καὶ [m] ὅτι πᾶς
ὁ περὶ τὰς ἄνω φορὰς κόσμος ἐκείνου τοῦ σώματος πλήρης
ἐστίν. Καὶ ταύτην τὴν δόξαν οὐ μόνον ἡμεῖς τυγχάνομεν 8
ἔχοντες, φαίνεται δ' ἀρχαία τις ὑπόληψις αὕτη καὶ τῶν πρό-
τερον ἀνθρώπων· ὁ γὰρ λεγόμενος αἰθὴρ παλαιὰν εἴληφε
τὴν προσηγορίαν, [n] ἣν Ἀναξαγόρας μὲν τῷ πυρὶ ταὐτὸν ἡγή-
σασθαί μοι δοκεῖ σημαίνειν· τά τε γὰρ ἄνω πλήρη πυρὸς
εἶναι, κἀκεῖνος τὴν ἐκεῖ δύναμιν αἰθέρα καλεῖν ἐνόμισεν, τοῦτο
[o] μὲν ὀρθῶς νομίσας· τὸ γὰρ ἀεὶ σῶμα θέον [p] ἅμα θεῖόν [q] τι
τὴν [r] φύσιν ἐοίκασιν ὑπολαβεῖν, καὶ διώρισαν ὀνομάζειν αἰ-
θέρα τὸ τοιοῦτον ὡς ὂν οὐθενὶ τῶν παρ' ἡμῖν τὸ αὐτό· οὐ
γὰρ δὴ φήσομεν ἅπαξ οὐδὲ δὶς οὐδ' ὀλιγάκις τὰς αὐτὰς
δόξας ἀνακυκλεῖν γινομένας ἐν τοῖς ἀνθρώποις, ἀλλ' ἀπειρά-
κις. Ὅσοι δὲ πῦρ καθαρὸν εἶναί φασι τὸ περιέχον καὶ μὴ 9
μόνον τὰ φερόμενα σώματα, τὸ δὲ μεταξὺ γῆς καὶ τῶν
ἄστρων ἀέρα, θεωρήσαντες [s] ἂν τὰ [t] νῦν δεικνύμενα διὰ τῶν

[f] ἔχει τῇ τάξει F.H.N. [g] γὰρ δὴ τῆς F.H.N. [h] τις om. F. [i] τε τῶν E. [k] ἡμῖν ἐστὶν ἄδηλον H.N. [l] πρότερον καὶ περὶ H.N. [m] ὅτι] διότι E.H.N. [n] ἣν] ἣν καὶ H.N. [o] μὲν] μὴ pr. N. [p] ἅμα καὶ θεῖον F.H.N. [q] τι om. E. [r] φύσιν τε ἐοίκασιν E. [s] ἂν om. F. [t] νῦν om. H.N.

μαθημάτων ἱκανῶς ἴσως ἂν ἐπαύσαντο [v] ταύτης τῆς παιδικῆς
δόξης· λίαν γὰρ ἁπλοῦν τὸ νομίζειν μικρὸν [w] τοῖς μεγέθεσιν
εἶναι τῶν φερομένων ἕκαστον, ὅτι φαίνεται θεωροῦσιν [x] ἡμῖν
10 ἐντεῦθεν οὕτως. Εἴρηται μὲν οὖν καὶ πρότερον ἐν τοῖς περὶ
τὸν ἄνω τόπον θεωρήμασι, [y] λέγωμεν δὲ τὸν αὐτὸν λόγον καὶ
νῦν. Εἰ γὰρ τά τε διαστήματα πλήρη πυρὸς καὶ τὰ σώματα
συνέστηκεν ἐκ πυρός, πάλαι φροῦδον [z] ἂν ἦν ἕκαστον τῶν ἄλ-
11 λων στοιχείων. Ἀλλὰ μὴν οὐδ' ἀέρος γε μόνου πλήρη· πολὺ
γὰρ ἂν ὑπερβάλλοι τὴν ἰσότητα τῆς κοινῆς ἀναλογίας πρὸς
[a] τὰ σύστοιχα σώματα, κἂν εἰ δύο στοιχείων πλήρης ὁ με-
ταξὺ [b] γῆς καὶ οὐρανοῦ τόπος ἐστίν· οὐδὲν γὰρ ὡς εἰπεῖν μό-
ριον ὁ τῆς γῆς ἐστὶν ὄγκος, ἐν ᾧ συνείληπται πᾶν καὶ τὸ
12 τοῦ ὕδατος πλῆθος, [c] πρὸς τὸ περιέχον μέγεθος. Ὁρῶμεν δ'
οὐκ ἐν τοσούτῳ μεγέθει γινομένην τὴν ὑπεροχὴν τῶν ὄγκων,
ὅταν ἐξ ὕδατος ἀὴρ [d] γένηται διακριθέντος ἢ πῦρ ἐξ ἀέρος.
Ἀνάγκη δὲ τὸν αὐτὸν [e] ἔχειν λόγον ὃν ἔχει [f] τὸ τοσονδὶ καὶ
[g] μικρὸν ὕδωρ [h] πρὸς τὸν ἐξ αὐτοῦ γινόμενον ἀέρα, καὶ τὸν
13 πάντα πρὸς τὸ πᾶν ὕδωρ. Διαφέρει δ' οὐθὲν οὐδ' εἴ τις [i] φή-
σει μὲν μὴ γίγνεσθαι ταῦτα ἐξ ἀλλήλων, ἴσα μέντοι τὴν δύ-
ναμιν εἶναι· κατὰ [k] τοῦτον γὰρ τὸν τρόπον ἀνάγκη τὴν ἰσό-
τητα τῆς δυνάμεως ὑπάρχειν τοῖς μεγέθεσιν αὐτῶν, ὥσπερ
14 κἂν εἰ γιγνόμενα ἐξ ἀλλήλων ὑπῆρχεν. Ὅτι μὲν οὖν οὔτ'
ἀὴρ οὔτε πῦρ συμπεπλήρωκε μόνον τὸν μεταξὺ τόπον, φανε-
ρόν ἐστιν· λοιπὸν δὲ [l] διαπορήσαντας εἰπεῖν πῶς τέτακται
[m] τὰ δύο πρὸς τὴν τοῦ πρώτου σώματος θέσιν, λέγω δὲ ἀέρα
[n] τε καὶ πῦρ, καὶ διὰ τίν' αἰτίαν ἡ θερμότης ἀπὸ τῶν ἄνωθεν
15 ἄστρων [o] γίγνεται τοῖς περὶ τὴν γῆν τόποις. Περὶ ἀέρος
οὖν εἰπόντες πρῶτον, ὥσπερ ὑπεθέμεθα, [p] λέγωμεν οὕτω καὶ

[v] ταύτης om. E.N, ante δόξης ponit F. [w] τοῖς om. F. [x] ἐντεῦθεν ἡμῖν F. [y] λέγομεν H.N. [z] ἦν ἕκαστον ἂν N. [a] σύστοιχα τὰ σώματα N. [b] γῆς τε καὶ F.H.N. [c] πρὸς] εἰς E. [d] γίνηται N. [e] λόγον ἔχειν ὅσον F.H.N. [f] τὸ om. H.N. [g] μικρὸν] μὴ pr. N. [h] πρὸς τὸν πάντα corr. E. [i] φησὶ E.F, φαίη N. [k] γὰρ τοῦτον N. [l] διαπορήσαντ' F. [m] τὰ om. pr. N. [n] τε om. F. [o] γίνεσθαι N. [p] λέγομεν E.

*περὶ τούτων πάλιν.* Εἰ *δὴ γίνεται ὕδωρ ἐξ ἀέρος καὶ ἀὴρ ἐξ ὕδατος, διὰ τίνα ποτ' αἰτίαν οὐ συνίσταται νέφη κατὰ τὸν ἄνω τόπον;* Π*ροσῆκε γὰρ μᾶλλον ὅσῳ* [q]*πορρώτερον ὁ τόπος* 16
*τῆς γῆς καὶ ψυχρότερος, διὰ τὸ μήθ' οὕτω πλησίον εἶναι τῶν ἄστρων θερμῶν ὄντων μήτε τῶν ἀπὸ τῆς γῆς ἀνακλωμένων ἀκτίνων, αἳ κωλύουσι πλησίον τῆς γῆς συνίστασθαι, διακρίνουσαι τῇ θερμότητι τὰς συστάσεις· γίνονται γὰρ* [r]*αἱ τῶν νεφῶν ἀθροίσεις, οὗ λήγουσιν ἤδη διὰ τὸ σχίζεσθαι εἰς ἀχανὲς αἱ ἀκτῖνες.* Ἢ *οὖν οὐκ ἐξ ἅπαντος τοῦ ἀέρος* [s]*ὕδωρ* 17
*πέφυκεν γίγνεσθαι, ἢ εἰ ὁμοίως ἐξ ἅπαντος, ὁ περὶ τὴν γῆν οὐ μόνον ἀήρ ἐστιν ἀλλ' οἷον ἀτμίς, διὸ πάλιν συνίσταται εἰς ὕδωρ.* Ἀ*λλὰ μὴν εἰ τοσοῦτος ὢν ὁ ἀὴρ ἅπας ἀτμίς* 18
*ἐστιν, δόξειεν ἂν πολὺ ὑπερβάλλειν ἡ τοῦ ἀέρος φύσις καὶ ἡ τοῦ ὕδατος, εἴπερ τά τε διαστήματα τῶν ἄνω πλήρη ἐστὶ σώματός τινος, καὶ πυρὸς μὲν ἀδύνατον διὰ τὸ κατεξηράνθαι ἂν τἆλλα πάντα, λείπεται δ' ἀέρος καὶ* [t]*τοῦ περὶ τὴν γῆν* [v]*πᾶσαν ὕδατος· ἡ γὰρ ἀτμὶς ὕδατος διάκρισίς ἐστιν.* Π*ερὶ* 19
*μὲν οὖν τούτων ἠπορήσθω τοῦτον τὸν τρόπον· ἡμεῖς δὲ* [w]*λέγωμεν ἅμα πρός τε τὰ λεχθησόμενα διορίζοντες καὶ πρὸς τὰ νῦν εἰρημένα.* Τ*ὸ μὲν γὰρ ἄνω καὶ μέχρι σελή-* 20
*νης* [x]*ἕτερον εἶναι σῶμά φαμεν πυρός τε καὶ ἀέρος, οὐ μὴν ἀλλ' ἐν αὐτῷ γε τὸ μὲν καθαρώτερον εἶναι τὸ δ' ἧττον εἰλικρινές, καὶ διαφορὰς ἔχειν, καὶ μάλιστα ᾗ καταλήγει πρὸς τὸν ἀέρα καὶ πρὸς τὸν περὶ τὴν γῆν κόσμον.* Φ*ερομένου δὲ* 21
*τοῦ πρώτου στοιχείου κύκλῳ καὶ τῶν ἐν αὐτῷ σωμάτων,* [y]*τὸ προσεχὲς ἀεὶ τοῦ κάτω κόσμου καὶ σώματος τῇ κινήσει διακρινόμενον ἐκπυροῦται καὶ ποιεῖ τὴν θερμότητα.* Δ*εῖ δὲ νοεῖν οὕτως καὶ ἐντεῦθεν ἀρξαμένους.* Τ*ὸ γὰρ* [z]*ὑπὸ τὴν* 22
*ἄνω περιφορὰν σῶμα οἷον ὕλη τις οὖσα καὶ δυνάμει θερμὴ καὶ* [a]*ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρά, καὶ ὅσα ἄλλα τούτοις ἀκο-*

[q] *πορρώτερος* F.H. [r] *αἱ*] *καὶ* E. [s] *πέφυκεν ὕδωρ* F.H.N. [t] *τοῦ*] *τὸ* E. [v] *ἅπασαν* F.H.N. [w] *λέγομεν* E.H. [x] *εἶναι σῶμα ἕτερον* F. [y] *τὸ*] *τότε* N. [z] *ὑπὸ*] *ὑπὲρ* pr. N. [a] *ξηρὰ καὶ ψυχρὰ* E.

λουθεῖ πάθη, γίγνεται τοιαύτη καὶ ἔστιν ὑπὸ κινήσεώς [b] τε
καὶ ἀκινησίας, [c] ἧς τὴν αἰτίαν καὶ τὴν ἀρχὴν εἰρήκαμεν πρό-
23 τερον. ˈἘπὶ μὲν οὖν τοῦ μέσου καὶ περὶ τὸ μέσον τὸ βα-
ρύτατόν [d] ἐστι καὶ ψυχρότατον ἀποκεκριμένον, γῆ καὶ ὕδωρ·
περὶ δὲ ταῦτα [e] καὶ [f] τὰ ἐχόμενα τούτων, ἀήρ τε καὶ ὃ διὰ
συνήθειαν καλοῦμεν πῦρ, οὐκ ἔστι δὲ πῦρ· ὑπερβολὴ [g] γὰρ
24 θερμοῦ καὶ οἷον ζέσις ἐστὶ τὸ πῦρ. ˈἈλλὰ δεῖ νοῆσαι τοῦ
λεγομένου ὑφ' ἡμῶν ἀέρος τὸ μὲν περὶ τὴν γῆν οἷον ὑγρὸν
καὶ [h] θερμὸν εἶναι διὰ τὸ ἀτμίζειν [i] τε καὶ ἀναθυμίασιν
[k] ἔχειν γῆς, τὸ δ' ὑπὲρ τοῦτο θερμὸν ἤδη καὶ ξηρόν. ˈἜστι
[l] γὰρ ἀτμίδος μὲν φύσις ὑγρὸν καὶ [h] θερμόν, ἀναθυμιάσεως
δὲ θερμὸν καὶ ξηρόν· καὶ ἔστιν ἀτμὶς μὲν δυνάμει οἷον
25 ὕδωρ, ἀναθυμίασις δὲ δυνάμει οἷον πῦρ. Τοῦ μὲν οὖν ἐν τῷ
ἄνω τόπῳ μὴ συνίστασθαι νέφη ταύτην ὑποληπτέον αἰτίαν
εἶναι, ὅτι οὐκ [m] ἔνεστιν ἀὴρ μόνον ἀλλὰ μᾶλλον [n] οἷον πῦρ.
26 Οὐθὲν δὲ κωλύει καὶ διὰ τὴν κύκλῳ φορὰν κωλύεσθαι συνί-
στασθαι νέφη ἐν τῷ [o] ἄνω τόπῳ· ῥεῖν γὰρ ἀναγκαῖον ἅπαντα
τὸν κύκλῳ ἀέρα, ὅσος μὴ ἐντὸς τῆς περιφερείας λαμβάνεται
τῆς ἀπαρτιζούσης ὥστε τὴν γῆν σφαιροειδῆ εἶναι πᾶσαν·
φαίνεται [p] γὰρ καὶ νῦν ἡ τῶν ἀνέμων γένεσις ἐν τοῖς λιμνά-
ζουσι [q] τόποις τῆς γῆς, καὶ οὐχ [r] ὑπερβάλλειν τὰ πνεύματα
τῶν [s] ὑψηλοτάτων [t] ὀρῶν. ˈῬεῖ δὲ κύκλῳ διὰ [v] τὸ συνεφέλ-
27 κεσθαι τῇ τοῦ ὅλου περιφορᾷ. Τὸ μὲν γὰρ πῦρ τῷ ἄνω
στοιχείῳ, τῷ δὲ πυρὶ ὁ ἀὴρ συνεχής ἐστιν· ὥστε καὶ διὰ τὴν
κίνησιν κωλύεται συγκρίνεσθαι εἰς ὕδωρ, ἀλλ' ἀεὶ ὅ τι ἂν
βαρύνηται μόριον αὐτοῦ [w] ἐκθλιβομένου εἰς τὸν ἄνω τόπον
τοῦ θερμοῦ κάτω φέρεται, ἄλλα δ' ἐν μέρει συναναφέρεται
τῷ ἀναθυμιωμένῳ πυρί, καὶ οὕτω συνεχῶς τὸ μὲν ἀέρος δια-

[b] τε om. F.H.N. [c] ἧς καὶ τὴν H.N. [d] καὶ ψυχρότατόν ἐστιν H.N. [e] καὶ ante τὰ om. H. [f] τὰ om. F.N. [g] γὰρ ἀέρος θερμοῦ E. [h] θερμὸν] ψυχρὸν pr. E. [i] τε om. N. [k] γῆς ἔχειν F. [l] ἀτμίδος μὲν γὰρ F.H.N. [m] ἔστιν E. [n] οἷον om. E. [o] ἀνωτέρω F.H.N. [p] γὰρ om. E. [q] τόποις corr. E. [r] ὑπερβάλλει N. [s] ὑψηλῶν F.H.N. [t] ὀρέων E.F. [v] τὸ σ.] τοῦ σ. E. [w] ἐκθλ.] ἐκ τοῦ θλιβομένου E.

*τελεῖ πλῆρες ὂν τὸ δὲ πυρός, καὶ ἀεὶ ἄλλο καὶ ἄλλο γίνεται
ἕκαστον αὐτῶν. Περὶ μὲν οὖν τοῦ μὴ γίγνεσθαι νέφη μηδ'* 28
*εἰς ὕδωρ σύγκρισιν, καὶ πῶς δεῖ λαβεῖν περὶ τοῦ μεταξὺ τό-
που τῶν ἄστρων καὶ τῆς γῆς, [x] καὶ τίνος ἐστὶ σώματος πλή-
ρης, τοσαῦτα εἰρήσθω. Περὶ δὲ τῆς γιγνομένης θερμότη-* 29
*τος, ἣν παρέχεται ὁ ἥλιος, μᾶλλον μὲν καθ' [y] αὑτὸ καὶ
ἀκριβῶς ἐν τοῖς περὶ αἰσθήσεως προσήκει λέγειν (πάθος
γάρ τι [z] τὸ θερμὸν αἰσθήσεώς ἐστιν), διὰ τίνα δ' αἰτίαν γί-
γνεται μὴ τοιούτων ὄντων ἐκείνων τὴν φύσιν, λεκτέον καὶ
νῦν. Ὁρῶμεν δὴ τὴν κίνησιν ὅτι δύναται διακρίνειν τὸν ἀέρα* 30
*καὶ ἐκπυροῦν, ὥστε καὶ τὰ φερόμενα τηκόμενα φαίνεσθαι
πολλάκις. [a] Τὸ μὲν οὖν γίγνεσθαι τὴν ἀλέαν καὶ τὴν θερ-
μότητα ἱκανή ἐστι παρασκευάζειν καὶ ἡ τοῦ ἡλίου φορὰ μό-
νον· ταχεῖάν τε γὰρ δεῖ καὶ μὴ πόρρω εἶναι. Ἡ μὲν οὖν* 31
*τῶν ἄστρων ταχεῖα μὲν πόρρω δέ, ἡ δὲ τῆς σελήνης κάτω
μὲν βραδεῖα δέ· ἡ δὲ τοῦ ἡλίου ἄμφω ταῦτ' ἔχει ἱκανῶς. Τὸ
δὲ [b] μάλιστα γίγνεσθαι ἅμα τῷ ἡλίῳ αὐτῷ τὴν θερμότητα
εὔλογον, λαμβάνοντας τὸ ὅμοιον ἐκ τῶν παρ' ἡμῖν [c] γιγνομέ-
νων· καὶ γὰρ ἐνταῦθα τῶν βίᾳ φερομένων ὁ πλησιάζων ἀὴρ
[d] μάλιστα γίνεται θερμός. Καὶ τοῦτ' εὐλόγως συμβαίνει·* 32
*μάλιστα γὰρ ἡ τοῦ στερεοῦ διακρίνει κίνησις αὐτόν. Διά τε
ταύτην οὖν τὴν αἰτίαν ἀφικνεῖται πρὸς [e] τόνδε τὸν τόπον ἡ
θερμότης, καὶ διὰ [f] τὸ τὸ περιέχον πῦρ τὸν ἀέρα διαρραίνε-
σθαι τῇ κινήσει πολλάκις καὶ φέρεσθαι [g] κάτω βίᾳ. Σημεῖον* 33
*δ' ἱκανὸν ὅτι ὁ ἄνω τόπος οὐκ ἔστι θερμὸς οὐδ' [h] ἐκπεπυρω-
μένος καὶ αἱ διαδρομαὶ τῶν [i] ἀστέρων. Ἐκεῖ μὲν γὰρ οὐ
γίνονται, κάτω δέ· καίτοι τὰ μᾶλλον κινούμενα [k] καὶ [l] μᾶλ-
λον ἐκπυροῦται. Πρὸς δὲ τούτοις ὁ ἥλιος, ὅσπερ μάλιστα
εἶναι [m] δοκεῖ θερμός, φαίνεται λευκὸς ἀλλ' οὐ πυρώδης ὤν.*

*Τούτων δὲ διωρισμένων, λέγωμεν [n] διὰ τίν' αἰτίαν αἵ τε* 4

[x] *καὶ* ante *τίνος* om. E. [y] *ἑαυτὸ* H.N. [z] *τὸ* om. E. [a] *τοῦ* E.F.
[b] *μᾶλλον* F.N. [c] *γενομένων* F.N. [d] *μᾶλλον* F. [e] *τὸν αὐτὸν τόπον* N.
[f] *τὸ* alterum om. H. [g] *βίᾳ κάτω* F.H.N. [h] *πεπυρωμένος* E.
[i] *ἄστρων* E. [k] *καὶ μᾶλλον*] *καὶ θᾶττον* F.H.N. [l] *ἐκπυροῦται θᾶττον.
πρὸς* F. [m] *δοκεῖ* om. pr. N. [n] *δι' ἣν* E.

φλόγες αἱ [o] καόμεναι φαίνονται περὶ τὸν οὐρανὸν καὶ οἱ δια-
θέοντες ἀστέρες καὶ οἱ καλούμενοι ὑπό τινων δαλοὶ καὶ αἶγες·
ταῦτα γὰρ πάντ' ἐστὶ τὸ αὐτὸ [p] καὶ διὰ τὴν αὐτὴν αἰτίαν,
διαφέρει δὲ τῷ μᾶλλον καὶ ἧττον. Ἀρχὴ δ' ἐστὶ καὶ τού-
2 των καὶ πολλῶν ἄλλων ἥδε. Θερμαινομένης γὰρ τῆς γῆς
ὑπὸ τοῦ ἡλίου τὴν ἀναθυμίασιν ἀναγκαῖον γίνεσθαι μὴ ἁπλῆν,
ὥς τινες οἴονται, ἀλλὰ διπλῆν, τὴν μὲν ἀτμιδωδεστέραν τὴν
δὲ πνευματωδεστέραν, τὴν μὲν τοῦ ἐν τῇ γῇ καὶ ἐπὶ τῇ γῇ
ὑγροῦ ἀτμίδα, τὴν δ' αὐτῆς τῆς γῆς οὔσης ξηρᾶς καπνώδη·
καὶ τούτων τὴν μὲν πνευματώδη ἐπιπολάζειν διὰ τὸ θερμόν,
3 τὴν δ' ὑγροτέραν ὑφίστασθαι διὰ τὸ βάρος. Καὶ διὰ ταῦτα
τοῦτον τὸν τρόπον κεκόσμηται [q] τὸ πέριξ· πρῶτον μὲν γὰρ
ὑπὸ τὴν ἐγκύκλιον φοράν ἐστι τὸ θερμὸν καὶ ξηρόν, ὃ [r] λέ-
γομεν πῦρ (ἀνώνυμον γὰρ τὸ κοινὸν ἐπὶ πάσης τῆς καπνώ-
δους διακρίσεως· [s] ὅμως δὲ διὰ τὸ μάλιστα πεφυκέναι τὸ τοι-
οῦτον [t] ἐκκάεσθαι τῶν σωμάτων οὕτως ἀναγκαῖον χρῆσθαι
4 τοῖς ὀνόμασιν), ὑπὸ δὲ ταύτην τὴν φύσιν ἀήρ. [v] Δεῖ δὲ νοῆ-
σαι οἷον ὑπέκκαυμα τοῦτο [w] ὃ νῦν [x] εἴπομεν πῦρ περιτετάσθαι
τῆς περὶ τὴν γῆν σφαίρας ἔσχατον, ὥστε μικρᾶς κινήσεως
τυχὸν [t] ἐκκάεσθαι πολλάκις ὥσπερ [y] τὸν καπνόν· ἔστι γὰρ
ἡ φλὸξ πνεύματος ξηροῦ ζέσις. Ἧι ἂν οὖν μάλιστα εὐκαί-
ρως [z] ἔχῃ ἡ τοιαύτη σύστασις, ὅταν ὑπὸ τῆς περιφορᾶς κι-
5 νηθῇ πως, ἐκκαίεται. Διαφέρει [a] δ' ἤδη κατὰ τὴν τοῦ ὑπεκ-
καύματος θέσιν [b] ἢ τὸ [c] πλῆθος· ἂν μὲν γὰρ πλάτος ἔχῃ καὶ
μῆκος τὸ ὑπέκκαυμα, πολλάκις ὁρᾶται καιομένη φλὸξ ὥσπερ
ἐν ἀρούρᾳ καιομένης καλάμης, [d] ἂν δὲ [e] κατὰ μῆκος μόνον, οἱ
6 καλούμενοι δαλοὶ καὶ αἶγες καὶ ἀστέρες. [f] Καὶ ἐὰν μὲν
[g] πλέον τὸ ὑπέκκαυμα ᾖ κατὰ τὸ μῆκος [h] ἢ τὸ πλάτος, ὅταν
μὲν [i] οἷον ἀποσπινθηρίζῃ [k] ἅμα καιόμενον (τοῦτο δὲ γίνεται

[o] καιόμεναι F.H.N. [p] καὶ et αὐτὴν om. E. [q] τὸ] τὰ E. [r] λέγωμεν E.F. [s] ὁμοίως E. [t] ἐκκαίεσθαι F.H.N. [v] δεῖ δὲ] δεῖ δὴ F.N. [w] ὃ om. E. [x] εἴπωμεν pr. E. [y] τὸν om. E. [z] ἔχει N. [a] δ' ἤδη] οὖν δὴ E. [b] ἢ τὸ corr. E. [c] πλῆθος αὐτοῦ ἂν F. [d] ἐὰν F.H.N. [e] κατὰ τὸ μῆκος N. [f] καὶ ἐὰν μὲν] ἐὰν μὲν οὖν N. [g] πλεῖον F.H.N. [h] ἢ] καὶ E. [i] οἷον] οὖν N. [k] ἅμα δὲ καιόμενον E.

διὰ τὸ παρεκπυροῦσθαι, κατὰ μικρὰ μέν, [l] ἐπ' ἀρχὴν δέ), αἶξ
καλεῖται, ὅταν δ' ἄνευ τούτου τοῦ πάθους, δαλός. Ἐὰν δὲ 7
τὰ [m] μήκη τῆς ἀναθυμιάσεως κατὰ μικρά τε καὶ [n] πολλαχῇ
διεσπαρμένα ᾖ καὶ ὁμοίως κατὰ πλάτος [o] καὶ βάθος, οἱ δο-
κοῦντες ἀστέρες διάττειν γίνονται. Ὁτὲ μὲν οὖν ὑπὸ τῆς 8
κινήσεως ἡ ἀναθυμίασις ἐκκαιομένη γεννᾷ αὐτά· ὁτὲ δὲ ὑπὸ
τοῦ διὰ τὴν ψύξιν συνισταμένου ἀέρος [p] ἐκκρούεται καὶ ἐκθλί-
βεται τὸ θερμόν, διὸ καὶ ἔοικεν ἡ φορὰ ῥίψει μᾶλλον αὐτῶν,
ἀλλ' οὐκ ἐκκαύσει. Ἀπορήσειε γὰρ ἄν τις πότερον ὥσπερ 9
ἡ ὑπὸ τοὺς λύχνους τιθεμένη ἀναθυμίασις ἀπὸ τῆς ἄνωθεν
φλογὸς [q] ἅπτει τὸν [r] κάτωθεν λύχνον (θαυμαστὴ γὰρ καὶ
τούτου ἡ ταχυτής ἐστι καὶ ὁμοία ῥίψει, ἀλλ' οὐχ ὡς ἄλλου
καὶ ἄλλου γιγνομένου πυρός), ἢ [s] ῥίψεις τοῦ [t] αὐτοῦ σώματός
εἰσιν αἱ διαδρομαί. Ἔοικε [v] δὲ [w] δὴ δι' ἄμφω· καὶ [w] γὰρ 10
οὕτως ὡς [x] ἡ ἀπὸ τοῦ λύχνου γίνεται, καὶ ἔνια διὰ [y] τὸ ἐκθλί-
βεσθαι ῥιπτεῖται, ὥσπερ οἱ ἐκ τῶν δακτύλων πυρῆνες, ὥστε
καὶ [z] εἰς θάλασσαν καὶ εἰς γῆν φαίνεσθαι πίπτοντα, καὶ
νύκτωρ καὶ μεθ' [a] ἡμέραν αἰθρίας οὔσης. Κάτω δὲ ῥιπτεῖται 11
διὰ τὸ τὴν πύκνωσιν [b] εἰς τὸ κάτω [c] ῥέπειν [d] τὴν ἀπωθοῦσαν.
Διὸ καὶ οἱ κεραυνοὶ κάτω πίπτουσιν· πάντων γὰρ τούτων ἡ
γένεσις οὐκ ἔκκαυσις ἀλλ' ἔκκρισις ὑπὸ τῆς ἐκθλίψεώς ἐστιν,
ἐπεὶ κατὰ φύσιν γε τὸ θερμὸν ἄνω πέφυκε φέρεσθαι πᾶν.
Ὅσα μὲν οὖν [e] μᾶλλον ἐν τῷ ἀνωτάτω τόπῳ συνίσταται, 12
[f] ἐκκαομένης γίγνεται τῆς ἀναθυμιάσεως, ὅσα δὲ κατώτερον,
ἐκκρινομένης διὰ τὸ συνιέναι καὶ ψύχεσθαι τὴν ὑγροτέραν
ἀναθυμίασιν· αὕτη γὰρ συνιοῦσα καὶ κάτω ῥέπουσα ἀπωθεῖ
πυκνουμένη καὶ κάτω ποιεῖ τοῦ θερμοῦ τὴν ῥίψιν· διὰ δὲ τὴν
θέσιν τῆς ἀναθυμιάσεως, ὅπως ἂν [g] τύχῃ κειμένη τοῦ πλάτους

[l] ἐπάρχειν F. [m] μήκη] μέρη N. [n] πολλὰ ἢ διεσπαρμένα pr. E. [o] καὶ κατὰ βάθος H.N. [p] ἐκκρ. καὶ ἐκθλ.] ἐκθλίβεται καὶ ἐκκρίνεται F.H.N. [q] ἅπτει] ἐπὶ E. [r] κάτω F.N. [s] ῥίψις N. [t] αὐτοῦ τινὸς σώματος F.H.N. [v] δὲ om. F.H.N. [w] δὴ et γὰρ om. E. [x] ἡ] εἰ F. [y] τοῦ F. [z] εἰς τὴν γῆν καὶ εἰς τὴν θάλατταν F.H.N. [a] ἡμέραν καὶ αἰθρίας E.F.H.N. [b] εἰς τὸ om. N. [c] ῥίπτειν E. [d] τὴν] εἰς γῆν E. [e] μᾶλλον om. E. [f] ἐκκαιομένης F.H.N. [g] τύχοι N.

καὶ τοῦ βάθους, οὕτω φέρεται [h] ἢ ἄνω ἢ κάτω ἢ εἰς τὸ πλά-
13 γιον. Τὰ πλεῖστα δ' εἰς τὸ πλάγιον διὰ τὸ δύο φέρεσθαι φοράς, βίᾳ μὲν κάτω, φύσει δ' ἄνω· πάντα γὰρ κατὰ τὴν διάμετρον φέρεται τὰ τοιαῦτα. [i] Διὸ καὶ τῶν διαθεόντων ἀστέρων ἡ πλείστη [k] λοξὴ γίνεται φορά. Πάντων δὴ τούτων αἴτιον ὡς μὲν ὕλη ἡ ἀναθυμίασις, ὡς δὲ τὸ κινοῦν ὁτὲ μὲν [l] ἡ ἄνω φορά, ὁτὲ δ' [l] ἡ τοῦ ἀέρος συγκρινομένου πῆξις.
14 Πάντα δὲ [m] κάτω σελήνης ταῦτα γίνεται. Σημεῖον δ' ἡ φαινομένη αὐτῶν ταχυτὴς [n] ὁμοία οὖσα τοῖς ὑφ' ἡμῶν [o] ῥιπτουμένοις, ἃ διὰ τὸ πλησίον εἶναι ἡμῶν πολὺ δοκεῖ τῷ τάχει παραλλάττειν ἄστρα τε καὶ [p] ἥλιον καὶ σελήνην.

5 Φαίνεται δέ ποτε συνιστάμενα νύκτωρ αἰθρίας [q] οὔσης πολλὰ φάσματα ἐν τῷ οὐρανῷ, οἷον χάσματά τε καὶ βόθυνοι καὶ αἱματώδη χρώματα. Αἴτιον δὲ [r] καὶ τούτων τὸ
2 αὐτό. Ἐπεὶ γὰρ φανερός ἐστι συνιστάμενος [s] ὁ ἄνω ἀὴρ ὥστ' ἐκπυροῦσθαι, καὶ τὴν ἐκπύρωσιν ὁτὲ μὲν τοιαύτην γίγνεσθαι ὥστε φλόγα δοκεῖν [t] κάεσθαι, ὁτὲ δ' οἷον δαλοὺς [v] φέρεσθαι καὶ ἀστέρας, οὐθὲν ἄτοπον εἰ χρωματίζεται ὁ αὐτὸς [w] οὗτος ἀὴρ συνιστάμενος παντοδαπὰς χρόας· διά τε γὰρ [x] πυκνοτέρου διαφαινόμενον ἔλαττον φῶς καὶ ἀνάκλασιν δεχόμενος [y] ὁ ἀὴρ παντοδαπὰ χρώματα ποιήσει, μάλιστα δὲ φοινικοῦν ἢ πορφυροῦν διὰ τὸ ταῦτα μάλιστα ἐκ τοῦ πυρώδους καὶ λευκοῦ φαίνεσθαι μιγνυμένων κατὰ τὰς [z] ἐπιπροσθήσεις, οἷον ἀνίσχοντα τὰ ἄστρα καὶ δυόμενα, ἐὰν ᾖ καῦμα, καὶ
3 διὰ καπνοῦ φοινικᾶ φαίνεται. Καὶ τῇ ἀνακλάσει [a] δὲ ποιήσει, ὅταν τὸ ἔνοπτρον ᾖ τοιοῦτον ὥστε μὴ τὸ σχῆμα ἀλλὰ τὸ χρῶμα δέχεσθαι. Τοῦ δὲ μὴ πολὺν χρόνον μένειν ταῦτα ἡ σύστασις αἰτία ταχεῖα οὖσα. Τὰ δὲ [b] χάσματα ἀναρρηγνυμένου τοῦ φωτὸς ἐκ [c] κυανέου καὶ μέλανος ποιεῖ τι βάθος

[h] ἢ ante ἄνω om. N. [i] διὸ καὶ τῶν om. E. [k] γίνεται φορὰ λοξή F. [l] ἡ utrumque om. E. [m] κάτω ταῦτα σελήνης F.H, ταῦτα κάτω σελ. N. [n] ὁμοία om. E. [o] ῥιπτομένοις H. [p] σ. καὶ ἥλ. E. [q] οὔσης om. E. [r] καὶ] ἐπὶ F.H.N. [s] ἄνω ὁ ἀήρ N. [t] καίεσθαι F.H.N. [v] φαίνεσθαι H.N. [w] οὗτος om. E. [x] πυκνότερον pr. N. [y] ὁ om. N. [z] ἐπιπροσθέσεις F.H.N. et pr. E. [a] δὲ om. N. [b] σχήματα E. [c] κυανοῦ F.H.N.

ἔχειν δοκεῖν. Πολλάκις δ' ἐκ τῶν τοιούτων καὶ δαλοὶ ἐκπί- 4
πτουσιν, ὅταν συγκριθῇ μᾶλλον· συνιὸν δέ [d] τι χάσμα δοκεῖ.
Ὅλως δ' ἐν τῷ μέλανι τὸ λευκὸν πολλὰς [e] ποιεῖ ποικιλίας,
οἷον ἡ φλὸξ ἐν τῷ καπνῷ. Ἡμέρας μὲν οὖν ὁ ἥλιος κωλύει, 5
νυκτὸς δ' ἔξω τοῦ φοινικοῦ τὰ ἄλλα δι' [f] ὁμοιόχροιαν οὐ φαί-
νεται. Περὶ μὲν οὖν τῶν διαθεόντων [g] ἀστέρων καὶ τῶν ἐκ-
πυρουμένων, ἔτι [h] δὲ τῶν ἄλλων τῶν τοιούτων φασμάτων ὅσα
ταχείας ποιεῖται τὰς φαντασίας, ταύτας ὑπολαβεῖν δεῖ τὰς
αἰτίας.

Περὶ δὲ τῶν κομητῶν καὶ τοῦ [i] καλουμένου γάλακτος λέ- 6
γωμεν, διαπορήσαντες πρὸς τὰ [k] παρὰ τῶν ἄλλων εἰρημένα
πρῶτον. Ἀναξαγόρας μὲν οὖν καὶ Δημόκριτός φασιν εἶναι
τοὺς κομήτας σύμφασιν τῶν πλανήτων ἀστέρων, ὅταν διὰ τὸ
πλησίον ἐλθεῖν δόξωσι θιγγάνειν ἀλλήλων. Τῶν δ' Ἰταλι- 2
κῶν [l] τινὲς [m] καὶ καλουμένων Πυθαγορείων ἕνα λέγουσιν αὐτὸν
εἶναι τῶν πλανήτων [n] ἀστέρων, ἀλλὰ διὰ πολλοῦ τε χρόνου
τὴν φαντασίαν αὐτοῦ εἶναι καὶ τὴν ὑπερβολὴν ἐπὶ μικρόν,
ὅπερ συμβαίνει καὶ περὶ τὸν τοῦ Ἑρμοῦ ἀστέρα· διὰ γὰρ
τὸ μικρὸν ἐπαναβαίνειν πολλὰς ἐκλείπει φάσεις, ὥστε διὰ
χρόνου [o] φαίνεται πολλοῦ. Παραπλησίως δὲ τούτοις καὶ οἱ 3
περὶ Ἱπποκράτην τὸν Χῖον καὶ τὸν μαθητὴν αὐτοῦ Αἰσχύ-
λον ἀπεφήναντο. Πλὴν τήν γε κόμην οὐκ ἐξ αὐτοῦ φασὶν
ἔχειν, ἀλλὰ πλανώμενον διὰ τὸν τόπον ἐνίοτε λαμβάνειν
ἀνακλωμένης τῆς ἡμετέρας ὄψεως ἀπὸ τῆς ἑλκομένης ὑγρό-
τητος ὑπ' αὐτοῦ πρὸς τὸν ἥλιον. Διὰ δὲ τὸ ὑπολείπεσθαι 4
[p] βραδύτατα τῷ χρόνῳ διὰ πλείστου χρόνου φαίνεσθαι τῶν
ἄλλων ἄστρων, ὡς ὅταν ἐκ ταὐτοῦ φανῇ [q] ὑπολελειμμένον
ὅλον τὸν ἑαυτοῦ κύκλον· ὑπολείπεσθαι δ' αὐτὸν καὶ πρὸς
ἄρκτον καὶ πρὸς νότον. Ἐν μὲν οὖν τῷ μεταξὺ τόπῳ τῶν 5
τροπικῶν οὐχ ἕλκειν τὸ ὕδωρ πρὸς [r] ἑαυτὸν διὰ τὸ κεκαῦσθαι

[d] τι om. E. [e] ποιεῖ τὰς ποικιλίας F. [f] ὁμόχροιαν F.H.N.
[g] ἄστρων E. [h] δὲ καὶ τῶν F. [i] λεγομένου H.N. [k] παρ' ἄλλων H.N.
[l] τινὲς ante ἕνα H.N. [m] καὶ om. F.H.N. [n] ἄστρων E. [o] φαίνεσθαι F.H.N. [p] βραδυτάτῳ χρόνῳ E. [q] ὑπολελειμμένος F. [r] αὑτὸν N.

ὑπὸ τῆς [s] τοῦ ἡλίου φορᾶς· πρὸς δὲ νότον ὅταν φέρηται, δα-
ψίλειαν μὲν ἔχειν τῆς τοιαύτης νοτίδος, ἀλλὰ διὰ τὸ μι-
κρὸν εἶναι τὸ [t] ὑπὲρ τῆς γῆς τμῆμα τοῦ κύκλου, τὸ δὲ κάτω
πολλαπλάσιον, οὐ δύνασθαι τὴν ὄψιν τῶν ἀνθρώπων φέ-
ρεσθαι κλωμένην πρὸς τὸν ἥλιον οὔτε τῷ [v] τροπικῷ πλησιά-
6 ζοντος οὔτ' ἐπὶ θεριναῖς τροπαῖς ὄντος τοῦ ἡλίου. Διόπερ
ἐν τούτοις μὲν τοῖς τόποις [w] οὐδὲ γίγνεσθαι κομήτην αὐτόν·
ὅταν δὲ πρὸς βορέαν ὑπολειφθεὶς τύχῃ, λαμβάνειν κόμην διὰ
τὸ μεγάλην εἶναι τὴν περιφέρειαν τὴν ἄνωθεν τοῦ ὁρίζοντος,
τὸ δὲ κάτω μέρος τοῦ [x] κύκλου μικρόν· ῥᾳδίως γαρ τὴν ὄψιν
7 τῶν ἀνθρώπων ἀφικνεῖσθαι τότε πρὸς τὸν ἥλιον. Πᾶσι δὲ
τούτοις τὰ μὲν κοινῇ [y] συμπίπτει λέγειν ἀδύνατα, τὰ δὲ [z] καὶ
χωρίς. Πρῶτον μὲν [a] οὖν τοῖς λέγουσιν ὅτι τῶν πλανω-
μένων ἐστὶν εἷς ἀστέρων ὁ κομήτης· οἱ γὰρ πλανώμενοι πάν-
τες ἐν τῷ κύκλῳ ὑπολείπονται τῷ τῶν ζῳδίων, κομῆται δὲ
πολλοὶ [b] ὠμμένοι εἰσὶν ἔξω τοῦ κύκλου. Εἶτα καὶ πλείους
8 ἑνὸς ἅμα γεγένηνται πολλάκις. Πρὸς δὲ τούτοις, εἰ διὰ τὴν
ἀνάκλασιν τὴν κόμην [c] ἴσχουσι, καθάπερ φησὶν Αἰσχύλος καὶ
Ἱπποκράτης, ἔδει ποτὲ φαίνεσθαι καὶ ἄνευ κόμης τὸν ἀστέρα
τοῦτον, ἐπειδήπερ ὑπολείπεται μὲν καὶ εἰς ἄλλους τόπους,
τὴν δὲ κόμην ἴσχει οὐ πανταχοῦ. Νῦν δ' οὐθεὶς ὦπται παρὰ
9 τοὺς πέντε ἀστέρας. Οὗτοι δὲ πολλάκις ἅμα πάντες με-
τέωροι φαίνονται ὑπὲρ τοῦ ὁρίζοντος. Καὶ φανερῶν δ'
[d] αὐτῶν ὄντων ἁπάντων καὶ μὴ φαινομένων [e] ἁπάντων, ἀλλ'
ἐνίων ὄντων πρὸς τῷ ἡλίῳ, οὐθὲν ἧττον κομῆται φαίνονται
10 [f] γιγνόμενοι πολλάκις. Ἀλλὰ μὴν οὐδὲ τοῦτο ἀληθές, [g] ὅτι
ἐν τῷ πρὸς ἄρκτον τόπῳ γίνεται κομήτης μόνον, [h] ἅμα καὶ
τοῦ ἡλίου ὄντος περὶ θερινὰς τροπάς· ὅ τε γὰρ μέγας κομή-
της ὁ γενόμενος περὶ τὸν ἐν Ἀχαΐᾳ σεισμὸν καὶ τὴν τοῦ

[s] τοῦ om. E. [t] ὑπὲρ τῆς γῆς τμῆμα rc. in litura E. [v] τροπικῷ] νότῳ E, τροπικῷ τόπῳ H.N. [w] οὐ F.H.N. [x] ἡλίου (supra posito κύκλου) F. [y] συμπίπτειν N. [z] καὶ om. F.H.N. [a] οὖν om. F. [b] ἑωραμένοι F.H.N. [c] ἔχουσι F.H.N. [d] ὄντων αὐτῶν F.H.N. [e] πάντων, ἀλλ' F.H.N. [f] πολλάκις γιγνόμενοι H.N. [g] ὅτι] ὡς F.H.N. [h] ἀλλὰ E.F.

κύματος ἔφοδον ἀπὸ δυσμῶν [i] τῶν ἰσημερινῶν ἀνέσχε, καὶ
πρὸς νότον ἤδη πολλοὶ γεγόνασιν. ‘Ἐπὶ δ’ ἄρχοντος ‘Ἀθή- 11
νησιν Εὐκλέους τοῦ Μόλωνος ἐγένετο κομήτης ἀστὴρ πρὸς
ἄρκτον μηνὸς γαμηλιῶνος περὶ τροπὰς ὄντος τοῦ ἡλίου χει-
μερινάς· καίτοι τοσοῦτον ἀνακλασθῆναι καὶ αὐτοὶ τῶν ἀδυνά-
των [k] εἶναί φασιν. Κοινὸν δὲ καὶ τούτοις [l] καὶ τοῖς τὴν
σύναψιν λέγουσι πρῶτον μὲν ὅτι καὶ τῶν ἀπλανῶν λαμβά-
νουσι κόμην τινές. Καὶ τοῦτ’ οὐ μόνον Αἰγυπτίοις πιστεῦ- 12
σαι δεῖ, καίτοι κἀκεῖνοί φασιν, ἀλλὰ καὶ ἡμεῖς [m] ἐφεωράκα-
μεν· τῶν γὰρ ἐν τῷ ἰσχίῳ τοῦ κυνὸς ἀστήρ τις ἔσχε κόμην,
ἀμαυρὰν μέντοι· ἀτενίζουσι [n] μὲν γὰρ εἰς αὐτὸν [o] ἀμυδρὸν
ἐγίγνετο [p] τὸ φέγγος, [q] παραβλέπουσι δ’ ἠρέμα τὴν ὄψιν
πλεῖον. Πρὸς δὲ τούτοις ἅπαντες οἱ καθ’ ἡμᾶς ὠμμένοι 13
ἄνευ δύσεως ἠφανίσθησαν ἐν τῷ ὑπὲρ τοῦ ὁρίζοντος τόπῳ
ἀπομαρανθέντες κατὰ μικρὸν οὕτως, ὥστε [r] μήτε ἑνὸς ἀστέ-
ρος ὑπολειφθῆναι σῶμα μήτε πλειόνων, ἐπεὶ καὶ ὁ μέγας
ἀστὴρ περὶ οὗ πρότερον ἐμνήσθημεν, ἐφάνη μὲν χειμῶνος ἐν
πάγοις καὶ αἰθρίαις [s] ἀφ’ ἑσπέρας, ἐπὶ [t] ‘Ἀστείου ἄρχοντος,
καὶ τῇ μὲν πρώτῃ οὐκ ὤφθη ὡς [v] προδεδυκὼς τοῦ ἡλίου, τῇ δ’
ὑστεραίᾳ ὤφθη· ὅσον ἐνδέχεται [w] γὰρ ἐλάχιστον ὑπελείφθη
καὶ εὐθὺς ἔδυ· τὸ δὲ φέγγος ἀπέτεινε μέχρι τοῦ τρίτου
μέρους τοῦ οὐρανοῦ οἷον [x] ἅλμα, διὸ καὶ ἐκλήθη ὁδός. ‘Ἐπα- 14
νῆλθε δὲ μέχρι [y] τῆς ζώνης τοῦ ‘Ὠρίωνος, καὶ [z] ἐνταῦθα διε-
λύθη. Καίτοι Δημόκριτός γε [a] προσπεφιλονείκηκε τῇ δόξῃ
τῇ αὐτοῦ· φησὶ [b] γὰρ ὦφθαι διαλυομένων τῶν κομητῶν
ἀστέρας τινάς. Τοῦτο δ’ οὐχ ὁτὲ μὲν ἔδει γίγνεσθαι ὁτὲ δ’
οὔ, ἀλλ’ ἀεί. Πρὸς [c] δὲ τούτοις καὶ οἱ Αἰγύπτιοί φασι 15
καὶ τῶν πλανήτων καὶ πρὸς αὐτοὺς καὶ πρὸς τοὺς ἀπλανεῖς
γίνεσθαι συνόδους, καὶ αὐτοὶ ἑωράκαμεν τὸν ἀστέρα τὸν τοῦ

[i] τῶν om. E. [k] εἶναι om. E. [l] καὶ τοῖς τὴν om. pr. E. [m] ἔφη ἑωράκαμεν pr. E. [n] μὲν om. E. [o] ἀμυδρὸς pr. E. [p] τὸ om. E. [q] περιβλέπουσι N. [r] μὴ τοῦ ἑνὸς E. [s] ἐφ’ N. [t] ἀστίου E.H.N, ἀρισταίου F. [v] προβεβηκὼς γρ. F. [w] γὰρ] καὶ γὰρ H.N, om. E. [x] ἅμμα E. [y] τοῦ ὠρίωνος τῆς ζώνης N. [z] ἐνταυθοῖ F.H.N. [a] προσπεφιλονεικηκὼς F. [b] γὰρ om. F. [c] δὲ om. E.

Διὸς [d] τῶν ἐν τοῖς διδύμοις [e] συνελθόντα τινὶ [f] δὶς ἤδη καὶ
ἀφανίσαντα, ἀλλ' οὐ κομήτην γενόμενον. Ἔτι δὲ καὶ ἐκ
τοῦ λόγου φανερόν· οἱ γὰρ ἀστέρες [g] κἂν [h] εἰ μείζους [i] κἂν
ἐλάττους [k] φαίνωνται, ἀλλ' ὅμως [l] ἀδιαίρετοί γε καθ' [m] ἑαυ-
16 τοὺς εἶναι δοκοῦσιν. Ὥσπερ οὖν καὶ εἰ ἦσαν ἀδιαίρετοι,
ἁψάμενοι οὐθὲν ἂν ἐποίησαν μέγεθος μεῖζον, οὕτω καὶ ἐπειδὴ
οὐκ εἰσὶ μὲν φαίνονται δὲ ἀδιαίρετοι, καὶ συνελθόντες οὐθὲν
φανοῦνται μείζους τὸ μέγεθος ὄντες. Ὅτι μὲν οὖν αἱ λε-
γόμεναι περὶ αὐτῶν αἰτίαι ψευδεῖς οὖσαι τυγχάνουσιν, [n] εἰ
μὴ διὰ πλειόνων, ἀλλὰ καὶ διὰ τούτων ἱκανῶς δῆλόν ἐστιν.

7 Ἐπεὶ δὲ περὶ τῶν ἀφανῶν τῇ αἰσθήσει νομίζομεν ἱκανῶς
ἀποδεδεῖχθαι κατὰ τὸν λόγον, ἐὰν εἰς τὸ [o] δυνατὸν [p] ἀνα-
γάγωμεν, ἔκ [q] τε τῶν νῦν [r] φαινομένων ὑπολάβοι τις ἂν ὧδε
2 περὶ τούτων μάλιστα συμβαίνειν. Ὑπόκειται γὰρ ἡμῖν τοῦ
κόσμου τοῦ περὶ τὴν γῆν, ὅσον ὑπὸ τὴν ἐγκύκλιόν [s] ἐστι φο-
ράν, εἶναι τὸ πρῶτον μέρος ἀναθυμίασιν ξηρὰν καὶ θερμήν.
3 Αὕτη δὲ αὐτή τε καὶ τοῦ συνεχοῦς ὑπ' αὐτὴν ἀέρος [t] ἐπὶ πολὺ
συμπεριάγεται περὶ τὴν γῆν ὑπὸ τῆς [v] φορᾶς καὶ τῆς κινή-
σεως τῆς κύκλῳ· φερομένη δὲ καὶ κινουμένη τοῦτον τὸν τρό-
πον, ᾗ ἂν τύχῃ εὔκρατος οὖσα, πολλάκις ἐκπυροῦται, διό
φαμεν γίγνεσθαι καὶ τὰς τῶν σποράδων ἀστέρων διαδρομάς.
4 Ὅταν οὖν εἰς [w] τὴν τοιαύτην πύκνωσιν ἐμπέσῃ διὰ τὴν [x] τῶν
ἄνωθεν κίνησιν [y] ἀρχὴ πυρώδης, μήτε οὕτω [z] πολλὴ λίαν ὥστε
ταχὺ καὶ ἐπὶ πολὺ [a] ἐκκάειν, μήθ' οὕτως ἀσθενὴς ὥστ' ἀπο-
σβεσθῆναι ταχύ, ἀλλὰ πλείων καὶ ἐπὶ πολύ, ἅμα δὲ κάτωθεν
[b] συμπίπτῃ [c] ἀναβαίνειν εὔκρατον ἀναθυμίασιν, ἀστὴρ [d] τοῦτο
γίνεται κομήτης, ὅπως ἂν τὸ ἀναθυμιώμενον [e] τύχῃ ἐσχημα-
τισμένον· ἐὰν μὲν γὰρ πάντῃ ὁμοίως, κομήτης, [f] ἐὰν δ' ἐπὶ

[d] τῶν] τὸν N. [e] ἀπελθόντα (supra posito ὑ) N. [f] δὶς corr. E, om. F.H.N. [g] καὶ N. [h] εἰ om. F. [i] καὶ E.N. [k] φαίνονται N. [l] ἀδιετοι καθ' E. [m] αὐτοὺς H.N. [n] εἰ] καὶ εἰ F. [o] ἀδύνατον γρ. E. [p] ἀνάγωμεν H.N. [q] τε om. H.N. [r] λεγομένων E. [s] ἔσται N. et pr. F. [t] ἐπὶ] τὸ F. [v] φορᾶς] σφαίρας F.H.N. [w] τὴν post εἰς om. E.F. [x] τῶν om. N. [y] ἀρχὴ μὴ πυρώδης pr. F. [z] πολὺ N. [a] ἐκ-καίειν F.H.N. [b] συμπίπτει F.H.N. [c] ἀναβαίνειν εὔκρατον om. pr. E. [d] γίνεται κομήτης τοῦτο F. [e] τύχοι H. [f] ἂν δ' H.N.

*μῆκος, καλεῖται πωγωνίας. Ὥσπερ δ' ἡ τοιαύτη [g] φορὰ* 5
*ἀστέρος φορὰ δοκεῖ εἶναι, οὕτω καὶ ἡ μονὴ ἡ ὁμοία ἀστέρος*
[h] *μονὴ δοκεῖ εἶναι· παραπλήσιον γὰρ τὸ γιγνόμενον οἷον εἴ*
*τις εἰς ἀχύρων θημῶνα καὶ πλῆθος ὤσειε δαλὸν ἢ πυρὸς [i] ἀρ-*
*χὴν [k] ἐμβάλοι μικράν· φαίνεται γὰρ ὁμοία καὶ ἡ τῶν [l] ἀστέ-*
*ρων διαδρομὴ τούτῳ· ταχὺ γὰρ διὰ τὴν εὐφυΐαν τοῦ ὑπεκ-*
*καύματος διαδίδωσιν ἐπὶ μῆκος.* Εἰ *δὴ τοῦτο* [m] *διαμείνειε* 6
*καὶ μὴ καταμαρανθείη διελθόν, ᾗ μάλιστα ἐπύκνωσε τὸ ὑπέκ-*
*καυμα, γένοιτ' ἂν ἀρχὴ τῆς* [n] *φορᾶς ἡ τελευτὴ* [o] *τῆς διαδρο-*
*μῆς.* [p] Τ*οιοῦτον ὁ κομήτης ἐστὶν ἀστήρ, ὥσπερ διαδρομὴ*
*ἀστέρος, ἔχων ἐν* [q] *αὐτῷ πέρας καὶ ἀρχήν. Ὅταν μὲν οὖν ἐν* 7
[q] *αὐτῷ τῷ κάτω τόπῳ ἡ ἀρχὴ τῆς συστάσεως* [r] *ᾖ, καθ'* [s] *ἑαυ-*
*τὸν φαίνεται κομήτης· ὅταν δ' ὑπὸ τῶν ἄστρων τινός, ἢ τῶν*
*ἀπλανῶν ἢ τῶν πλανήτων, ὑπὸ τῆς κινήσεως* [t] *συνιστῆται* [v] *ἡ*
*ἀναθυμίασις, τότε κομήτης γίγνεται τούτων τις· οὐ γὰρ*
*πρὸς αὐτοῖς ἡ κόμη γίγνεται τοῖς ἄστροις, ἀλλ' ὥσπερ αἱ*
*ἅλῳ περὶ τὸν ἥλιον φαίνονται καὶ τὴν σελήνην παρακολου-*
*θοῦσαι, καίπερ μεθισταμένων* [w] *τῶν ἄστρων, ὅταν οὕτως ᾖ*
*πεπυκνωμένος ὁ ἀὴρ ὥστε τοῦτο γίγνεσθαι τὸ πάθος ὑπὸ*
*τὴν τοῦ ἡλίου πορείαν, οὕτω καὶ ἡ κόμη τοῖς ἄστροις οἷον*
*ἅλως ἐστίν.* Π*λὴν ἡ μὲν γίγνεται δι' ἀνάκλασιν τοιαύτη τὴν* 8
*χρόαν, ἐκεῖ δ' ἐπ' αὐτῶν τὸ χρῶμα φαινόμενόν ἐστιν. Ὅταν*
*μὲν οὖν κατ' ἀστέρα γένηται ἡ τοιαύτη σύγκρισις, τὴν αὐτὴν*
*ἀνάγκη* [x] *φαίνεσθαι φορὰν κινούμενον τὸν κομήτην ἥνπερ*
[y] *φέρεται ὁ ἀστήρ· ὅταν δὲ* [z] *συστῇ καθ' αὑτόν, τότε ὑπο-*
*λειπόμενοι φαίνονται.* Τ*οιαύτη γὰρ ἡ φορὰ τοῦ κόσμου τοῦ* 9
*περὶ τὴν γῆν.* Τ*οῦτο γὰρ μάλιστα μηνύει μὴ εἶναι ἀνά-*
*κλασίν τινα τὸν κομήτην,* [a] *ὡς ἅλω ἐν ὑπεκκαύματι καθαρῷ*
[b] *πρὸς αὐτὸν τὸν ἀστέρα γιγνομένην, καὶ μὴ ὡς λέγουσιν οἱ*

[g] *φορὰ* om. E. [h] *δοκεῖ μονὴ* F. [i] *ἀρχὴν* om. E. [k] *ἐμβάλλοι* F. [l] *ἄστρων* E.H. [m] *μείνειε* F, *μείνοιε* N. [n] *φορᾶς τοῦ κομήτου ἡ τελευταία* pr. E. [o] *τῆς*] *ἀρχὴ τῆς* E. [p] *τοιοῦτον*] *τοῦ διαΐσσοντος. τοιοῦτος καὶ* F. [q] *ἑαυτῷ* E. [r] *ᾖ*] *εἴη* F. [s] *αὐτὸν* N. [t] *συνίσταται* F.H.N. [v] *ἡ* om. E. [w] *τῶν ἄστρων* om. E H.N. [x] *φέρεσθαι* H.N. [y] *φαίνεται* N. [z] *καθ' αὐτὸν συστῇ* H.N. [a] *ὡς*] *εἰς* N, *ὡς τὴν* F. [b] *πρὸς*] *εἰς* N.

περὶ Ἱπποκράτην, πρὸς τὸν ἥλιον, ὅτι [c] καὶ [d] καθ' αὐτὸν
γίγνεται [e] κομήτης [f] πολλάκις καὶ πλεονάκις ἢ περὶ τῶν
10 ὡρισμένων τινὰς ἀστέρων. Περὶ μὲν οὖν τῆς ἅλω τὴν αἰ-
τίαν ὕστερον ἐροῦμεν· περὶ δὲ τοῦ πυρώδη τὴν σύστασιν
αὐτῶν εἶναι τεκμήριον χρὴ νομίζειν ὅτι σημαίνουσι γιγνό-
μενοι [g] οἱ πλείους πνεύματα καὶ αὐχμούς· δῆλον γὰρ ὅτι
γίγνονται διὰ τὸ πολλὴν εἶναι τὴν τοιαύτην ἔκκρισιν, ὥστε
ξηρότερον ἀναγκαῖον εἶναι τὸν ἀέρα, καὶ διακρίνεσθαι καὶ
διαλύεσθαι τὸ διατμίζον ὑγρὸν ὑπὸ τοῦ πλήθους τῆς θερμῆς
ἀναθυμιάσεως, ὥστε μὴ συνίστασθαι ῥᾳδίως εἰς ὕδωρ. Σα-
φέστερον δ' ἐροῦμεν καὶ περὶ τούτου τοῦ πάθους, ὅταν καὶ
11 περὶ πνευμάτων λέγειν ᾖ καιρός. Ὅταν μὲν οὖν πυκνοὶ καὶ
πλείους φαίνωνται, καθάπερ λέγομεν, ξηροὶ καὶ πνευματώ-
δεις γίγνονται οἱ ἐνιαυτοὶ ἐπιδήλως· ὅταν δὲ σπανιώτεροι
καὶ ἀμαυρότεροι τὸ μέγεθος, ὁμοίως μὲν οὐ γίνεται [h] τὸ
τοιοῦτον, οὐ μὴν ἀλλ' ὡς ἐπὶ τὸ πολὺ γίγνεταί τις ὑπερ-
βολὴ πνεύματος ἢ κατὰ χρόνον ἢ κατὰ μέγεθος, ἐπεὶ καὶ ὅτε
[i] ὁ ἐν Αἰγὸς ποταμοῖς ἔπεσε λίθος ἐκ τοῦ ἀέρος, ὑπὸ [k] πνεύ-
ματος ἀρθεὶς ἐξέπεσε μεθ' ἡμέραν· ἔτυχε δὲ καὶ τότε κομή-
12 της ἀστὴρ γενόμενος ἀφ' ἑσπέρας. Καὶ περὶ τὸν μέγαν
ἀστέρα τὸν κομήτην ξηρὸς ἦν ὁ χειμὼν καὶ βόρειος, καὶ τὸ
κῦμα δι' ἐναντίωσιν [l] ἐγίγνετο πνευμάτων· ἐν μὲν γὰρ τῷ
κόλπῳ [m] βορέας κατεῖχεν, ἔξω δὲ νότος ἔπνευσε μέγας. Ἔτι
δ' ἐπ' ἄρχοντος [n] ἐγένετο Νικομάχου [o] Ἀθήνησιν ὀλίγας
ἡμέρας κομήτης περὶ τὸν ἰσημερινὸν κύκλον, οὐκ ἀφ' ἑσπέρας
ποιησάμενος τὴν ἀνατολήν, ἐφ' ᾧ τὸ περὶ Κόρινθον πνεῦμα
13 γενέσθαι συνέπεσεν. Τοῦ δὲ μὴ [p] γίνεσθαι πολλοὺς μηδὲ
πολλάκις κομήτας, καὶ μᾶλλον ἐκτὸς τῶν τροπικῶν ἢ ἐντός,
[q] αἴτιος ἥ τε τοῦ ἡλίου καὶ ἡ τῶν [r] ἀστέρων κίνησις, οὐ μόνον
ἐκκρίνουσα τὸ θερμόν, ἀλλὰ καὶ διακρίνουσα τὸ συνιστά-

[c] καὶ om. F. [d] καθ' ἑαυτὸν F, κατ' αὐτοῦ E. [e] κομήτης καὶ π. H.N. [f] πολλάκις καὶ om. E. [g] οἱ om. E.F.H.N. [h] τὸ post γίνεται om. F. [i] ὁ om. pr. E. [k] πνευμάτων N. [l] ἐγένετο F.H.N. [m] βορέας—Νικο-μάχου margo F. [n] νικομάχου ἐγένετο N. [o] Ἀθήνησιν] ἐγένετο F, om. E.N. [p] γενέσθαι H.N. [q] αἰτία ἡ τοῦ F.H.N. [r] ἄστρων H.N.

μενον. Μάλιστα δ' αἴτιον ὅτι τὸ πλεῖστον εἰς τὴν τοῦ
γάλακτος ἀθροίζεται χώραν.

Ὅπως δὲ καὶ διὰ τίν' αἰτίαν γίνεται καὶ τί ἐστι τὸ γάλα, 8
λέγωμεν ἤδη. [s] Προδιέλθωμεν δὲ καὶ περὶ τούτου τὰ παρὰ
τῶν ἄλλων εἰρημένα πρῶτον. Τῶν μὲν οὖν καλουμένων Πυ- 2
θαγορείων φασί τινες ὁδὸν εἶναι ταύτην οἱ [t] μὲν τῶν ἐκπε-
σόντων τινὸς [v] ἄστρων, κατὰ τὴν λεγομένην ἐπὶ Φαέθοντος
[w] φθοράν, οἱ δὲ τὸν ἥλιον τοῦτον τὸν κύκλον φέρεσθαί ποτέ
φασιν· οἷον οὖν διακεκαῦσθαι [x] τὸν τόπον τοῦτον ἤ τι τοιοῦ-
τον ἄλλο πεπονθέναι πάθος ὑπὸ τῆς φορᾶς [y] αὐτοῦ. Ἄτοπον 3
δὲ τὸ μὴ συννοεῖν ὅτι εἴπερ τοῦτ' ἦν τὸ αἴτιον, ἔδει καὶ τὸν
τῶν ζῳδίων κύκλον οὕτως ἔχειν, καὶ μᾶλλον [z] ἢ τὸν τοῦ γά-
λακτος· ἅπαντα γὰρ ἐν αὐτῷ [a] φέρεται τὰ πλανώμενα καὶ
οὐχ ὁ ἥλιος μόνος. Δῆλος δ' ἡμῖν ἅπας ὁ κύκλος· ἀεὶ γὰρ
αὐτοῦ φανερὸν ἡμικύκλιον τῆς νυκτός. Ἀλλὰ πεπονθὸς οὐθὲν 4
φαίνεται τοιοῦτον, πλὴν εἴ τι συνάπτει μόριον αὐτοῦ πρὸς
τὸν τοῦ γάλακτος κύκλον. Οἱ δὲ περὶ Ἀναξαγόραν καὶ
Δημόκριτον φῶς εἶναι τὸ γάλα λέγουσιν ἄστρων τινῶν· τὸν
γὰρ ἥλιον ὑπὸ τὴν γῆν φερόμενον οὐχ ὁρᾶν ἔνια τῶν ἄστρων.
Ὅσα μὲν οὖν περιορᾶται ὑπ' αὐτοῦ, τούτων μὲν οὐ φαίνεσθαι 5
τὸ φῶς (κωλύεσθαι γὰρ ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων)· ὅσοις
δ' ἀντιφράττει ἡ γῆ ὥστε μὴ ὁρᾶσθαι ὑπὸ τοῦ ἡλίου, τὸ
τούτων οἰκεῖον φῶς [b] φασὶν εἶναι τὸ γάλα. Φανερὸν δ' ὅτι
καὶ τοῦτ' ἀδύνατον. Τὸ μὲν γὰρ γάλα ἀεὶ τὸ αὐτὸ ἐν τοῖς 6
αὐτοῖς ἐστὶν ἄστροις (φαίνεται γὰρ [c] μέγιστος ὢν κύκλος),
ὑπὸ δὲ τοῦ ἡλίου ἀεὶ ἕτερα τὰ οὐχ ὁρώμενα διὰ τὸ μὴ ἐν
ταὐτῷ [d] μένειν τόπῳ. Ἔδει οὖν μεθισταμένου τοῦ ἡλίου με-
θίστασθαι καὶ τὸ γάλα· νῦν δ' οὐ φαίνεται τοῦτο γινόμενον.
Πρὸς δὲ τούτοις, εἰ καθάπερ δείκνυται [e] ἐν τοῖς περὶ [f] ἀστρο- 7
λογίαν θεωρήμασιν, [g] οὕτως ἔχει, καὶ τό τε τοῦ ἡλίου μέγε-

[s] προέλθωμεν H. [t] μὲν οὖν τῶν E. [v] ἀστέρων N. [w] φορὰν E.F.N. [x] τοῦτον τὸν τόπον F, τοῦτον τὸν τρόπον H.N. [y] αὐτῶν H. [z] ἢ τὸν τοῦ γάλακτος om. E. [a] φαίνεται E. [b] εἶναί φασι F.H.N. [c] μέγας κύκλος E. [d] μένειν τὸν ἥλιον τόπῳ H.N. [e] ἐν] νῦν ἐν F.N. [f] ἀστρολογίας N. [g] οὕτως ἔχει καὶ τό τε] τὸ F.H.N.

θος μεῖζόν ἐστιν ἢ τὸ τῆς γῆς καὶ τὸ διάστημα πολλαπλα-
σίως μεῖζον τὸ τῶν ἄστρων πρὸς τὴν γῆν ἢ τὸ τοῦ ἡλίου,
καθάπερ τὸ τοῦ ἡλίου [h] πρὸς τὴν γῆν ἢ τὸ τῆς σελήνης, οὐκ
ἂν πόρρω που [i] ἀπὸ τῆς γῆς ὁ κῶνος ὁ ἀπὸ τοῦ ἡλίου συμ-
βάλλοι τὰς ἀκτῖνας, οὐδ' ἂν ἡ σκιὰ πρὸς τοῖς ἄστροις εἴη
8 τῆς γῆς, ἡ καλουμένη νύξ. Ἀλλ' ἀνάγκη πάντα τὸν ἥλιον
τὰ ἄστρα περιορᾶν, καὶ μηθενὶ τὴν γῆν ἀντιφράττειν αὐτῶν.
Ἔτι δ' ἐστὶ τρίτη τις ὑπόληψις περὶ αὐτοῦ· λέγουσι γάρ
τινες ἀνάκλασιν εἶναι τὸ γάλα τῆς ἡμετέρας ὄψεως πρὸς τὸν
9 ἥλιον, ὥσπερ καὶ τὸν ἀστέρα τὸν κομήτην. Ἀδύνατον δὲ
καὶ τοῦτο. Εἰ μὲν γὰρ τό τε ὁρῶν ἠρεμοίη καὶ τὸ ἔνοπτρον
καὶ τὸ ὁρώμενον ἅπαν, ἐν τῷ αὐτῷ σημείῳ τοῦ ἐνόπτρου τὸ
αὐτὸ φαίνοιτ' ἂν μέρος τῆς ἐμφάσεως· εἰ δὲ κινοῖτο τὸ ἔνο-
πτρον καὶ τὸ ὁρώμενον ἐν τῷ αὐτῷ [k] μὲν ἀποστήματι πρὸς
τὸ ὁρῶν καὶ ἠρεμοῦν, πρὸς ἄλληλα δὲ μήτε [l] ἰσοταχῶς [m] μήτ'
ἐν τῷ αὐτῷ ἀεὶ διαστήματι, ἀδύνατον τὴν [n] αὐτὴν ἔμφασιν
10 ἐπὶ τοῦ αὐτοῦ εἶναι μέρους τοῦ ἐνόπτρου. Τὰ δ' ἐν [o] τῷ τοῦ
γάλακτος κύκλῳ φερόμενα ἄστρα κινεῖται [p] καὶ ὁ ἥλιος πρὸς
ὃν ἡ ἀνάκλασις, μενόντων ἡμῶν, καὶ ὁμοίως καὶ ἴσον πρὸς
ἡμᾶς ἀπέχοντα, αὐτῶν δ' οὐκ ἴσον· ὁτὲ μὲν γὰρ [q] μέσων
νυκτῶν ὁ δελφὶς [r] ἐπιτέλλει, ὁτὲ δ' ἕωθεν, τὰ δὲ μόρια τοῦ
11 γάλακτος τὰ αὐτὰ μένει ἐν ἑκάστῳ. Καίτοι οὐκ ἔδει, εἰ ἦν
ἔμφασις, ἀλλὰ μὴ ἐν αὐτοῖς τι ἦν τοῦτο τὸ πάθος τοῖς τό-
ποις. Ἔτι δὲ νύκτωρ ἐν ὕδατι [s] καὶ τοιούτοις ἐνόπτροις τὸ
μὲν γάλα ἐμφαίνεται θεωροῦσιν, τὸ δὲ τὴν ὄψιν ἀνακλᾶσθαι
πρὸς τὸν ἥλιον πῶς δυνατόν; Ὅτι μὲν οὖν οὔτε ὁδὸς τῶν
πλανήτων οὐδενὸς οὔτε φῶς ἐστὶ τῶν μὴ ὁρωμένων ἄστρων
12 οὔτ' ἀνάκλασις, ἐκ τούτων φανερόν. Σχεδὸν δὲ ταῦτ' ἐστὶ
[t] τά γε μέχρι τοῦ νῦν [v] παραδεδομένα παρὰ τῶν ἄλλων.
Ἡμεῖς δὲ [w] λέγωμεν ἀναλαβόντες τὴν ὑποκειμένην [x] ἀρχὴν

[h] πρὸς τὴν γῆν] τῇ γῇ E. [i] ἀπὸ ante τῆς om. F.H.N. [k] μὲν] μένει corr. N, μέντοι H. [l] ἰσαχῶς N. [m] μὴ E. [n] αὐτὴν εἶναι ἔμφασιν N. [o] τῷ] τούτῳ E. [p] καὶ om. E [q] μέσον E. [r] ἀνατέλλει F. [s] καὶ τοῖς τοιούτοις F.H.N. [t] τά γε] μόνα τὰ F, μόνον τὰ H.N. [v] παρὰ διδόμενα N. [w] λέγομεν E. [x] ἀρχὴν ἡμῖν om. pr. E.

*ἡμῖν.* Εἴρηται γὰρ *πρότερον ὅτι τὸ ἔσχατον τοῦ* [y] *λεγο-*
*μένου ἀέρος δύναμιν ἔχει πυρός, ὥστε τῇ κινήσει διακρινο-*
*μένου τοῦ ἀέρος* [z] *ἀποκρίνεσθαι* [a] *τοιαύτην σύστασιν* [b] *οἵαν*
*καὶ τοὺς κομήτας ἀστέρας εἶναί φαμεν.* Τοιοῦτον *δὴ δεῖ* 13
*νοῆσαι* [c] *τὸ γιγνόμενον ὅπερ ἐπ' ἐκείνων, ὅταν μὴ αὐτὴ καθ'*
*αὑτὴν γένηται ἡ τοιαύτη ἔκκρισις, ἀλλ' ὑπό τινος τῶν ἄστρων*
*ἢ τῶν ἐνδεδεμένων ἢ τῶν πλανωμένων· τότε γὰρ* [d] *οὗτοι φαί-*
*νονται κομῆται διὰ τὸ παρακολουθεῖν αὐτῶν τῇ φορᾷ ὥσπερ*
*τῷ ἡλίῳ τὴν τοιαύτην σύγκρισιν, ἀφ' ἧς διὰ τὴν ἀνάκλασιν*
*τὴν ἅλω φαίνεσθαί φαμεν, ὅταν οὕτω τύχῃ κεκραμένος ὁ*
*ἀήρ.* Ὃ *δὴ καθ' ἕνα συμβαίνει τῶν ἀστέρων, τοῦτο δεῖ* 14
*λαβεῖν γιγνόμενον περὶ ὅλον τὸν οὐρανὸν καὶ τὴν ἄνω φορὰν*
*ἅπασαν· εὔλογον γάρ, εἴπερ ἡ ἑνὸς ἄστρου κίνησις, καὶ τὴν*
*τῶν ἁπάντων* [e] *ποιεῖν τι τοιοῦτον καὶ* [f] *ἐκριπίζειν.* Καὶ *πρὸς* 15
*τούτοις ἔτι καθ' ὃν τόπον πυκνότατα, καὶ πλεῖστα καὶ μέ-*
*γιστα τυγχάνουσιν ὄντα τῶν ἄστρων.* Ὁ *μὲν* [g] *οὖν τῶν*
*ζῳδίων* [h] *κύκλος διὰ τὴν τοῦ ἡλίου φορὰν καὶ τὴν τῶν πλα-*
*νήτων διαλύει τὴν τοιαύτην σύστασιν, διόπερ οἱ πολλοὶ τῶν*
*κομητῶν* [i] *ἐκτὸς γίνονται τῶν τροπικῶν.* Ἔτι *δ' οὔτε* [k] *περὶ* 16
*ἥλιον οὔτε περὶ σελήνην γίγνεται* [l] *κόμη· θᾶττον γὰρ δια-*
*κρίνουσιν ἢ ὥστε* [m] *συστῆναι τοιαύτην σύγκρισιν.* [n] Οὗτος
*δ' ὁ κύκλος ἐν ᾧ τὸ γάλα φαίνεται τοῖς ὁρῶσιν,* [o] *ὅ τε μέγι-*
*στος ὢν τυγχάνει καὶ τῇ θέσει κείμενος* [p] *οὕτως ὥστε πολὺ*
*τοὺς τροπικοὺς ὑπερβάλλειν.* Πρὸς *δὲ τούτοις ἄστρων ὁ* 17
*τόπος πλήρης ἐστὶ τῶν* [q] *τε μεγίστων καὶ λαμπροτάτων,*
*καὶ ἔτι τῶν σποράδων καλουμένων (τοῦτο δ' ἐστὶ καὶ τοῖς*
*ὄμμασιν ἰδεῖν φανερόν), ὥστε διὰ ταῦτα συνεχῶς καὶ ἀεὶ*
*ταύτην* [r] *πᾶσαν ἀθροίζεσθαι τὴν σύγκρισιν.* Σημεῖον *δέ·* 18
*καὶ γὰρ αὐτοῦ τοῦ κύκλου πλεῖον τὸ φῶς ἐστιν ἐν θατέρῳ*

[y] *λεγομένου* om. E. [z] *ἀποκρίνασθαι* H.N. [a] *τὴν τοιαύτην* F.H.N. [b] *οἵους* E. [c] *τὸ* om. E.N. [d] *τοιοῦτοι* E. [e] *ποιεῖ* E. [f] *ἐκριπίζειν ἀέρα καὶ διακρίνειν διὰ τὸ τοῦ κύκλου μέγεθος, καὶ* H. et margo F. [g] *οὖν τὴν τῶν* N. [h] *κύκλος* om. E.H.N. [i] *ἐντὸς* E. [k] *περὶ τὸν ἥλιον οὔτε περὶ τὴν σ.* F.H.N. [l] *κομήτης* E. [m] *συστ. τὴν τ.* F.N. [n] *αὐτὸς* E. [o] *ὅτι τε* F, om. H.N. [p] *οὗτος* N. [q] *τε* om. H.N. [r] *πᾶσαν* om. N.

ἡμικυκλίῳ [s] τῷ τὸ δίπλωμα ἔχοντι· ἐν τούτῳ γὰρ πλείω καὶ
πυκνότερά [t] ἐστιν ἄστρα [v] ἢ ἐν θατέρῳ, ὡς οὐ δι' ἑτέραν τιν'
αἰτίαν γιγνομένου τοῦ φέγγους ἢ διὰ τὴν τῶν ἄστρων φο-
ράν· εἰ γὰρ ἔν τε τῷ κύκλῳ τούτῳ γίνεται ἐν ᾧ τὰ πλεῖστα
κεῖται τῶν ἄστρων, καὶ αὐτοῦ τοῦ κύκλου ἐν ᾧ μᾶλλον φαί-
νεται καταπεπυκνῶσθαι καὶ μεγέθει καὶ πλήθει ἀστέρων,
ταύτην εἰκὸς ὑπολαβεῖν οἰκειοτάτην αἰτίαν εἶναι τοῦ πάθους.
19 Θεωρείσθω δ' ὅ τε κύκλος καὶ τὰ ἐν αὐτῷ ἄστρα ἐκ τῆς ὑπο-
γραφῆς. Τοὺς δὲ σποράδας καλουμένους οὕτω μὲν εἰς τὴν
σφαῖραν οὐκ [w] ἔστι τάξαι διὰ τὸ μηδεμίαν διὰ τέλους ἔχειν
φανερὰν ἕκαστον θέσιν, εἰς δὲ τὸν οὐρανὸν ἀναβλέπουσίν
ἐστι δῆλον· ἐν μόνῳ γὰρ τούτῳ [x] τῶν κύκλων τὰ μεταξὺ
πλήρη [y] τοιούτων ἀστέρων ἐστίν, ἐν δὲ τοῖς ἄλλοις διαλείπει
20 φανερῶς. Ὥστ' εἴπερ καὶ περὶ τοῦ φαίνεσθαι κομήτας ἀπο-
δεχόμεθα τὴν αἰτίαν ὡς εἰρημένην μετρίως, καὶ περὶ τοῦ γά-
λακτος τὸν αὐτὸν [z] ὑποληπτέον τρόπον ἔχειν· ὃ γὰρ ἐκεῖ
περὶ ἕνα ἐστὶ πάθος ἡ κόμη, τοῦτο περὶ κύκλον τινὰ συμ-
βαίνει γίγνεσθαι τὸ αὐτό, καὶ ἔστι τὸ γάλα, ὡς εἰπεῖν οἷον
ὁριζόμενον, [a] ἡ τοῦ μεγίστου διὰ τὴν ἔκκρισιν κύκλου κόμη.
21 Διὸ καθάπερ [b] εἴπομεν πρότερον, οὐ πολλοὶ οὐδὲ πολλάκις
[c] γίγνονται κομῆται, διὰ τὸ συνεχῶς ἀποκεκρίσθαι [d] τε καὶ
ἀποκρίνεσθαι καθ' ἑκάστην περίοδον εἰς τοῦτον τὸν τόπον
22 ἀεὶ τὴν τοιαύτην [e] σύστασιν. Περὶ μὲν οὖν τῶν γιγνομένων
ἐν τῷ περὶ τὴν γῆν κόσμῳ τῷ συνεχεῖ ταῖς [f] φοραῖς εἴρηται,
περί τε τῆς διαδρομῆς τῶν ἄστρων καὶ τῆς [g] ἐκπιμπραμένης
φλογός, [h] ἔτι περί τε κομητῶν καὶ τοῦ καλουμένου γάλα-
κτος· σχεδὸν γὰρ [i] ἐστι [k] τοσαῦτα [l] τὰ πάθη τὰ φαινόμενα
περὶ τὸν τόπον τοῦτον.

9 Περὶ δὲ τοῦ τῇ θέσει μὲν δευτέρου τόπου μετὰ τοῦτον,

[s] τῷ τοδὶ πλήρωμα N. [t] ἐστι τὰ ἄστρα N. [v] ἢ om. E. [w] ἔσται H.N. [x] τῷ οὐρανῷ (supra posito κύκλῳ) F. [y] τοιούτων ἄστρων F, ἀστέρων τοιούτων N, ἄστρων τ. H. [z] τρόπον ὑποληπτέον F.H.N. [a] ἡ om. E. [b] πρότερον εἴπομεν F.H.N. [c] κομῆται γίνονται F. [d] τε καὶ ἀποκρίνεσθαι om. E. [e] ἀναθυμίασιν F. [f] σφαίραις F. [g] ἐμπιπραμένης N, ἐκπιμπραμένης F. [h] ἔτι δὲ π. F.H.N. [i] εἰσιν E. [k] ταῦτα F. [l] τὰ om. E.

πρώτου δὲ περὶ τὴν γῆν λέγωμεν· οὗτος γὰρ κοινὸς ὕδατός
τε τόπος καὶ ἀέρος καὶ τῶν συμβαινόντων περὶ τὴν ἄνω γέ-
νεσιν αὐτοῦ. Ληπτέον δὲ καὶ τούτων τὰς ἀρχὰς καὶ τὰς
αἰτίας πάντων ὁμοίως. Ἡ μὲν οὖν ὡς κινοῦσα καὶ [m] κυρία 2
καὶ πρώτη τῶν ἀρχῶν ὁ [n] κύκλος ἐστίν, ἐν ᾧ φανερῶς ἡ τοῦ
ἡλίου φορὰ διακρίνουσα καὶ συγκρίνουσα τῷ [o] γίγνεσθαι
πλησίον ἢ πορρώτερον αἰτία τῆς γενέσεως καὶ τῆς φθορᾶς
ἐστίν. Μενούσης [p] δὲ τῆς γῆς, τὸ περὶ αὐτὴν ὑγρὸν ὑπὸ τῶν 3
ἀκτίνων καὶ ὑπὸ τῆς ἄλλης [q] τῆς ἄνωθεν θερμότητος ἀτμι-
δούμενον φέρεται ἄνω· τῆς δὲ θερμότητος [r] ἀπολιπούσης τῆς
ἀναγούσης αὐτό, καὶ τῆς μὲν διασκεδαννυμένης πρὸς τὸν ἄνω
τόπον, τῆς δὲ [s] καὶ σβεννυμένης διὰ τὸ μετεωρίζεσθαι πορρώ-
τερον εἰς τὸν ὑπὲρ τῆς γῆς ἀέρα, συνίσταται πάλιν ἡ ἀτμὶς
ψυχομένη διά τε τὴν ἀπόλειψιν τοῦ θερμοῦ καὶ τὸν τόπον,
καὶ γίνεται ὕδωρ ἐξ ἀέρος· γενόμενον δὲ [t] φέρεται πάλιν
πρὸς τὴν γῆν. Ἔστι δ' ἡ μὲν ἐξ ὕδατος ἀναθυμίασις ἀτμίς, 4
ἡ δ' ἐξ ἀέρος εἰς ὕδωρ νέφος· ὁμίχλη δὲ νεφέλης περίττωμα
τῆς εἰς ὕδωρ συγκρίσεως. Διό[v]περ σημεῖον μᾶλλόν [w] ἐστιν
[x] εὐδίας ἢ ὑδάτων· οἷον γάρ ἐστιν ἡ ὁμίχλη νεφέλη ἄγονος.
Γίνεται [y] δὲ [z] κύκλος οὗτος μιμούμενος τὸν τοῦ ἡλίου κύκλον·
ἅμα γὰρ ἐκεῖνος εἰς τὰ πλάγια μεταβάλλει καὶ οὗτος ἄνω
καὶ κάτω. [a] Καὶ δεῖ νοῆσαι τοῦτον ὥσπερ ποταμὸν ῥέοντα 5
κύκλῳ ἄνω καὶ κάτω, κοινὸν ἀέρος καὶ ὕδατος· πλησίον μὲν
γὰρ ὄντος τοῦ ἡλίου ὁ τῆς ἀτμίδος ἄνω ῥεῖ ποταμός, ἀφι-
σταμένου δὲ [b] ὁ τοῦ ὕδατος κάτω. Καὶ τοῦτ' ἐνδελεχὲς [c] ἐθέ-
λει γίγνεσθαι κατά γε τὴν τάξιν· ὥστ' εἴπερ ᾐνίττοντο τὸν
ὠκεανὸν οἱ πρότερον, τάχ' ἂν τοῦτον τὸν ποταμὸν λέγοιεν
τὸν κύκλῳ ῥέοντα περὶ τὴν γῆν. Ἀναγομένου δὲ τοῦ ὑγροῦ 6
ἀεὶ διὰ τὴν τοῦ θερμοῦ δύναμιν καὶ πάλιν φερομένου κάτω

[m] πρώτη καὶ κυρία F. [n] οὐρανός (supra posito κύκλος) F. [o] γενέσθαι F. [p] δὲ μέσῳ τῆς F. [q] τῆς ante ἄνωθεν om. H.N. [r] ἀπολειπούσης τῆς ἀναγαγούσης H.N. [s] καὶ om. F. [t] πάλιν φέρεται F.H.N. [v] περ om. F.H.N. [w] εἰσιν E. [x] εὐδίας om. pr. N. [y] δὲ] δὲ ὁ N. [z] κύκλος] οὐρανὸς (supra posito ὁ κύκλος) F. [a] καὶ δεῖ] δεῖ δὲ F.H.N. [b] ὁ post δὲ om. E. [c] θέλει N.

διὰ τὴν ψύξιν πρὸς τὴν γῆν, οἰκείως τὰ ὀνόματα τοῖς πάθεσι κεῖται καί [d] τισι διαφοραῖς αὐτῶν· ὅταν μὲν γὰρ κατὰ μικρὰ φέρηται, [e] ψακάδες, ὅταν δὲ κατὰ μείζω μόρια, ὑετὸς καλεῖται.

10 Ἐκ δὲ τοῦ καθ' ἡμέραν [f] ἀτμίζοντος ὅσον ἂν μὴ μετεωρισθῇ δι' ὀλιγότητα τοῦ ἀνάγοντος αὐτὸ πυρὸς πρὸς τὸ ἀναγόμενον ὕδωρ, πάλιν καταφερόμενον ὅταν [g] ψυχθῇ νύκτωρ, καλεῖται δρόσος καὶ πάχνη, πάχνη μὲν ὅταν ἡ ἀτμὶς παγῇ πρὶν εἰς ὕδωρ [h] συγκριθῆναι πάλιν (γίνεται δὲ χειμῶνος, καὶ μᾶλλον ἐν τοῖς χειμερινοῖς τόποις), δρόσος δ' ὅταν συγκριθῇ εἰς ὕδωρ ἡ ἀτμίς, καὶ μήθ' οὕτως [i] ἔχῃ ἡ ἀλέα ὥστε ξηρᾶναι τὸ ἀναχθέν, μήθ' οὕτω [k] ψῦχος ὥστε παγῆναι τὴν ἀτμίδα αὐτὴν διὰ τὸ ἢ τὸν τόπον ἀλεεινότερον ἢ τὴν ὥραν εἶναι· γίνεται γὰρ [l] μᾶλλον ἡ δρόσος ἐν εὐδίᾳ καὶ ἐν τοῖς εὐδιεινοτέροις τόποις, ἡ δὲ πάχνη, καθάπερ εἴρηται, τοὐναντίον· δῆλον γὰρ [m] ὡς ἡ ἀτμὶς [n] θερμότερον ὕδατος (ἔχει γὰρ τὸ ἀνάγον ἔτι πῦρ), ὥστε πλείονος ψυχρότητος
2 αὐτὴν πῆξαι. Γίνεται δ' ἄμφω αἰθρίας τε καὶ νηνεμίας· οὔτε γὰρ ἀναχθήσεται μὴ οὔσης αἰθρίας, οὔτε συστῆναι δύναιτ' ἂν ἀνέμου πνέοντος. Σημεῖον δ' ὅτι γίνεται ταῦτα διὰ τὸ μὴ πόρρω μετεωρίζεσθαι τὴν ἀτμίδα· [o] ἐπὶ γὰρ τοῖς ὄρεσιν [p] οὐ
3 γίνεται πάχνη. Αἰτία δὲ μία μὲν αὕτη, ὅτι ἀνάγεται ἐκ τῶν κοίλων καὶ ἐφύδρων τόπων, ὥστε καθάπερ φορτίον φέρουσα [q] πλέον ἡ ἀνάγουσα θερμότης ἢ καθ' αὐτὴν οὐ δύναται μετεωρίζειν ἐπὶ πολὺν τόπον αὐτὸ τοῦ ὕψους, ἀλλ' ἐγγὺς ἀφίησι πάλιν· ἑτέρα δ' ὅτι καὶ ῥεῖ μάλιστα ὁ ἀὴρ ῥέων ἐν τοῖς
4 ὑψηλοῖς, ὃς διαλύει [r] τὴν τοιαύτην σύστασιν. Γίνεται δ' ἡ δρόσος πανταχοῦ νοτίοις, οὐ βορείοις, πλὴν ἐν τῷ Πόντῳ. Ἐκεῖ δὲ τοὐναντίον· βορείοις μὲν γὰρ γίγνεται, νοτίοις δ' οὐ γίγνεται. Αἴτιον δ' ὁμοίως ὥσπερ ὅτι εὐδίας μὲν γίγνεται, χειμῶνος δ' οὔ· ὁ μὲν γὰρ νότος εὐδίαν ποιεῖ, ὁ δὲ βορέας

[d] τισι] ταῖς F. [e] ψεκάδες F.H.N. [f] ἀτμισθέντος γρ. N. [g] ψυχῇ N. [h] συγκριθῇ F. [i] ἔχῃ ἡ] ᾖ F.H.N. [k] ψῦχος om. E. [l] μᾶλλον om. E. [m] ὡς] ὅτι F.H.N. [n] θερμότης N. [o] ἐπὶ] ἐν F.H.N. [p] οὔτε E. [q] πλεῖον F.H.N. [r] τὴν σύστασιν τὴν τοιαύτην F.H.

χειμῶνα· ψυχρὸς γάρ, ὥστ' ἐκ τοῦ χειμῶνος τῆς ἀναθυ-
μιάσεως σβέννυσι τὴν θερμότητα. Ἐν δὲ τῷ Πόντῳ ὁ μὲν 5
νότος οὐχ οὕτως ποιεῖ εὐδίαν ὥστε γίγνεσθαι ἀτμίδα, ὁ δὲ
βορέας διὰ τὴν ψυχρότητα ἀντιπεριστὰς τὸ θερμὸν ἀθροί-
ζει, ὥστε πλεῖον [s]ἀτμίζειν μᾶλλον. Πολλάκις δὲ τοῦτο καὶ
ἐν τοῖς ἔξω τόποις ἰδεῖν γινόμενον ἔστιν· [t]ἀτμίζειν [v]γὰρ τὰ
φρέατα βορείοις μᾶλλον ἢ νοτίοις. Ἀλλὰ τὰ μὲν βόρεια 6
σβέννυσι πρὶν συστῆναί τι πλῆθος, ἐν δὲ τοῖς νοτίοις ἐᾶται
ἀθροίζεσθαι ἡ ἀναθυμίασις. Αὐτὸ δὲ τὸ ὕδωρ οὐ πήγνυται,
καθάπερ ἐν τῷ περὶ τὰ νέφη τόπῳ. [w]Ἐκεῖθεν γὰρ τρία 11
φοιτᾷ σώματα συνιστάμενα διὰ τὴν [x]ψύξιν, ὕδωρ καὶ χιὼν
καὶ χάλαζα. Τούτων δὲ τὰ μὲν δύο ἀνάλογον καὶ διὰ τὰς
αὐτὰς αἰτίας γίγνεται τοῖς κάτω, διαφέροντα τῷ μᾶλλον
[y]καὶ ἧττον καὶ πλήθει καὶ ὀλιγότητι· χιὼν γὰρ καὶ πάχνη
ταὐτόν, καὶ ὑετὸς καὶ δρόσος, ἀλλὰ τὸ μὲν πολὺ τὸ δ'
ὀλίγον. Ὁ μὲν γὰρ ὑετὸς ἐκ πολλῆς ἀτμίδος γίγνεται ψυ- 2
χομένης· τούτου δ' αἴτιον ὅ τε τόπος πολὺς καὶ ὁ χρόνος
ὤν, ἐν ᾧ συλλέγεται καὶ ἐξ οὗ. Τὸ δ' ὀλίγον ἡ δρόσος·
ἐφήμερος γὰρ ἡ σύστασις καὶ ὁ τόπος μικρός· δηλοῖ [z]δ' ἥ
τε γένεσις οὖσα [a]ταχεῖα καὶ βραχὺ τὸ πλῆθος. Ὁμοίως δὲ 3
καὶ πάχνη καὶ χιών· ὅταν γὰρ παγῇ τὸ νέφος, [b]χιών ἐστιν,
ὅταν δ' [c]ἡ ἀτμίς, πάχνη. [d]Διὸ ἢ ὥρας ἢ χώρας [e]ἐστὶ σημεῖον
ψυχρᾶς· οὐ γὰρ ἂν ἐπήγνυτο ἔτι πολλῆς ἐνούσης θερμότη-
τος, εἰ μὴ ἐπεκράτει τὸ ψῦχος. Ἐν [f]γὰρ τῷ νέφει [g]ἔτι
ἔνεστι πολὺ [h]τὸ θερμὸν τὸ ὑπόλοιπον τοῦ ἐξατμίσαντος ἐκ
τῆς γῆς τὸ ὑγρὸν [i]πυρός. Χάλαζα δ' ἐκεῖ μὲν γίγνεται, ἐν 4
δὲ τῷ πλησίον τῆς γῆς [k]ἀτμίζοντι τοῦτ' [l]ἐλλείπει· καθάπερ
γὰρ εἴπομεν, ὡς μὲν ἐκεῖ χιών, ἐνταῦθα γίγνεται πάχνη, ὡς δ'
ἐκεῖ ὑετός, [m]ἐνταῦθα δρόσος· ὡς δ' ἐκεῖ χάλαζα, ἐνταῦθα

[s] ἀτμίζει N. [t] ἀτμίζει F.N. [v] γὰρ om. E. [w] κεῖθεν E. [x] τῆξιν (supra posito ψύξιν) F, ψύξιν καὶ E. [y] καὶ τῷ ἧττον N. [z] δ'] τε F. [a] ταχεῖα] βραχεῖα E. [b] ἐστὶ χιών N. [c] ἡ om. E. [d] διὸ καὶ ἢ F. [e] σημεῖόν ἐστι F.H.N. [f] γὰρ om. E. [g] ἔτι] τι E. [h] τὸ ante θ. om. F.H.N. [i] πυρός om. F. [k] ἀτμίζονται N. [l] ἐκλείπει F.H.N. [m] ἐνταῦθα δὲ δρ. E.

*οὐκ ἀνταποδίδωσι τὸ ὅμοιον. Τὸ δ' αἴτιον εἰποῦσι περὶ χαλάζης ἔσται δῆλον.*

12 *Δεῖ δὲ λαβεῖν ἅμα καὶ τὰ συμβαίνοντα περὶ τὴν γένεσιν αὐτῆς, τά τε μὴ πλανῶντα καὶ τὰ δοκοῦντ' εἶναι παράλογα. Ἔστι μὲν γὰρ ἡ χάλαζα κρύσταλλος, πήγνυται δὲ τὸ ὕδωρ τοῦ χειμῶνος· αἱ δὲ χάλαζαι γίνονται [n]ἔαρος μὲν καὶ μετοπώρου μάλιστα, [o]εἶτα καὶ τῆς ὀπώρας, χειμῶνος δ' ὀλιγάκις,*
2 *καὶ ὅταν [p]ἧττον ᾖ ψῦχος. Καὶ ὅλως δὲ γίνονται χάλαζαι μὲν ἐν τοῖς [q]εὐδιεινοτέροις τόποις, αἱ δὲ χιόνες ἐν τοῖς ψυχροτέροις. Ἄτοπον δὲ καὶ τὸ πήγνυσθαι ὕδωρ ἐν τῷ ἄνω τόπῳ· οὔτε γὰρ παγῆναι δυνατὸν πρὶν γενέσθαι ὕδωρ, οὔτε*
3 *τὸ ὕδωρ [r]οὐθένα χρόνον οἷόν τε μένειν μετέωρον [s]ὄν. Ἀλλὰ μὴν οὐδ' ὥσπερ αἱ [t]ψακάδες ἄνω μὲν ὀχοῦνται διὰ μικρότητα, ἐνδιατρίψασαι δ' ἐπὶ τοῦ ἀέρος, ὥσπερ [v]καὶ ἐπὶ τοῦ ὕδατος γῆ καὶ χρυσὸς διὰ μικρομέρειαν πολλάκις ἐπιπλέουσιν, οὕτως ἐπὶ τοῦ ἀέρος τὸ ὕδωρ, συνελθόντων δὲ πολλῶν μικρῶν μεγάλαι καταφέρονται [t]ψακάδες· τοῦτο γὰρ οὐκ ἐνδέχεται γενέσθαι ἐπὶ τῆς χαλάζης· οὐ γὰρ συμφύεται τὰ πεπηγότα*
4 *ὥσπερ τὰ ὑγρά. Δῆλον οὖν ὅτι ἄνω τοσοῦτον ὕδωρ [w]ἔμεινεν· οὐ γὰρ ἂν ἐπάγη τοσοῦτον. Τοῖς μὲν οὖν δοκεῖ τοῦ πάθους αἴτιον εἶναι [x]τούτου καὶ τῆς γενέσεως, ὅταν [y]ἀπωσθῇ τὸ νέφος εἰς τὸν ἄνω τόπον μᾶλλον ὄντα ψυχρὸν διὰ τὸ λήγειν ἐκεῖ τὰς ἀπὸ τῆς γῆς τῶν ἀκτίνων ἀνακλάσεις, ἐλθὸν*
5 *δ' ἐκεῖ πήγνυσθαι τὸ ὕδωρ. Διὸ καὶ θέρους μᾶλλον καὶ ἐν ταῖς ἀλεειναῖς χώραις γίνεσθαι τὰς χαλάζας, ὅτι ἐπὶ πλεῖον τὸ θερμὸν ἀνωθεῖ ἀπὸ τῆς γῆς τὰς νεφέλας. Συμβαίνει δ' ἐν τοῖς σφόδρα ὑψηλοῖς ἥκιστα γίνεσθαι [z]χάλαζαν· καίτοι ἔδει, ὥσπερ [a]καὶ τὴν χιόνα ὁρῶμεν ἐπὶ τοῖς*
6 *ὑψηλοῖς μάλιστα γιγνομένην. Ἔτι δὲ πολλάκις ὦπται νέφη φερόμενα σὺν ψόφῳ πολλῷ παρ' αὐτὴν τὴν γῆν, ὥστε φοβερὸν εἶναι τοῖς ἀκούουσι καὶ ὁρῶσιν ὡς ἐσομένου τινὸς μεί-*

[n] *ἀέρος* E. [o] *εἶτα δὲ καὶ* F.H.N. [p] *ἧττον* om. pr. N. [q] *εὐδιεινοτέροις—ἐν τοῖς* om. pr. E. [r] *οὐχ ἕνα* F. [s] *ὂν* om. E.F. [t] *ψεκάδες* F.H.N. [v] *καὶ* om. H.N. [w] *γέγονεν* (supra posito *ἔμεινεν*) N. [x] *τοῦτο* E. [y] *ἀποστῇ* N. [z] *χαλάζας* E. [a] *καὶ* om. E.

ζονος. Ὁτὲ δὲ καὶ ἄνευ ψόφου τοιούτων ὀφθέντων νεφῶν 7
χάλαζα γίνεται πολλὴ καὶ τὸ μέγεθος ἄπιστος, καὶ τοῖς
σχήμασιν οὐ στρογγύλη, διὰ τὸ μὴ πολὺν χρόνον γίνεσθαι
τὴν φορὰν [b]αὐτῆς ὡς πλησίον τῆς πήξεως [c]γενομένης τῆς γῆς,
ἀλλ' οὐχ ὥσπερ ἐκεῖνοί φασιν. Ἀλλὰ μὴν ἀναγκαῖον ὑπὸ 8
τοῦ μάλιστ' αἰτίου τῆς πήξεως [d]μεγάλας γίνεσθαι χαλάζας·
κρύσταλλος γὰρ ἡ χάλαζα, καὶ τοῦτο παντὶ δῆλον. Μεγά-
λαι δ' [e]εἰσὶν αἱ τοῖς σχήμασι [f]μὴ στρογγύλαι. Τοῦτο [g]δὲ 9
σημεῖον τοῦ παγῆναι πλησίον τῆς γῆς· αἱ γὰρ φερόμεναι
πόρρωθεν διὰ τὸ φέρεσθαι [h]μακρὰν περιθραυόμεναι γίνονται
τό τε σχῆμα περιφερεῖς καὶ τὸ μέγεθος ἐλάττους. Ὅτι μὲν
οὖν οὐ τῷ ἀπωθεῖσθαι εἰς τὸν ἄνω τόπον [i]τὸν ψυχρὸν ἡ πῆξις
συμβαίνει, δῆλον. Ἀλλ' ἐπειδὴ ὁρῶμεν ὅτι γίνεται ἀντιπερί- 10
στασις τῷ θερμῷ καὶ [k]τῷ ψυχρῷ ἀλλήλοις, διὸ ἔν τε ταῖς
ἀλέαις ψυχρὰ [l]τὰ κάτω τῆς γῆς καὶ ἀλεεινὰ ἐν τοῖς πάγοις,
τοῦτο δεῖ νομίζειν καὶ ἐν τῷ ἄνω γίνεσθαι τόπῳ, ὥστ' ἐν
ταῖς ἀλεεινοτέραις [m]ὥραις ἀντιπεριιστάμενον εἴσω τὸ ψυ-
χρὸν διὰ τὴν [n]κύκλῳ θερμότητα ὁτὲ μὲν ταχὺ ὕδωρ ἐκ [o]τοῦ
νέφους ποιεῖ, [p]ὁτὲ δὲ χάλαζαν. Διὸ καὶ αἱ [q]ψακάδες πολὺ 11
μείζους ἐν ταῖς ἀλεειναῖς [r]γίνονται ἡμέραις ἢ ἐν τῷ χει-
μῶνι, καὶ [s]ὕδατα λαβρότερα· λαβρότερα μὲν γὰρ [t]λέγε-
ται ὅταν ἀθροώτερα, ἀθροώτερα δὲ διὰ τὸ τάχος τῆς πυ-
κνώσεως. Τοῦτο δὲ γίγνεται [v]αὐτὸ τοὐναντίον ἢ ὡς Ἀναξα- 12
γόρας λέγει· ὁ μὲν γὰρ ὅταν εἰς τὸν ψυχρὸν ἀέρα ἐπα-
νέλθῃ φησὶ τοῦτο πάσχειν, ἡμεῖς δ' ὅταν εἰς τὸν θερμὸν
[w]κατέλθῃ, καὶ μάλιστα ὅταν μάλιστα. Ὅταν [x]δ' ἔτι μᾶλ-
λον ἀντιπεριστῇ ἐντὸς τὸ ψυχρὸν ὑπὸ τοῦ ἔξω θερμοῦ, [y]ὕδωρ
ποιῆσαν ἔπηξε καὶ γίνεται χάλαζα. Συμβαίνει δὲ τοῦτο, 13

[b] αὐτοῖς N. [c] γινομένης N. [d] μεγίστας F.H.N. [e] εἰσὶ καὶ αἱ F. [f] μὴ] οὐ N. [g] δ' ἐστὶ σ. F.H.N. [h] μακρὸν H.N. [i] τὸν ψ.] τὸ ψ. F.N. [k] τῷ ante ψ. om. E. [l] τὰ] καὶ τὰ F. [m] ὥραις om. E. [n] κύκλῳ om. N. [o] τοῦ om. F.H.N. [p] ὁτὲ δὲ χάλαζαν om. E.F.H. et pr. N. [q] ψεκάδες F.H.N. [r] γίνεσθαι N. [s] ὕδ. λαμπρότερα E. [t] λέγεται (supra posito γίνεται) F, γίνεται H.N. [v] αὐτὸ om. E. [w] κατελθῃ (supra posito ἐμπέσῃ) F. [x] δέ τι F. [y] ὕδωρ δὲ π. F.

ὅταν [z]θᾶττον ᾖ ἡ πῆξις ἢ ἡ τοῦ ὕδατος φορὰ ἡ κάτω· εἰ
γὰρ φέρεται μὲν ἐν τοσῷδε χρόνῳ, ἡ δὲ ψυχρότης σφοδρὰ
οὖσα ἐν ἐλάττονι ἔπηξεν, οὐθὲν κωλύει μετέωρον [a]ὂν παγῆναι,
ἐὰν [b]ἡ πῆξις ἐν ἐλάττονι [c]γίνηται χρόνῳ [d]τῆς κάτω φορᾶς.
14 Καὶ ὅσῳ δ' ἂν ἐγγύτερον καὶ ἀθροωτέρα γένηται ἡ πῆξις, τά
τε ὕδατα λαβρότερα γίνεται καὶ αἱ [e]ψακάδες καὶ αἱ χάλαζαι
μείζους διὰ τὸ βραχὺν φέρεσθαι τόπον. Καὶ οὐ πυκναὶ αἱ
[e]ψακάδες αἱ μεγάλαι πίπτουσι διὰ τὴν αὐτὴν αἰτίαν.
15 Ἧττον δὲ τοῦ θέρους γίνεται ἢ ἔαρος καὶ μετοπώρου,
μᾶλλον μέντοι ἢ χειμῶνος, ὅτι ξηρότερος ὁ ἀὴρ τοῦ θέρους·
ἐν δὲ τῷ [f]ἔαρι ἔτι ὑγρός, ἐν δὲ τῷ μετοπώρῳ ἤδη ὑγραίνεται.
Γίγνονται δέ ποτε, καθάπερ εἴρηται, καὶ τῆς ὀπώρας χαλάζαι
διὰ τὴν αὐτὴν αἰτίαν. Συμβάλλεται [g]δ' ἔτι πρὸς τὴν [h]τα-
χυτῆτα τῆς πήξεως καὶ τὸ προτεθερμάνθαι τὸ ὕδωρ· θᾶττον
16 γὰρ ψύχεται. Διὸ πολλοὶ ὅταν τὸ [i]ὕδωρ ψῦξαι ταχὺ
βουληθῶσιν, εἰς τὸν ἥλιον τιθέασι πρῶτον, καὶ οἱ περὶ τὸν
Πόντον ὅταν ἐπὶ τοῦ κρυστάλλου σκηνοποιῶνται πρὸς τὰς
τῶν ἰχθύων θήρας (θηρεύουσι γὰρ διακόπτοντες τὸν κρύσταλ-
λον), ὕδωρ θερμὸν περιχέουσι τοῖς καλάμοις διὰ τὸ θᾶττον
πήγνυσθαι· χρῶνται γὰρ τῷ κρυστάλλῳ ὥσπερ τῷ μολίβδῳ,
17 ἵν' ἠρεμῶσιν οἱ κάλαμοι. Θερμὸν δὲ γίνεται ταχὺ τὸ συν-
ιστάμενον ὕδωρ ἔν τε ταῖς [k]χώραις καὶ ταῖς ὥραις ταῖς
ἀλεειναῖς. Γίνεται δὲ [l]καὶ περὶ τὴν [m]Ἀραβίαν καὶ [n]τὴν
Αἰθιοπίαν τοῦ θέρους τὰ ὕδατα καὶ οὐ τοῦ χειμῶνος, καὶ
ταῦτα ῥαγδαῖα, καὶ τῆς αὐτῆς ἡμέρας πολλάκις, διὰ τὴν
αὐτὴν αἰτίαν· ταχὺ γὰρ ψύχεται τῇ ἀντιπεριστάσει, ἣ γί-
18 νεται διὰ τὸ ἀλεεινὴν εἶναι τὴν χώραν ἰσχυρῶς. Περὶ μὲν
οὖν ὑετοῦ καὶ δρόσου καὶ νιφετοῦ καὶ πάχνης καὶ χαλάζης,
διὰ τίν' αἰτίαν γίγνεται καὶ τίς ἡ φύσις αὐτῶν [o]ἐστίν,
εἰρήσθω τοσαῦτα.

[z] θάττων E. [a] ὂν om. F.N. [b] ἡ om. E. [c] γίνεται pr. H. [d] τῆς] ἢ τῆς E. [e] ψεκάδες F.H.N. [f] ἀέρι E. [g] δέ τι H.N. [h] ταχύτητα N. [i] ὕδωρ] θερμὸν H.N. et pr. F. [k] ὥραις καὶ ταῖς χώραις F.H.N. [l] καὶ om. E. [m] ἀρραβίαν F.H.N. [n] τὴν om. E. [o] ἐστίν om. H.N.

Περὶ δ' ἀνέμων καὶ [p] πάντων πνευμάτων, ἔτι δὲ ποταμῶν 13
καὶ [q] θαλάττης λέγωμεν, πρῶτον καὶ περὶ τούτων [r] προαπο-
ρήσαντες πρὸς ἡμᾶς αὐτούς· ὥσπερ γὰρ καὶ περὶ [s] ἄλλων,
οὕτω καὶ περὶ τούτων οὐθὲν παρειλήφαμεν [t] λεγόμενον τοι-
οῦτον ὃ μὴ κἂν ὁ τυχὼν [v] εἴπειεν. Εἰσὶ δέ τινες οἵ φασι 2
τὸν καλούμενον ἀέρα κινούμενον μὲν καὶ ῥέοντα ἄνεμον εἶναι,
συνιστάμενον δὲ τὸν αὐτὸν τοῦτον πάλιν νέφος καὶ ὕδωρ, ὡς
τῆς αὐτῆς φύσεως οὔσης ὕδατος καὶ πνεύματος, καὶ τὸν ἄνε-
μον [w] εἶναι κίνησιν ἀέρος. Διὸ καὶ τῶν [x] σοφῶς βουλομέ- 3
νων λέγειν τινὲς ἕνα φασὶν [y] ἄνεμον εἶναι πάντας τοὺς ἀνέ-
μους, ὅτι συμπέπτωκε καὶ τὸν ἀέρα [z] τὸν κινούμενον ἕνα καὶ
τὸν αὐτὸν εἶναι πάντα, δοκεῖν δὲ διαφέρειν οὐθὲν διαφέροντα
διὰ τοὺς τόπους ὅθεν ἂν [a] τυγχάνῃ ῥέον ἑκάστοτε, παραπλη-
σίως λέγοντες ὥσπερ ἂν εἴ τις οἴοιτο καὶ τοὺς ποταμοὺς
[b] πάντας ἕνα ποταμὸν εἶναι. Διὸ βέλτιον οἱ πολλοὶ λέγου- 4
σιν ἄνευ ζητήσεως τῶν μετὰ ζητήσεως οὕτω λεγόντων· εἰ
μὲν γὰρ ἐκ μιᾶς ἀρχῆς ἅπαντες ῥέουσι, κἀκεῖ τὰ πνεύματα
τὸν αὐτὸν τρόπον, τάχ' [c] ἄν τι λέγοιεν οἱ λέγοντες οὕτως·
εἰ δ' ὁμοίως ἐνταῦθα κἀκεῖ, δῆλον ὅτι τὸ κόμψευμα [d] ἂν εἴη
τοῦτο ψεῦδος, ἐπεὶ τοῦτό γε προσήκουσαν ἔχει σκέψιν, τί
τ' ἐστὶν ὁ ἄνεμος, καὶ γίνεται πῶς, καὶ τί τὸ κινοῦν, καὶ ἡ
ἀρχὴ πόθεν αὐτῶν, καὶ [e] πότερον [f] ἄρ' ὥσπερ ἐξ ἀγγείου δεῖ
λαβεῖν ῥέοντα τὸν ἄνεμον, καὶ μέχρι τούτου ῥεῖν ἕως ἂν
κενωθῇ τὸ ἀγγεῖον, οἷον ἐξ ἀσκῶν ἀφιέμενον, ἢ καθάπερ καὶ
οἱ γραφεῖς γράφουσιν, ἐξ αὐτῶν τὴν ἀρχὴν [g] ἀφιέντας.
Ὁμοίως δὲ καὶ περὶ τῆς τῶν ποταμῶν γενέσεως δοκεῖ τισὶν 5
ἔχειν· τὸ γὰρ ἀναχθὲν ὑπὸ τοῦ ἡλίου ὕδωρ πάλιν ὑόμενον
ἀθροισθὲν ὑπὸ γῆν [h] ῥεῖν ἐκ κοιλίας μεγάλης, ἢ πάντας [i] ἐκ

[p] πνευμάτων πάντων N. [q] θαλάσσης N. [r] διαπορήσαντες F.H.N. [s] ἄλλου τινὸς καὶ E. [t] τοιοῦτον λεγόμενον H.N. [v] εἴποιεν E.N, εἴποι ἂν H. [w] εἶναι] ὄντα H.N. et corr. E. et pr. F. [x] σαφῶς F. [y] ἄνεμον om. H.N. [z] τὸν post ἀέρα om. E.F. [a] τυγχάνει N. [b] εἶναι ποταμὸν ἕνα πάντας N. [c] λέγοιεν ἄν τι E.H.N. [d] εἴη ἂν H.N. [e] πρότερον E. [f] ἄρ' om. F. [g] ἀφίενται E.F.H. [h] ῥεῖν οἷον ἐκ E. [i] ἐκ om. F.H.N.

*μιᾶς ἢ ἄλλον ἄλλης· καὶ οὐ γίνεσθαι ὕδωρ οὐθέν, ἀλλὰ τὸ
συλλεχθὲν [k] ἐκ τοῦ χειμῶνος εἰς τὰς τοιαύτας ὑποδοχάς,
6 τοῦτο γίνεσθαι τὸ πλῆθος [l] τῶν ποταμῶν. Διὸ καὶ μείζους
[m] ἀεὶ τοῦ χειμῶνος ῥεῖν ἢ τοῦ θέρους, καὶ τοὺς μὲν [n] ἀενάους
εἶναι τοὺς δ' οὐκ ἀενάους· ὅσων μὲν γὰρ [o] διὰ τὸ μέγεθος
τῆς κοιλίας πολὺ τὸ συλλεγόμενον ὕδωρ ἐστίν, ὥστε διαρ-
κεῖν καὶ μὴ [p] προαναλίσκεσθαι πρὶν ἐπελθεῖν [q] τὸ ὄμβριον
[r] ἐν τῷ χειμῶνι πάλιν, τούτους μὲν [n] ἀενάους εἶναι διὰ τέλους,
[s] ὅσοις δ' ἐλάττους αἱ ὑποδοχαί, τούτους [t] δὲ δι' ὀλιγότητα
τοῦ ὕδατος [v] φθάνειν ξηραινομένους πρὶν ἐπελθεῖν τὸ ἐκ τοῦ
7 οὐρανοῦ, κενουμένου τοῦ ἀγγείου. Καίτοι φανερόν, εἴ τις
βούλεται ποιήσας οἷον ὑποδοχὴν πρὸ ὀμμάτων τῷ καθ' ἡμέ-
ραν ὕδατι ῥέοντι συνεχῶς νοῆσαι τὸ πλῆθος· ὑπερβάλλοι
γὰρ ἂν τῷ μεγέθει τὸν τῆς γῆς ὄγκον ἢ οὐ πολὺ ἂν [w] ἐλλεί-
8 ποι τὸ [x] δεχόμενον πᾶν τὸ ῥέον ὕδωρ εἰς τὸν ἐνιαυτόν. Ἀλ-
λὰ δῆλον ὅτι συμβαίνει [y] μὲν καὶ πολλὰ τοιαῦτα [z] πολλαχῇ
τῆς γῆς, [a] οὐ μὴν ἀλλ' ἄτοπον εἴ τις μὴ [b] νομίζοι διὰ τὴν
αὐτὴν αἰτίαν ὕδωρ ἐξ ἀέρος γίγνεσθαι δι' ἥνπερ ὑπὲρ γῆς
9 καὶ ἐν τῇ γῇ. Ὥστ' εἴπερ κἀκεῖ διὰ ψυχρότητα συνίσταται
ὁ ἀτμίζων ἀὴρ εἰς ὕδωρ, καὶ ὑπὸ τῆς ἐν τῇ γῇ ψυχρότητος
τὸ αὐτὸ τοῦτο δεῖ νομίζειν συμβαίνειν, καὶ γίγνεσθαι μὴ μό-
νον [c] τὸ ἀποκεκριμένον ὕδωρ ἐν αὐτῇ, καὶ τοῦτο ῥεῖν, ἀλλὰ
10 καὶ γίγνεσθαι συνεχῶς. [d] Ἔτι δὲ τοῦ μὴ γιγνομένου ἀλλ'
ὑπάρχοντος ὕδατος καθ' ἡμέραν μὴ τοιαύτην εἶναι τὴν ἀρχὴν
τῶν ποταμῶν, οἷον ὑπὸ γῆν λίμνας τινὰς ἀποκεκριμένας,
καθάπερ ἔνιοι λέγουσιν, ἀλλ' ὁμοίως ὥσπερ καὶ ἐν τῷ [e] ὑπὲρ
γῆς τόπῳ μικραὶ συνιστάμεναι ῥανίδες, καὶ πάλιν [f] αὗται
ἑτέραις, τέλος μετὰ πλήθους καταβαίνει τὸ ὑόμενον ὕδωρ,
οὕτω καὶ ἐν τῇ γῇ ἐκ μικρῶν συλλείβεσθαι τὸ πρῶτον καὶ*

[k] *ἐκ*] *ὑπὸ* N. [l] *τῶν*] *τούτων* E. [m] *ἀεὶ* om. E. [n] *ἀεννάους* F.H.N. [o] *διὰ* om. E. [p] *παραναλίσκεσθαι* N. [q] *τὸν ὄμβρον* N. [r] *ἐν* om. E. [s] *ὅσους* E. [t] *δὲ*] *δὴ* F, om. H.N. [v] *φθίνειν* N. [w] *ἐλλείπει* pr. F, *ἐλλίποι* N. [x] *ἐνδεχόμενον* F. [y] *μὲν* ante *ὅτι* ponit N, om. E. [z] *πολλαχοῦ* F.H.N. [a] *οὐ μὴν* om. E. [b] *νομίζει* E.F.N. [c] *ὕδωρ τὸ ἀποκεκριμένον* F. [d] *ἔτι*] *ὅτι* N. [e] *ὑπὲρ τῆς γῆς* F.H.N. [f] *αὐταὶ* H.

εἶναι οἷον [g] πιδώσης εἰς ἓν τῆς γῆς τὰς ἀρχὰς τῶν ποταμῶν.
Δηλοῖ δ' αὐτὸ τὸ ἔργον· οἱ γὰρ τὰς ὑδραγωγίας ποιοῦντες 11
ὑπονόμοις καὶ διώρυξι συνάγουσιν, ὥσπερ ἂν [h] ἰδιούσης τῆς
γῆς ἀπὸ τῶν ὑψηλῶν. Διὸ καὶ τὰ ῥεύματα τῶν ποταμῶν
ἐκ τῶν [i] ὀρῶν φαίνεται ῥέοντα, καὶ πλεῖστοι καὶ μέγιστοι
ποταμοὶ ῥέουσιν ἐκ τῶν μεγίστων ὀρῶν. Ὁμοίως δὲ καὶ
αἱ κρῆναι αἱ πλεῖσται ὄρεσι καὶ τόποις ὑψηλοῖς γειτνιῶσιν·
ἐν δὲ τοῖς πεδίοις ἄνευ ποταμῶν ὀλίγαι γίγνονται πάμπαν.
Οἱ γὰρ ὀρεινοὶ καὶ ὑψηλοὶ τόποι, οἷον σπόγγος [k] πυκνὸς 12
[l] ἐπικρεμάμενος, κατὰ μικρὰ μὲν πολλαχῇ δὲ [m] διαπιδῶσι καὶ
συλλείβουσι τὸ ὕδωρ· δέχονταί τε [n] γὰρ τοῦ κατιόντος ὕδα-
τος πολὺ πλῆθος (τί γὰρ διαφέρει κοίλην καὶ ὑπτίαν ἢ
[o] πρηνῆ τὴν περιφέρειαν εἶναι καὶ κυρτήν; ἀμφοτέρως γὰρ
τὸν ἴσον ὄγκον περιλήψεται σώματος) καὶ τὴν ἀνιοῦσαν
ἀτμίδα ψύχουσι καὶ συγκρίνουσι πάλιν εἰς ὕδωρ. [p] Διὸ 13
καθάπερ εἴπομεν, οἱ [q] μέγιστοι τῶν ποταμῶν ἐκ τῶν μεγί-
στων φαίνονται ῥέοντες [r] ὀρῶν. Δῆλον δ' ἐστὶ τοῦτο θεωμέ-
νοις τὰς τῆς γῆς περιόδους· ταύτας γὰρ ἐκ τοῦ πυνθάνεσθαι
παρ' ἑκάστων οὕτως [s] ἀνέγραψαν, [t] ὅσων μὴ συμβέβηκεν αὐ-
τόπτας γενέσθαι τοὺς λέγοντας. Ἐν μὲν οὖν τῇ Ἀσίᾳ 14
πλεῖστοι [v] μὲν ἐκ τοῦ [w] Παρνασσοῦ καλουμένου φαίνονται
ῥέοντες ὄρους καὶ μέγιστοι ποταμοί, τοῦτο δ' ὁμολογεῖται
πάντων εἶναι [x] μέγιστον ὄρος τῶν πρὸς τὴν ἕω τὴν χειμε-
ρινήν· ὑπερβάντι γὰρ ἤδη τοῦτο φαίνεται [y] ἡ ἔξω [z] θά-
λαττα, ἧς τὸ πέρας οὐ δῆλον τοῖς ἐντεῦθεν. Ἐκ μὲν οὖν 15
τούτου ῥέουσιν ἄλλοι τε ποταμοὶ καὶ ὁ Βάκτρος καὶ ὁ
Χοάσπης καὶ ὁ Ἀράξης· τούτου δ' ὁ Τάναϊς ἀποσχίζεται
μέρος ὢν εἰς τὴν Μαιῶτιν λίμνην. Ῥεῖ δὲ καὶ [a] ὁ Ἰνδὸς ἐξ
αὐτοῦ, πάντων τῶν ποταμῶν ῥεῦμα πλεῖστον. Ἐκ δὲ τοῦ 16

[g] πηδώσης E.F.H.N, πιδυούσης γρ. E. [h] ἱδρούσης F.H. [i] ὀρέων F.H. [k] μικρὸς N. [l] ἐπικρεμάμενοι E. [m] διαπηδῶσι N. [n] γὰρ om. H.N. [o] πρινὴ N. [p] διόπερ E. [q] πλεῖστοι pr. F. [r] ὀρέων E. [s] ἀνέγραψ$^{α}$ N, ἀνεγράψαμεν F. [t] ὅσον N. [v] μὲν οὖν ἐκ E. [w] παρνασοῦ F.N. [x] μέγιστον τὸ ὄρος H.N, τὸ ὄρος μέγιστον F. [y] ἡ om. E. [z] θάλασσα N. [a] ὁ om. E.

Καυκάσου [b] ἄλλοι τε ῥέουσι πολλοὶ καὶ κατὰ πλῆθος καὶ
κατὰ μέγεθος ὑπερβάλλοντες, καὶ ὁ Φᾶσις· ὁ δὲ Καύκασος
μέγιστον ὄρος τῶν πρὸς τὴν ἕω τὴν θερινήν ἐστι καὶ πλήθει
17 καὶ ὕψει. [c] Σημεῖον δὲ τοῦ [d] μὲν ὕψους ὅτι ὁρᾶται καὶ
[e] ἀπὸ τῶν καλουμένων βαθέων καὶ εἰς τὴν λίμνην εἰσπλεόν-
των, ἔτι δ' ἡλιοῦται τῆς νυκτὸς [f] αὐτοῦ τὰ ἄκρα μέχρι τοῦ
τρίτου μέρους ἀπό τε τῆς ἕω καὶ πάλιν ἀπὸ τῆς ἑσπέρας·
τοῦ [g] δὲ πλήθους ὅτι πολλὰς [h] ἔχον ἕδρας, ἐν [i] αἷς ἔθνη [k] τε
κατοικεῖ πολλὰ καὶ λίμνας εἶναί φασι μεγάλας, ἀλλ' ὅμως
πάσας τὰς ἕδρας [l] εἶναί φασι φανερὰς μέχρι τῆς ἐσχάτης
18 κορυφῆς. Ἐκ δὲ τῆς Πυρήνης (τοῦτο δ' ἐστὶν ὄρος πρὸς
δυσμὴν ἰσημερινὴν ἐν τῇ Κελτικῇ) ῥέουσιν ὅ τε Ἴστρος καὶ ὁ
[m] Ταρτησσός. Οὗτος μὲν οὖν ἔξω στηλῶν, ὁ δ' Ἴστρος δι'
ὅλης τῆς Εὐρώπης εἰς τὸν Εὔξεινον [n] πόντον. Τῶν δ' ἄλ-
λων ποταμῶν οἱ πλεῖστοι πρὸς ἄρκτον ἐκ τῶν [o] ὀρῶν τῶν
[p] Ἀρκυνίων· ταῦτα δὲ καὶ ὕψει καὶ πλήθει μέγιστα περὶ
19 τὸν τόπον τοῦτόν ἐστιν. Ὑπ' αὐτὴν δὲ τὴν ἄρκτον ὑπὲρ
τῆς ἐσχάτης Σκυθίας αἱ καλούμεναι Ῥῖπαι, περὶ ὧν τοῦ
μεγέθους λίαν εἰσὶν οἱ λεγόμενοι λόγοι μυθώδεις· ῥέουσι δ'
οὖν οἱ πλεῖστοι καὶ μέγιστοι [q] μετὰ τὸν Ἴστρον τῶν ἄλλων
20 ποταμῶν ἐντεῦθεν, ὥς φασιν. Ὁμοίως δὲ καὶ περὶ τὴν Λι-
βύην [r] οἱ μὲν ἐκ τῶν Αἰθιοπικῶν [o] ὀρῶν, ὅ τε Αἰγὼν καὶ ὁ
Νύσις, οἱ [s] δὲ μέγιστοι τῶν διωνομασμένων, ὅ τε Χρεμέτης
καλούμενος, ὃς εἰς τὴν ἔξω ῥεῖ [t] θάλατταν, καὶ τοῦ Νείλου
τὸ ῥεῦμα τὸ πρῶτον, ἐκ τοῦ [v] Ἀργυροῦ καλουμένου ὄρους.
21 Τῶν δὲ περὶ τὸν Ἑλληνικὸν τόπον ὁ μὲν Ἀχελῷος ἐκ Πίν-
δου, καὶ ὁ Ἴναχος ἐντεῦθεν, ὁ δὲ Στρυμὼν καὶ [w] Νέστος καὶ
ὁ [x] Ἕβρος ἅπαντες τρεῖς ὄντες ἐκ τοῦ Σκόμβρου· πολλὰ δὲ
22 ῥεύματα καὶ ἐκ τῆς Ῥοδόπης ἐστίν. Ὁμοίως [y] δὲ καὶ τοὺς

[b] ἄλλοι τε et πολλοὶ om. E. [c] σημεῖα H. et pr. F. [d] μὲν om. E. [e] ὑπὲρ E. [f] αὐτοῦ τε τὰ F. [g] δὲ om. E. [h] ἔχει F, ἔχων H.N. [i] οἷς E. [k] τε om. H.N. [l] εἶναι om. F. [m] ταρτησός N. [n] τόπον E. [o] ὀρέων E. [p] ἀρκυνίων corr. E. [q] μετὰ] περὶ H.N. [r] ὁ E. [s] δὲ om. E. [t] θάλασσαν F. [v] ἀγροῦ E. [w] νέσσος F, νέσος N. [x] εὗρος F.H.N. [y] δὴ H.N.

ἄλλους ποταμοὺς εὕροι τις ἂν ῥέοντας· ἀλλὰ [z] μαρτυρίου
χάριν τούτους εἴπομεν· ἐπεὶ καὶ ὅσοι αὐτῶν ῥέουσιν ἐξ ἑλῶν,
τὰ ἕλη ὑπ' ὄρη κεῖσθαι συμβαίνει πάντα σχεδὸν ἢ τόπους
ὑψηλοὺς ἐκ [a] προσαγωγῆς. Ὅτι μὲν οὖν οὐ δεῖ νομίζειν 23
οὕτω γίνεσθαι τὰς ἀρχὰς τῶν ποταμῶν ὡς ἐξ ἀφωρισμένων
κοιλιῶν, φανερόν· οὔτε γὰρ ἂν ὁ τόπος ἱκανὸς ἦν ὁ τῆς γῆς
ὡς εἰπεῖν, ὥσπερ οὐδ' ὁ τῶν νεφῶν, [b] εἴπερ τὸ ὂν ἔδει ῥεῖν
μόνον, ἀλλὰ μὴ τὸ μὲν ἀπῄει τὸ δ' ἐγίγνετο, ἀλλ' ἀεὶ [c] δὴ
ἀπὸ ὄντος ἐταμιεύετο· τό τε ὑπὸ τοῖς ὄρεσιν ἔχειν τὰς
πηγὰς μαρτυρεῖ διότι [d] τῷ συρρεῖν [e] ἐπ' ὀλίγον καὶ κατὰ μι-
κρὸν ἐκ πολλῶν νοτίδων διαδίδωσιν ὁ τόπος καὶ γίγνονται
οὕτως αἱ πηγαὶ τῶν ποταμῶν. Οὐ μὴν ἀλλὰ καὶ τοιούτους 24
εἶναι τόπους ἔχοντας πλῆθος [f] ὕδατος, οἷον λίμνας, οὐθὲν
ἄτοπον, πλὴν [g] οὐ τηλικαύτας ὥστε τοῦτο συμβαίνειν, οὐθὲν
μᾶλλον ἢ εἴ τις οἴοιτο τὰς φανερὰς εἶναι πηγὰς τῶν ποτα-
μῶν· σχεδὸν γὰρ ἐκ κρηνῶν οἱ πλεῖστοι ῥέουσιν. Ὅμοιον
οὖν τὸ [h] ἐκείνας καὶ τὸ ταύτας [i] νομίζειν εἶναι τὸ σῶμα τὸ
τοῦ ὕδατος πᾶν. Ὅτι δ' εἰσὶ τοιαῦται φάραγγες καὶ δια- 25
στάσεις τῆς γῆς, δηλοῦσιν οἱ καταπινόμενοι τῶν ποταμῶν.
Συμβαίνει δὲ τοῦτο [k] πολλαχοῦ τῆς γῆς, οἷον τῆς μὲν Πε-
λοποννήσου πλεῖστα τοιαῦτα περὶ τὴν Ἀρκαδίαν ἐστίν.
Αἴτιον δὲ διὰ τὸ ὀρεινὴν οὖσαν μὴ ἔχειν ἐκροὰς ἐκ τῶν [l] κοι- 26
λιῶν εἰς [m] θάλατταν· πληρούμενοι γὰρ οἱ τόποι καὶ οὐκ
ἔχοντες ἔκρυσιν [n] αὐτοὶ εὑρίσκονται τὴν δίοδον εἰς βάθος,
ἀποβιαζομένου τοῦ ἄνωθεν ἐπιόντος ὕδατος. Περὶ μὲν οὖν
τὴν Ἑλλάδα μικρὰ τοιαῦτα παντελῶς ἐστὶ γιγνόμενα· ἀλλ'
ἥ γε ὑπὸ τὸν Καύκασον λίμνη, ἣν καλοῦσιν οἱ ἐκεῖ θάλατταν,
φανερά. Αὕτη γὰρ [o] ποταμῶν πολλῶν καὶ μεγάλων [p] εἰσ- 27
βαλλόντων οὐκ ἔχουσα ἔκρουν φανερὸν ἐκδίδωσιν ὑπὸ γῆν
κατὰ [q] Κοραξούς, περὶ τὰ καλούμενα βαθέα τοῦ Πόντου·

[z] μαρτυρίας F.H. [a] προαγωγῆς N. [b] εἴπερ] εἰ F.H.N. [c] δὴ om. F.H.N. [d] τὸ N. [e] ἐπ'] εἰς H.N. [f] ὑδάτων F. [g] οὔτι τηλικ. H.N. et pr. F. [h] κείνας E. [i] εἶναι νομίζειν H.N. [k] πολλαχοῖ E. [l] κοίλων F.H. [m] θάλασσαν F. [n] αὐτοῖς F.H.N. [o] πολλῶν ποταμῶν H. [p] εἰσβαλόντων H.N. [q] κορεξοὺς N.

ταῦτα δ' ἐστὶν ἄπειρόν τι τῆς θαλάττης βάθος· οὐθεὶς
28 γοῦν πώποτε [r] καθιεὶς ἐδυνήθη πέρας εὑρεῖν. Ταύτῃ [s] δὴ πόρρω τῆς γῆς σχεδὸν περὶ τριακόσια στάδια πότιμον ἀναδίδωσι ὕδωρ ἐπὶ πολὺν τόπον, οὐ [t] συνεχῆ δέ, ἀλλὰ τρισσαχῆ. [v] Καὶ περὶ τὴν Λιγυστικὴν οὐκ ἐλάττων τοῦ [w] Ῥοδανοῦ καταπίνεταί τις ποταμός, καὶ πάλιν ἀναδίδωσι κατ' ἄλλον τόπον· ὁ δὲ Ῥοδανὸς ποταμὸς ναυσιπέρατός ἐστιν.

14 Οὐκ ἀεὶ δ' οἱ αὐτοὶ τόποι τῆς γῆς οὔτ' ἔνυγροί εἰσιν οὔτε ξηροί, ἀλλὰ μεταβάλλουσι κατὰ τὰς τῶν ποταμῶν γενέσεις καὶ τὰς ἀπολείψεις. Διὸ καὶ τὰ περὶ τὴν ἤπειρον μεταβάλλει καὶ τὴν θάλατταν, καὶ οὐκ ἀεὶ τὰ μὲν γῆ τὰ δὲ θάλαττα διατελεῖ πάντα τὸν χρόνον, ἀλλὰ γίγνεται [x] θάλαττα μὲν ὅπου χέρσος, ἔνθα δὲ νῦν [x] θάλαττα, πάλιν ἐνταῦθα
2 γῆ. Κατὰ μέντοι τινὰ τάξιν νομίζειν χρὴ ταῦτα γίγνεσθαι [y] καὶ περίοδον. Ἀρχὴ δὲ τούτων καὶ αἴτιον ὅτι καὶ τῆς γῆς τὰ ἐντός, [z] ὥσπερ τὰ σώματα [a] τὰ τῶν φυτῶν καὶ ζῴων, ἀκμὴν ἔχει καὶ γῆρας. Πλὴν ἐκείνοις μὲν οὐ κατὰ μέρος ταῦτα συμβαίνει πάσχειν, ἀλλ' ἅμα πᾶν ἀκμάζειν καὶ φθίνειν [b] ἀναγκαῖον· τῇ δὲ γῇ τοῦτο γίγνεται κατὰ μέρος
3 διὰ ψύξιν καὶ θερμότητα. Ταῦτα μὲν οὖν [c] αὔξεται καί φθίνει διὰ τὸν ἥλιον καὶ τὴν περιφοράν, διὰ δὲ ταῦτα καὶ τὴν δύναμιν τὰ μέρη τῆς γῆς λαμβάνει διαφέρουσαν, ὥστε μέχρι τινὸς ἔνυδρα δύναται [d] διαμένειν, εἶτα ξηραίνεται καὶ γηράσκει πάλιν· ἕτεροι δὲ τόποι βιώσκονται καὶ ἔνυδροι γίγνον-
4 ται κατὰ μέρος. Ἀνάγκη δὲ τῶν μὲν τόπων γιγνομένων [e] ξηροτέρων τὰς πηγὰς ἀφανίζεσθαι, τούτων δὲ συμβαινόντων τοὺς ποταμοὺς πρῶτον μὲν ἐκ μεγάλων μικρούς, εἶτα τέλος γίγνεσθαι ξηρούς, τῶν δὲ ποταμῶν μεθισταμένων καὶ ἔνθεν μὲν ἀφανιζομένων ἐν ἄλλοις δ' ἀνάλογον γιγνομένων μεταβάλλειν τὴν θάλατταν· ὅπου μὲν γὰρ ἐξωθουμένη ὑπὸ τῶν

[r] καθεὶς ἠδυνήθη F.H.N. [s] δὲ F.H.N. [t] συνεχῶς H. [v] καὶ om. E. [w] ἠριδανοῦ γρ. E. [x] θάλασσα—θάλασσα N. [y] καὶ περίοδον om. E. [z] ὥσπερ καὶ τὰ F. [a] τὰ om. E.F.N. [b] ἀναγκαῖον—καὶ φθίνει om. pr. F. [c] αὔξει τε καὶ rc. F. [d] μένειν N. [e] ξηρῶν N.

ποταμῶν [f] ἐπλεόναζεν [g] ἀπιοῦσα, ξηρὰν ποιεῖν ἀναγκαῖον, ὅπου δὲ τοῖς ῥεύμασι [h] πληθύνουσα ἐξηραίνετο προσχουμένη, πάλιν ἐνταῦθα [i] λιμνάζειν. ‘Ἀλλὰ διὰ τὸ γίγνεσθαι πᾶσαν 5
τὴν φυσικὴν [k] τὴν [l] περὶ γῆν γένεσιν ἐκ [m] προσαγωγῆς [n] καὶ ἐν χρόνοις παμμήκεσι πρὸς τὴν ἡμετέραν ζωήν, λανθάνει ταῦτα γιγνόμενα, καὶ πρότερον ὅλων τῶν ἐθνῶν ἀπώλειαι γίγνονται καὶ φθοραὶ πρὶν μνημονευθῆναι τὴν τούτων μεταβολὴν ἐξ ἀρχῆς εἰς τέλος. Μέγισται μὲν [o] οὖν φθοραὶ γίγνονται καὶ 6
τάχισται ἐν τοῖς πολέμοις, ἄλλαι δὲ νόσοις, αἱ δ' ἀφορίαις, καὶ ταύταις αἱ μὲν μεγάλαι αἱ δὲ κατὰ μικρόν, ὥστε λανθάνουσι [p] τῶν γε τοιούτων ἐθνῶν καὶ αἱ μεταναστάσεις διὰ τὸ τοὺς μὲν λείπειν τὰς χώρας, τοὺς δ' ὑπομένειν μέχρι τούτου μέχριπερ ἂν μηκέτι δύνηται τρέφειν ἡ χώρα πλῆθος μηθέν. ‘Ἀπὸ τῆς πρώτης οὖν ἀπολείψεως εἰς τὴν [q] ἐσχάτην εἰκὸς 7
γίγνεσθαι [r] χρόνους μακρούς, ὥστε μηθένα μνημονεύειν, ἀλλὰ σωζομένων ἔτι τῶν ὑπομενόντων ἐπιλελῆσθαι διὰ χρόνου [s] πλῆθος. Τὸν αὐτὸν δὲ [t] τρόπον χρὴ νομίζειν καὶ τοὺς κατοι- 8
κισμοὺς λανθάνειν πότε πρῶτον ἐγένοντο τοῖς ἔθνεσιν ἑκάστοις εἰς τὰ μεταβάλλοντα [v] καὶ γιγνόμενα ξηρὰ ἐξ ἑλωδῶν καὶ [w] ἐνύδρων· καὶ γὰρ ἐνταῦθα κατὰ μικρὸν ἐν πολλῷ γίγνεται χρόνῳ ἡ ἐπίδοσις, ὥστε [x] μὴ μνημονεύειν [y] τίνες [z] πρῶτοι καὶ πότε καὶ πῶς ἐχόντων ἦλθον τῶν τόπων, οἷον συμβέβηκε [a] καὶ περὶ [b] τὴν Αἴγυπτον· καὶ γὰρ οὗτος [c] ἀεὶ ξηρότερος ὁ τόπος φαίνεται γιγνόμενος καὶ πᾶσα ἡ χώρα τοῦ ποταμοῦ [d] πρόσχωσις οὖσα τοῦ Νείλου, διὰ δὲ τὸ κατὰ μικρὸν ξηραινομένων τῶν ἑλῶν τοὺς πλησίον εἰσοικίζεσθαι τὸ τοῦ χρόνου μῆκος ἀφῄρηται τὴν ἀρχήν. Φαίνεται [e] δ' οὖν καὶ τὰ στό- 9
ματα πάντα, πλὴν ἑνὸς τοῦ Κανωβικοῦ, χειροποίητα καὶ οὐ

[f] ἐπλεόνασεν H.N. [g] ἀπιοῦσαν N. [h] πληθύουσα F.H.N, om. pr. E. [i] λιμνάζει F. [k] τὴν om. H.N. [l] περὶ τὴν γῆν F.H.N. [m] προαγωγῆς N. [n] καὶ om. E. [o] οὖν om. N. [p] τῶν om. E. [q] ἐσχάτην] ὑστέραν F.H.N. [r] μακροὺς χρόνους F.H.N. [s] πλῆθος ταῖς μεταναστάσεσι τὸν F.H.N. [t] τρόπον om. N. [v] καὶ τὰ γ. E. [w] ἐνύγρων E. [x] μὴ om. E. [y] τίνος N. [z] πρῶτον F.H. [a] καὶ τὰ περὶ F.H.N. [b] τὴν om. H.N. [c] αἰεὶ H.N. [d] πρόχωσις pr. N. [e] δ' om. F.H.N.

τοῦ ποταμοῦ ὄντα, καὶ τὸ ἀρχαῖον ἡ Αἴγυπτος Θῆβαι καλούμεναι. Δηλοῖ δὲ καὶ Ὅμηρος, οὕτω πρόσφατος ὢν ὡς εἰπεῖν πρὸς τὰς τοιαύτας μεταβολάς· ἐκείνου γὰρ τοῦ τόπου ποιεῖται μνείαν ὡς οὔπω [f] Μέμφιος οὔσης ἢ ὅλως ἢ οὐ τηλι-
10 καύτης. Τοῦτο δ' εἰκὸς οὕτω συμβαίνειν· οἱ γὰρ [g] κάτωθεν τόποι τῶν [h] ἄνωθεν ὕστερον ᾠκίσθησαν· ἐλώδεις γὰρ ἐπὶ [i] πλείω χρόνον ἀναγκαῖον εἶναι τοὺς ἐγγύτερον τῆς [k] προσχώσεως διὰ τὸ λιμνάζειν ἐν τοῖς ἐσχάτοις ἀεὶ μᾶλλον. Μεταβάλλει δὲ τοῦτο καὶ πάλιν [l] εὐθηνεῖ· ξηραινόμενοι γὰρ οἱ τόποι ἔρχονται εἰς τὸ καλῶς ἔχειν, οἱ δὲ πρότερον εὐκραεῖς
11 ὑπερξηραινόμεναι [m] τότε γίγνονται χείρους. Ὅπερ συμβέβηκε τῆς Ἑλλάδος καὶ περὶ τὴν Ἀργείων καὶ Μυκηναίων χώραν· ἐπὶ μὲν γὰρ [n] τῶν Τρωϊκῶν ἡ μὲν Ἀργεία διὰ τὸ ἑλώδης εἶναι ὀλίγους [o] ἐδύνατο τρέφειν, ἡ δὲ Μυκηναία καλῶς εἶχεν (διὸ ἐντιμοτέρα ἦν), νῦν δὲ τοὐναντίον διὰ τὴν [p] εἰρημένην αἰτίαν· ἡ μὲν γὰρ ἀργὴ γέγονε καὶ ξηρὰ πάμπαν, τῆς δὲ τὰ τότε διὰ τὸ λιμνάζειν ἀργὰ νῦν χρήσιμα γέγονεν.
12 Ὥσπερ οὖν ἐπὶ τούτου τοῦ τόπου συμβέβηκεν ὄντος μικροῦ, ταὐτὸ δεῖ νομίζειν τοῦτο συμβαίνειν καὶ περὶ μεγάλους τόπους καὶ χώρας ὅλας. Οἱ μὲν οὖν βλέποντες ἐπὶ μικρὸν αἰτίαν οἴονται [q] τῶν τοιούτων εἶναι παθημάτων τὴν τοῦ ὅλου μεταβολὴν ὡς γινομένου τοῦ οὐρανοῦ· διὸ καὶ τὴν θάλατταν ἐλάττω γίγνεσθαί φασιν ὡς ξηραινομένην, ὅτι πλείους φαί-
13 νονται τόποι τοῦτο πεπονθότες νῦν ἢ πρότερον. Ἔστι δὲ τούτων τὸ μὲν ἀληθὲς τὸ δ' οὐκ ἀληθές· πλείους μὲν γάρ εἰσιν οἱ πρότερον ἔνυδροι νῦν δὲ χερσεύοντες, οὐ μὴν ἀλλὰ καὶ τοὐναντίον· [r] πολλαχῇ γὰρ σκοποῦντες [s] εὑρήσουσιν ἐπεληλυ-
14 θυῖαν τὴν θάλατταν. Ἀλλὰ τούτου τὴν αἰτίαν οὐ τὴν τοῦ κόσμου γένεσιν οἴεσθαι χρή· γελοῖον [t] γὰρ διὰ μικρὰς καὶ ἀκαριαίας [v] μεταβολὰς κινεῖν τὸ πᾶν, ὁ δὲ τῆς γῆς ὄγκος καὶ

[f] μέμφιδος H. [g] κάτω F.N. [h] ἄνω F.N. [i] πλεῖον E.N, πλείονα F. [k] προχώσεως F.N. [l] εὐθενεῖ E. [m] πότε pr. F, ποτὲ H.N. [n] τῶν om. F.N. [o] ἠδύνατο F.H.N. [p] προειρημένην H.N. [q] τῶν τοιούτων π. εἶναι τὴν τοῦ ὅλου μ. H, τῶν π. τῶν τοιούτων τὴν τοῦ ὅλου εἶναι μ. N. [r] πολλαχοῖ E. [s] εὑρήσομεν F.H.N. [t] γὰρ] δὲ E. [v] μεταβολῆς F.

*τὸ μέγεθος οὐθέν ἐστι δή που πρὸς τὸν ὅλον οὐρανόν· ἀλλὰ πάντων τούτων αἴτιον ὑποληπτέον ὅτι γίγνεται διὰ χρόνων εἱμαρμένων, οἷον ἐν ταῖς κατ' ἐνιαυτὸν ὥραις χειμών, οὕτω περιόδου* [w] *τινὸς μεγάλης μέγας χειμὼν καὶ ὑπερβολὴ ὄμβρων. Αὕτη δ' οὐκ ἀεὶ κατὰ τοὺς αὐτοὺς τόπους, ἀλλ' ὥσπερ* 15
*ὁ καλούμενος ἐπὶ Δευκαλίωνος κατακλυσμός· καὶ γὰρ οὗτος περὶ τὸν Ἑλληνικὸν ἐγένετο* [x] *μάλιστα τόπον, καὶ τούτου περὶ τὴν Ἑλλάδα τὴν ἀρχαίαν. Αὕτη δ' ἐστὶν ἡ* [y] *περὶ Δωδώνην καὶ τὸν Ἀχελῷον· οὗτος γὰρ πολλαχοῦ τὸ ῥεῦμα μεταβέβληκεν· ᾤκουν γὰρ οἱ Σελλοὶ ἐνταῦθα καὶ οἱ καλούμενοι τότε μὲν Γραικοὶ νῦν δ' Ἕλληνες. Ὅταν οὖν* [z] *δὴ γένηται* 16
*τοιαύτη ὑπερβολὴ ὄμβρων, νομίζειν χρὴ ἐπὶ πολὺν χρόνον διαρκεῖν, καὶ ὥσπερ* [a] *νῦν* [b] *τοῦ τοὺς μὲν ἀενάους εἶναι τῶν ποταμῶν* [c] *τοὺς δὲ μὴ οἱ μέν φασιν αἴτιον εἶναι τὸ μέγεθος τῶν* [d] *ὑπὸ γῆς* [e] *χασμάτων, ἡμεῖς δὲ τὸ μέγεθος τῶν ὑψηλῶν τόπων καὶ τὴν πυκνότητα* [f] *καὶ ψυχρότητα αὐτῶν· οὗτοι γὰρ πλεῖστον καὶ δέχονται ὕδωρ καὶ στέγουσι καὶ ποιοῦσιν. Ὅσοις* 17
*δὲ μικραὶ αἱ ἐπικρεμάμεναι* [g] *συστάσεις τῶν* [h] *ὀρῶν ἢ σομφαὶ καὶ λιθώδεις καὶ ἀργιλώδεις, τούτους δὲ προαπολείπειν οὕτως οἴεσθαι δεῖν τότε, ἐν οἷς* [i] *ἂν γένηται ἡ τοιαύτη τοῦ ὑγροῦ φορὰ οἷον ἀενάους ποιεῖν τὰς ὑγρότητας τῶν τόπων μᾶλλον. Τῷ χρόνῳ δὲ ταῦτα ξηραίνεται γιγνόμενα μᾶλλον, θάτερα* 18
*δ' ἐλάττω τὰ ἔφυδρα, ἕως ἂν ἔλθῃ* [k] *πάλιν* [l] *ἡ καταβολὴ τῆς περιόδου τῆς αὐτῆς. Ἐπεὶ δ' ἀνάγκη* [m] *τοῦ ὅλου γίγνεσθαι μέν τινα μεταβολήν, μὴ μέντοι γένεσιν καὶ φθοράν,* [n] *εἴπερ μένει τὸ πᾶν, ἀνάγκη, καθάπερ ἡμεῖς λέγομεν, μὴ τοὺς αὐτοὺς ἀεὶ τόπους ὑγρούς τ'* [o] *εἶναι θαλάττῃ καὶ ποταμοῖς* [p] *καὶ ξηρούς. Δηλοῖ δὲ τὸ γιγνόμενον· οὓς γὰρ φαμεν* [q] *ἀρχαιοτά-* 19
*τους εἶναι τῶν ἀνθρώπων Αἰγυπτίους, τούτων ἡ χώρα πᾶσα*

[w] *μεγάλης τινὸς* N. [x] *τόπον μάλιστα* F.H.N. [y] *περὶ τὴν δωδώνην* F.H.N. [z] *δὴ* om. F.H.N. [a] *νῦν*] *οὖν* N. [b] *τοῦ ἀεννάους εἶναί τινας τῶν* F.H.N. [c] *τοὺς δὲ*] *τούτους δὲ* E. [d] *ὑπὸ γῆν* F.H, *ὑπὸ τὴν γῆν* N. [e] *χασμάτων*] *ἄντρων* corr. E. [f] *καὶ τὴν ψ.* N. [g] *τῶν ὀρῶν συστάσεις* F.H.N. [h] *ὀρέων* E. [i] *ἐὰν* E. [k] *πάλιν* om. N. [l] *ἡ* om. E. [m] *τοῦ* om. H.N. [n] *εἴπερ—λέγομεν* margo F. [o] *εἶναι τῇ θ.* F.H.N. [p] *καὶ διαξήρους* E. [q] *ἀρχαιοτέρους* H.N.

20 γεγοννῖα φαίνεται καὶ οὖσα τοῦ ποταμοῦ ἔργον. Καὶ τοῦτο κατά [r] τε τὴν χώραν αὐτὴν ὁρῶντι δῆλόν ἐστι, καὶ τὰ περὶ τὴν ἐρυθρὰν [s] θάλατταν τεκμήριον ἱκανόν· ταύτην γὰρ [t] τῶν βασιλέων τις ἐπειράθη διορύττειν (οὐ γὰρ μικρὰς εἶχεν ἂν αὐτοῖς ὠφελείας πλωτὸς [v] ἅπας ὁ τόπος [w] γενόμενος· λέγεται δὲ πρῶτος Σέσωστρις [x] ἐπιχειρῆσαι τῶν παλαιῶν), ἀλλ' εὗρεν
21 ὑψηλοτέραν οὖσαν τὴν θάλατταν [y] τῆς γῆς. Διὸ ἐκεῖνός τε πρότερον καὶ Δαρεῖος ὕστερον ἐπαύσατο διορύττων, ὅπως [z] μὴ [a] διαφθαρῇ τὸ ῥεῦμα τοῦ ποταμοῦ συμμιγείσης τῆς [b] θαλάττης. Φανερὸν οὖν ὅτι θάλαττα πάντα μία [c] ταῦτα συνεχὴς ἦν.
22 Διὸ καὶ τὰ περὶ τὴν Λιβύην τὴν Ἀμμωνίαν χώραν ταπεινότερα φαίνεται καὶ κοιλότερα [d] παρὰ λόγον τῆς [e] κάτωθεν χώρας· δῆλον γὰρ ὡς ἐγχώσεως μὲν [f] γενομένης [g] ἐγένοντο [h] λίμναι καὶ χέρσος, χρόνου δὲ [i] γενομένου τὸ [k] ἐναπολειφθὲν
23 καὶ λιμνάσαν ὕδωρ ξηρανθέν ἐστιν ἤδη φροῦδον. Ἀλλὰ μὴν καὶ τὰ περὶ τὴν Μαιῶτιν λίμνην ἐπιδέδωκε τῇ [l] προσχώσει τῶν ποταμῶν τοσοῦτον, ὥστε πολλῷ [m] ἐλάττω μεγέθει πλοῖα νῦν [n] εἰσπλεῖν πρὸς τὴν ἐργασίαν [o] ἢ ἔτος ἑξηκοστόν· ὥστ' ἐκ τούτου ῥᾴδιον ἀναλογίσασθαι ὅτι καὶ τὸ πρῶτον, ὥσπερ αἱ πολλαὶ τῶν λιμνῶν, καὶ αὕτη ἔργον ἐστὶ τῶν ποταμῶν, καὶ τὸ τελευταῖον πᾶσαν ἀνάγκη γενέσθαι ξηράν.
24 Ἔτι δ' ὁ Βόσπορος ἀεὶ [p] μὲν ῥεῖ διὰ τὸ [q] προσχοῦσθαι, καὶ ἔστιν ἔτι ταῦτα [r] καὶ τοῖς ὄμμασιν ἰδεῖν ὅν τινα [s] συμβαίνει τρόπον· ὅτε γὰρ ἀπὸ τῆς Ἀσίας ᾐόνα ποιήσειεν ὁ ῥοῦς, τὸ ὄπισθεν λίμνη [t] ἐγίγνετο μικρὰ τὸ πρῶτον, εἶτ' [v] ἐξηράνθη, μετὰ δὲ τοῦτο [w] ἄλλη ἀπὸ ταύτης ᾐών, καὶ λίμνη [x] ἀπ' αὐ-

[r] γε F. [s] θάλασσαν F.H.N. [t] τις τῶν β. N. [v] πᾶς F.N. [w] γιγνόμενος H. [x] ἐγχειρίσαι N. [y] τῆς γῆς om. E. [z] μὴ om. E. [a] φθαρῇ F. [b] θαλάσσης N. [c] ταύτῃ F.H.N. [d] παρὰ τὸ κατὰ λ. E.F. [e] κάτω F.H.N. [f] γινομένης N. [g] ἐγένετο E. [h] λίμναι corr. E. [i] γινομένου N. [k] ἀπολειφθὲν F.H.N. [l] προχώσει N. [m] ἐλάττω τῷ μ. F. [n] εἰσπλεῖ E. [o] ἢ πρὸ ἔτους ἑξηκοστοῦ F, ἢ ἕτερον ἑξηκοστόν N. [p] μὲν] ἄλλῃ γρ. E. [q] προχοῦσθαι E.N. [r] καὶ ante τοῖς om. E. [s] συνέβαινεν E. [t] ἐγένετο F.H.N. [v] ἐξηραίνεται pr. E, ἐξηράνθη ἂν F.H.N, ἐξηραίνετ' ἂν corr. E. [w] ἀλλ' ἢ N, ἄλλη ἡ F.H. [x] ἀπὸ ταύτης F.H.N.

τῆς· καὶ τοῦτο ἀεὶ οὕτω συνέβαινεν ὁμοίως· τούτου δὲ γινο-
μένου πολλάκις ἀνάγκη [y] προϊόντος τοῦ χρόνου ὥσπερ ποτα-
μὸν γενέσθαι, τέλος δὲ καὶ τοῦτον ξηρόν. Φανερὸν τοίνυν, 25
ἐπεὶ [z] ὅ τε χρόνος οὐχ [a] ὑπολείπει καὶ τὸ ὅλον ἀΐδιον, ὅτι
οὔτε ὁ Τάναϊς [b] ποταμὸς οὔτε ὁ Νεῖλος ἀεὶ [c] ἔρρει, ἀλλ' ἦν
ποτὲ ξηρὸς ὁ τόπος ὅθεν ῥέουσιν· τὸ γὰρ ἔργον ἔχει [d] αὐτῶν
πέρας, ὁ δὲ χρόνος οὐκ ἔχει. Ὁμοίως δὲ τοῦτο καὶ ἐπὶ τῶν
ἄλλων [e] ἁρμόσει ποταμῶν λέγειν. Ἀλλὰ μὴν [f] εἴπερ οἱ πο- 26
ταμοὶ γίγνονται καὶ φθείρονται καὶ μὴ ἀεὶ [g] οἱ αὐτοὶ τόποι
τῆς γῆς ἔνυδροι, καὶ τὴν θάλατταν ἀνάγκη μεταβάλλειν
ὁμοίως. Τῆς δὲ [h] θαλάττης τὰ μὲν ἀπολειπούσης τὰ δ' ἐπι-
ούσης ἀεὶ φανερὸν ὅτι τῆς πάσης γῆς οὐκ ἀεὶ τὰ αὐτὰ τὰ μέν
ἐστι θάλαττα τὰ δ' ἤπειρος, ἀλλὰ μεταβάλλει τῷ χρόνῳ
πάντα. Διότι μὲν οὖν οὐκ ἀεὶ ταὐτὰ οὔτε [i] χερσεύεται τῆς 27
γῆς οὔτε πλωτά ἐστι, καὶ διὰ τίν' αἰτίαν ταῦτα συμβαίνει,
εἴρηται· ὁμοίως δὲ καὶ [k] διὰ τί οἱ μὲν ἀέναοι οἱ δ' οὔ τῶν πο-
ταμῶν [l] εἰσίν.

## B.

Περὶ δὲ θαλάττης, καὶ τίς ἡ φύσις αὐτῆς, καὶ διὰ τίν' αἰ-
τίαν ἁλμυρὸν τοσοῦτόν ἐστιν ὕδατος πλῆθος, ἔτι δὲ περὶ τῆς
ἐξ ἀρχῆς γενέσεως λέγωμεν. Οἱ μὲν οὖν ἀρχαῖοι καὶ δια- 2
τρίβοντες περὶ τὰς θεολογίας ποιοῦσιν αὐτῆς πηγάς, ἵν'
[m] αὐτοῖς ὦσιν ἀρχαὶ καὶ ῥίζαι γῆς καὶ θαλάττης· τραγικώ-
τερον γὰρ οὕτω καὶ σεμνότερον ὑπέλαβον ἴσως εἶναι τὸ λε-
γόμενον, ὡς μέγα τι τοῦ παντὸς τοῦτο μόριον ὄν· καὶ τὸν
λοιπὸν οὐρανὸν ὅλον [n] περὶ τοῦτον [o] συστῆναι τὸν τόπον καὶ
τούτου χάριν ὡς ὄντα τιμιώτατον καὶ ἀρχήν. Οἱ δὲ σοφώ- 3
τεροι τὴν ἀνθρωπίνην σοφίαν ποιοῦσιν αὐτῆς γένεσιν· εἶναι
γὰρ τὸ πρῶτον ὑγρὸν ἅπαντα τὸν περὶ τὴν γῆν τόπον, ὑπὸ

[y] χρόνου προϊόντος, omisso τοῦ, F.H.N. [z] ὅτε ὁ χρόνος H.N. [a] ὑπολείψει F.H.N. [b] ποταμὸς om. F.H.N. [c] ῥεῖν corr. E. [d] αὐτῷ E. [e] ποταμῶν ἁρμόσει H.N, ποταμῶν ἁρμόσειε F. [f] εἴπερ] καὶ εἴπερ καὶ N, εἴπερ καὶ F. [g] οἱ om. E. [h] θαλάσσης N. [i] χερσεύει F.N. [k] διότι E. [l] εἰσίν om. F. [m] αὐτῶν N, αὐτῆς F.H. [n] περὶ om. E. [o] συνεστάναι F.N.

δὲ τοῦ ἡλίου ξηραινόμενον τὸ μὲν διατμίσαν πνεύματα κα τροπὰς ἡλίου καὶ σελήνης φασὶ ποιεῖν, τὸ δὲ λειφθὲν θάλατταν εἶναι· διὸ καὶ ἐλάττω γίνεσθαι ξηραινομένην οἴονται, καὶ
4 τέλος ἔσεσθαί ποτε πᾶσαν ξηράν. Ἔνιοι δ' αὐτῶν θερμαινομένης φασὶν ὑπὸ τοῦ ἡλίου τῆς γῆς οἷον ἱδρῶτα γίγνεσθαι, διὸ καὶ ἁλμυρὰν εἶναι· καὶ γὰρ ὁ ἱδρὼς ἁλμυρός. Οἱ δὲ τῆς ἁλμυρότητος αἰτίαν [p] τὴν γῆν εἶναί φασιν· καθάπερ γὰρ τὸ διὰ τῆς τέφρας ἠθούμενον [q] ἁλμυρὸν γίνεται, τὸν αὐτὸν τρόπον καὶ ταύτην ἁλμυρὰν εἶναι μιχθείσης [r] αὐτῇ τοιαύτης γῆς.
5 Ὅτι μὲν οὖν [s] πηγὰς θαλάττης ἀδύνατον εἶναι, διὰ τῶν ὑπαρχόντων ἤδη θεωρεῖν δεῖ. Τῶν [t] γὰρ [v] περὶ τὴν γῆν ὑδάτων τὰ μὲν ῥυτὰ τυγχάνει ὄντα τὰ δὲ στάσιμα. Τὰ μὲν οὖν ῥυτὰ πάντα πηγαῖα· περὶ δὲ τῶν πηγῶν εἰρήκαμεν πρότερον, ὅτι δεῖ νοεῖν οὐχ ὥσπερ ἐξ ἀγγείου [w] ταμιευόμενον τὴν ἀρχὴν εἶναι πηγήν, ἀλλ' εἰς [x] ἓν ἀεὶ γινόμενον καὶ συρρέον [y] ἀπαντᾶν
6 [z] πρώτην. Τῶν δὲ στασίμων τὰ μὲν συλλογιμαῖα καὶ ὑποστάσεις, οἷον τὰ τελματιαῖα καὶ ὅσα λιμνώδη, πλήθει καὶ ὀλιγότητι διαφέροντα, τὰ δὲ πηγαῖα. Ταῦτα δὲ [a] πάντα χειρόκμητα, λέγω δ' οἷον τὰ φρεατιαῖα καλούμενα· πάντων γὰρ ἀνωτέρω δεῖ τὴν πηγὴν εἶναι τῆς ῥύσεως. Διὸ τὰ μὲν αὐτόματα ῥεῖ τὰ [b] κρηναῖα καὶ [c] ποταμιαῖα, ταῦτα δὲ τέχνης
7 προσδεῖται τῆς ἐργασομένης. Αἱ μὲν οὖν διαφοραὶ [d] τοιαῦται καὶ τοσαῦται [e] τῶν ὑδάτων εἰσίν· τούτων δ' οὕτω διωρισμένων ἀδύνατον πηγὰς εἶναι τῆς [f] θαλάττης· ἐν οὐδετέρῳ γὰρ τούτων οἷόν τ' εἶναι τῶν γενῶν αὐτήν· οὔτε γὰρ ἀπόρρυτός ἐστιν οὔτε χειροποίητος, τὰ δὲ πηγαῖα πάντα τούτων [g] θάτερον πέπονθεν· αὐτόματον δὲ στάσιμον τοσοῦτον πλῆθος
8 οὐθὲν ὁρῶμεν πηγαῖον γιγνόμενον. Ἔτι δ' ἐπεὶ πλείους εἰσὶ [h] θάλατται πρὸς ἀλλήλας οὐ συμμιγνύουσαι κατ' οὐθένα τό-

[p] εἶναί φασι τὴν γῆν F. [q] ἁλμυρὸν—τρόπον om. E. [r] αὐτῇ τῆς τοιαύτης H.N. [s] πηγὰς τῆς θ. F.H.N. [t] γὰρ om. E. [v] περί γε τὴν F. [w] ταμιευομένων E. [x] ἓν corr. E, ἦν H. et corr. N. [y] ἀπαντᾷ E.N. [z] πρῶτον F. [a] πάντα om. E. [b] κρηνιαῖα H.N. [c] ποτάμια F.H.N. [d] τοσαῦται καὶ τοιαῦται F.H.N. [e] τῶν om. H.N. [f] θαλάσσης N. [g] θάτερα πεπόνθασιν N. [h] θάλασσαι H.N.

πον, ὧν ἡ μὲν ἐρυθρὰ φαίνεται κατὰ μικρὸν κοινωνοῦσα πρὸς
τὴν ἔξω στηλῶν [i]θάλατταν, ἡ δ' Ὑρκανία καὶ Κασπία κεχω-
ρισμέναι [k]τε ταύτης καὶ περιοικούμεναι κύκλῳ, ὥστ' οὐκ ἂν
ἐλάνθανον αἱ πηγαί, εἰ κατά τινα τόπον αὐτῶν ἦσαν. Ῥέουσα 9
δ' ἡ [l]θάλαττα φαίνεται κατὰ τὰς στενότητας, [m]εἴ που διὰ
τὴν περιέχουσαν γῆν εἰς μικρὸν ἐκ μεγάλου συνάγεται πελά-
γους, διὰ τὸ ταλαντεύεσθαι δεῦρο [n]κἀκεῖσε πολλάκις. Τοῦτο
δ' ἐν μὲν πολλῷ πλήθει θαλάττης ἄδηλον· ᾗ δὲ διὰ τὴν στε-
νότητα τῆς γῆς ὀλίγον ἐπέχει τόπον, ἀναγκαῖον τὴν ἐν τῷ
πελάγει μικρὰν ταλάντωσιν ἐκεῖ φαίνεσθαι μεγάλην. Ἡ δ' 10
ἐντὸς Ἡρακλείων στηλῶν ἅπασα κατὰ τὴν τῆς [o]γῆς κοιλό-
τητα ῥεῖ, [p]καὶ [q]τῶν ποταμῶν τὸ πλῆθος· ἡ μὲν γὰρ Μαιῶ-
τις εἰς τὸν Πόντον ῥεῖ, οὗτος δ' εἰς [r]τὸν Αἰγαῖον. [s]Πάντα
δ' ἤδη τὰ τούτων ἔξω πελάγη ἧττον ποιεῖ τοῦτ' ἐπιδήλως.
Ἐκείνοις δὲ διά τε τὸ τῶν ποταμῶν πλῆθος [t]συμβαίνει τοῦτο 11
(πλείους γὰρ εἰς τὸν Εὔξεινον ῥέουσι ποταμοὶ καὶ τὴν Μαι-
ῶτιν ἢ τὴν πολλαπλασίαν [v]χώραν αὐτῆς) καὶ διὰ τὴν [w]βρα-
χύτητα τοῦ βάθους· ἀεὶ γὰρ [x]ἐκεῖ βαθυτέρα φαίνεται οὖσα
ἡ θάλαττα, καὶ τῆς μὲν Μαιώτιδος ὁ Πόντος, τούτου δ' [y]ὁ
Αἰγαῖος, τοῦ δ' Αἰγαίου ὁ Σικελικός· ὁ δὲ Σαρδονικὸς καὶ
[z]ὁ [a]Τυρρηνικὸς βαθύτατοι πάντων. Τὰ δ' ἔξω στηλῶν 12
[b]βραχέα μὲν διὰ τὸν πηλόν, [c]ἄπνοα δ' ἐστὶν ὡς ἐν κοίλῳ τῆς
θαλάττης οὔσης. Ὥσπερ οὖν καὶ κατὰ μέρος ἐκ τῶν ὑψη-
λῶν οἱ ποταμοὶ φαίνονται ῥέοντες, οὕτω καὶ τῆς ὅλης γῆς
ἐκ τῶν ὑψηλοτέρων τῶν πρὸς ἄρκτον τὸ ῥεῦμα γίνεται τὸ
πλεῖστον. Ὥστε τὰ μὲν διὰ τὴν ἔκχυσιν οὐ βαθέα, τὰ δ'
ἔξω [d]πελάγη βαθέα μᾶλλον. Περὶ δὲ τοῦ τὰ πρὸς ἄρκτον 13
εἶναι τῆς γῆς ὑψηλὰ σημεῖόν τι καὶ τὸ πολλοὺς πεισθῆναι

[i] θάλασσαν N. [k] τε] τῆς N. [l] θάλασσα N, qui ita solet. [m] εἴ που] ὅπου N. [n] κακεῖ E. [o] γῆς om. pr. E. [p] καὶ—ῥεῖ margo F [q] τῶν om. pr. N. [r] τὸ N. [s] πάντα δ' ἤδη τὰ] τὰ δ' ἤδη H.N. [t] τοῦτο συμβαίνει N. [v] αὐτῆς χώραν F. [w] βραδυτῆτα E. [x] ἐκεῖ] ἔτι E.H.N. [y] ὁ post δ' om. E. [z] ὁ post καὶ om. F.N. [a] τυραννικὸς N. [b] βαθέα (supra posito βραχέα) F. [c] ἄποια E. [d] βαθέα μᾶλλον πελάγη F.

*τῶν ἀρχαίων μετεωρολόγων τὸν ἥλιον μὴ φέρεσθαι* [e]*ὑπὸ γῆν ἀλλὰ περὶ τὴν γῆν καὶ τὸν τόπον τοῦτον, ἀφανίζεσθαι δὲ καὶ ποιεῖν νύκτα διὰ τὸ ὑψηλὴν εἶναι πρὸς ἄρκτον τὴν γῆν. Ὅτι μὲν οὖν οὔτε πηγὰς οἷόν τ' εἶναι τῆς θαλάττης, καὶ διὰ τίν' αἰτίαν οὕτω φαίνεται ῥέουσα, τοιαῦτα καὶ τοσαῦθ' ἡμῖν εἰρήσθω.*

2 Περὶ *δὲ τῆς γενέσεως αὐτῆς, εἰ γέγονε, καὶ τοῦ χυμοῦ τίς* [f]*ἡ αἰτία τῆς ἁλμυρότητος* [g]*καὶ πικρότητος, λεκτέον.* Ἡ *μὲν οὖν αἰτία ἡ ποιήσασα τοὺς πρότερον οἴεσθαι τὴν* [h]*θάλατταν*
2 *ἀρχὴν εἶναι καὶ σῶμα τοῦ παντὸς ὕδατος ἥδ' ἐστίν.* [i]*Δόξειε γὰρ* [k]*ἂν εὔλογον εἶναι, καθάπερ καὶ τῶν ἄλλων στοιχείων ἐστὶν ἠθροισμένος ὄγκος καὶ ἀρχὴ διὰ τὸ πλῆθος, ὅθεν μεταβάλλει* [l]*τε* [m]*μεριζόμενον καὶ μίγνυται τοῖς ἄλλοις, οἷον* [n]*πυρὸς μὲν ἐν τοῖς ἄνω τόποις, ἀέρος δὲ πλῆθος τὸ μετὰ* [o]*τὸν τοῦ πυρὸς τόπον, γῆς δὲ σῶμα περὶ ὃ ταῦτα πάντα κεῖται*
3 *φανερῶς. Ὥστε δῆλον ὅτι κατὰ τὸν αὐτὸν λόγον καὶ περὶ ὕδατος ἀνάγκη* [p]*ζητεῖν.* Τοιοῦτον *δ' οὐθὲν* [q]*ἄλλο φαίνεται σῶμα κείμενον ἀθρόον, ὥσπερ* [r]*καὶ τῶν ἄλλων στοιχείων, πλὴν τὸ τῆς* [s]*θαλάττης μέγεθος· τὸ γὰρ τῶν ποταμῶν οὔτ' ἀθρόον οὔτε στάσιμον, ἀλλ' ὡς γιγνόμενον ἀεὶ* [t]*φαίνεται καθ' ἡμέραν.*
4 Ἐκ *ταύτης* [v]*δὴ τῆς ἀπορίας* [w]*καὶ ἀρχὴ τῶν ὑγρῶν ἔδοξεν εἶναι καὶ τοῦ παντὸς ὕδατος ἡ θάλαττα.* Διὸ *καὶ τοὺς ποταμοὺς οὐ μόνον εἰς ταύτην ἀλλὰ καὶ ἐκ ταύτης φασί* [x]*τινες ῥεῖν· διη-*
5 *θούμενον γὰρ γίνεσθαι τὸ ἁλμυρὸν πότιμον.* Ἀντίκειται *δ' ἑτέρα πρὸς ταύτην τὴν δόξαν ἀπορία, τί δή ποτ' οὐκ ἔστι τὸ* [y]*συνεστὸς ὕδωρ* [z]*τοῦτο πότιμον, εἴπερ ἀρχὴ τοῦ παντός* [a]*ἐστιν ὕδατος, ἀλλ' ἁλμυρόν.* Τὸ *δ' αἴτιον ἅμα ταύτης τε τῆς ἀπορίας λύσις ἔσται, καὶ περὶ* [b]*θαλάττης* [c]*τὴν πρώτην λαβεῖν*

[e] *ὑπὸ τὴν γῆν* F.H.N. [f] *ἡ* om. E. [g] *καὶ πικρότητος* om. pr. E. [h] *θάλασσαν* F.H.N. [i] *δόξει* E. [k] *εὔλογον ἂν* N. [l] *τε* om. E. [m] *μετεωριζόμενον* E. [n] *πῦρ* E. [o] *τὸν* F. [p] *ζητεῖν*] *ζεῖ* E. [q] *φαίνεται ἄλλο* F. [r] *καὶ* om. N. [s] *θαλάσσης* F. [t] *φέρεται* pr. F. [v] *δὲ* H.N. [w] *καὶ* om. F.H.N. [x] *τινες* om. F. [y] *συνεστὼς* E.F.H.N. [z] *τοῦτο* om. F. [a] *ἐστὶν* om. F.H.N. [b] *θαλάσσης* F. [c] *τὴν πρώτην* om. E.

ὑπόληψιν ἀναγκαῖον ὀρθῶς. Τοῦ γὰρ ὕδατος περὶ τὴν γῆν 6 [d]περιτεταμένου, καθάπερ περὶ τοῦτο ἡ τοῦ ἀέρος σφαῖρα καὶ περὶ ταύτην ἡ λεγομένη πυρός (τοῦτο γάρ ἐστι [e]πάντων ἔσχατον, εἴθ' [f]ὡς οἱ πλεῖστοι λέγουσιν εἴθ' ὡς ἡμεῖς), φερομένου [g]δὲ τοῦ ἡλίου τοῦτον τὸν τρόπον, καὶ διὰ ταῦτα τῆς μεταβολῆς καὶ γενέσεώς [h]τε καὶ φθορᾶς οὔσης, τὸ μὲν λεπτότατόν [i]τε [k]καὶ γλυκύτατον ἀνάγεται καθ' ἑκάστην ἡμέραν καὶ [l]φέρεται διακρινόμενον καὶ ἀτμίζον εἰς τὸν ἄνω τόπον, ἐκεῖ δὲ πάλιν συστὰν διὰ τὴν ψύξιν [m]κάτω φέρεται πάλιν [n]πρὸς τὴν γῆν. Καὶ τοῦτ' [o]ἀεὶ βούλεται ποιεῖν ἡ φύσις οὕτω, καθάπερ εἴρηται 7 πρότερον. Διὸ καὶ γελοῖοι πάντες ὅσοι τῶν πρότερον [p]ὑπέλαβον τὸν ἥλιον τρέφεσθαι τῷ ὑγρῷ. Καὶ διὰ τοῦτ' ἔνιοί [q]γέ φασι [r]καὶ ποιεῖσθαι τὰς τροπὰς αὐτόν· οὐ γὰρ ἀεὶ τοὺς αὐτοὺς δύνασθαι τόπους παρασκευάζειν αὐτῷ [s]τὴν τροφήν. Ἀναγκαῖον δ' εἶναι τοῦτο [t]συμβαίνειν περὶ αὐτὸν ἢ φθείρεσθαι· 8 καὶ γὰρ τὸ φανερὸν πῦρ, ἕως ἂν ἔχῃ τροφήν, μέχρι τούτου ζῆν, τὸ δ' ὑγρὸν τῷ πυρὶ [v]τροφὴν εἶναι μόνον, ὥσπερ ἀφικνούμενον μέχρι πρὸς τὸν ἥλιον [w]τὸ ἀναγόμενον τοῦ ὑγροῦ, [x]ἢ τὴν ἄνοδον τοιαύτην οὖσαν οἵανπερ τῇ γιγνομένῃ φλογί, δι' ἧς τὸ εἰκὸς λαβόντες οὕτω καὶ περὶ τοῦ ἡλίου ὑπέλαβον· Τὸ δ' οὐκ ἔστιν ὅμοιον· ἡ μὲν [y]γὰρ φλὸξ διὰ 9 συνεχοῦς ὑγροῦ καὶ ξηροῦ μεταβαλλόντων γίγνεται καὶ οὐ τρέφεται (οὐ γὰρ ἡ αὐτὴ οὖσα διαμένει οὐθένα χρόνον ὡς εἰπεῖν), περὶ δὲ τὸν ἥλιον ἀδύνατον τοῦτο συμβαίνειν, ἐπεὶ τρεφομένου γε τὸν αὐτὸν τρόπον, ὥσπερ ἐκεῖνοί φασι, δῆλον ὅτι καὶ ὁ ἥλιος οὐ μόνον καθάπερ [z]ὁ Ἡράκλειτός [a]φησι, νέος ἐφ' ἡμέρῃ ἐστίν, ἀλλ' [b]ἀεὶ νέος συνεχῶς. Ἔτι δ' ἡ ὑπὸ 10 τοῦ ἡλίου ἀναγωγὴ τοῦ ὑγροῦ ὁμοία τοῖς θερμαινομένοις

[d] τεταμμένου N. [e] πάντων] τούτων F.H.N. [f] ὡς πλεῖστοι τοῦτο λέγουσιν H.N. [g] δὲ om. E. [h] τε om. F. [i] τε om. E.N. [k] καὶ γλυκύτατον om. N. [l] φαίνεται E. [m] κάτω] κατὰ E.H.N, om. F. [n] πρὸς] εἰς F. [o] ποιεῖν βούλεται ἀεὶ F. [p] τὸν ἥλιον τρέφεσθαι ὑπέλαβον N. [q] γε om. F. [r] καὶ om. H. [s] τὴν om. E. [t] συμβαίνειν om. F. [v] τροφὴ F. [w] τὸν N. [x] ἢ om. E. [y] γὰρ om. E. [z] ὁ om. F.H.N. [a] φησὶ om. F. [b] αἰεὶ F.

ὕδασίν [c]ἐστιν ὑπὸ πυρός· εἰ οὖν μηδὲ τὸ [d]ὑποκαόμενον τρέ-
φεται πῦρ, οὐδὲ τὸν ἥλιον εἰκὸς ἦν ὑπολαβεῖν, οὐδ' εἰ [e]πᾶν
θερμαίνων ἐξατμίσειε τὸ ὕδωρ. Ἄτοπον δὲ καὶ τὸ μόνον
φροντίσαι τοῦ ἡλίου, τῶν δ' ἄλλων [f]ἄστρων παριδεῖν αὐτοὺς
τὴν σωτηρίαν, τοσούτων καὶ τὸ πλῆθος καὶ τὸ μέγεθος
11 ὄντων. Τὸ δ' αὐτὸ συμβαίνει καὶ τούτοις ἄλογον καὶ τοῖς
φάσκουσι [g]τὸ πρῶτον ὑγρᾶς οὔσης καὶ τῆς γῆς, καὶ τοῦ
[h]κόσμου τοῦ περὶ [i]τὴν γῆν ὑπὸ τοῦ ἡλίου [k]θερμαινομένου,
ἀέρα γενέσθαι καὶ τὸν ὅλον οὐρανὸν αὐξηθῆναι, καὶ τοῦτον
πνεύματά [l]τε παρέχεσθαι καὶ τὰς τροπὰς αὐτοῦ ποιεῖν· φα-
νερῶς γὰρ ἀεὶ τὸ ἀναχθὲν ὁρῶμεν καταβαῖνον πάλιν ὕδωρ·
κἂν μὴ κατ' ἐνιαυτὸν [m]ἀποδιδῷ καὶ καθ' ἑκάστην ὁμοίως [n]χώ-
ραν, ἀλλ' ἔν γέ τισι τεταγμένοις χρόνοις ἀποδίδωσι πᾶν
τὸ ληφθέν, ὡς οὔτε τρεφομένων τῶν ἄνωθεν, οὔτε τοῦ μὲν μέ-
νοντος ἀέρος ἤδη μετὰ τὴν γένεσιν, τοῦ δὲ [o]γιγνομένου καὶ
φθειρομένου πάλιν εἰς ὕδωρ, ἀλλ' ὁμοίως ἅπαντος διαλυο-
12 μένου καὶ συνισταμένου πάλιν [p]εἰς ὕδωρ. Τὸ μὲν οὖν [q]πότι-
μον [r]καὶ γλυκὺ διὰ κουφότητα πᾶν ἀνάγεται, τὸ δ' ἁλμυρὸν
[s]ὑπομένει διὰ βάρος οὐκ ἐν τῷ αὑτοῦ οἰκείῳ τόπῳ· τοῦτο
[t]γὰρ οἰητέον ἀπορηθῆναί [v]τε [w]προσηκόντως (ἄλογον γὰρ εἰ
μή τίς ἐστι τόπος ὕδατος [x]ὥσπερ τῶν ἄλλων στοιχείων) καὶ
ταύτην εἶναι λύσιν· ὃν γὰρ ὁρῶμεν κατέχουσαν τόπον τὴν
[y]θάλατταν, οὗτος οὐκ ἔστι [z]θαλάττης ἀλλὰ μᾶλλον ὕδατος.
13 Φαίνεται δὲ [z]θαλάττης, ὅτι τὸ μὲν ἁλμυρὸν ὑπομένει διὰ τὸ
βάρος, τὸ δὲ γλυκὺ [a]καὶ πότιμον ἀνάγεται διὰ [b]τὴν κουφό-
14 τητα, καθάπερ ἐν τοῖς τῶν ζῴων σώμασιν. Καὶ γὰρ ἐν
τούτοις τῆς τροφῆς εἰσελθούσης γλυκείας ἡ τῆς ὑγρᾶς τρο-

[c] ἐστιν om. F, ante ὕδασιν ponunt H.N. [d] ὑποκαιόμενον F.H.N. [e] πᾶν] πᾶς ὁ ἥλιος H.N. [f] ἄστρων αὐτοὺς παριδεῖν H, ἄστρων αὐτοῖς παριδεῖν N, παριδεῖν αὐτοὺς ἄστρων F. [g] ὑγρᾶς οὔσης πρῶτον F. [h] κώνου N. [i] τὴν om. F. [k] θερμαινόμενον N, θερμενον E. [l] τε om. E. [m] ἀποδιδῶσι F. [n] ὥραν F. [o] γιγνομένου καὶ τρεφομένου καὶ pr. F. [p] εἰς ὕδωρ om. E. [q] πόσιμον N. [r] καὶ om. F. [s] ἀπομένει N. [t] γὰρ εἰκὸς ἀπορηθῆναι οἰητέον F. [v] τε] γε E, om. H. [w] προσηκόντως om. H. [x] ὥσπερ καὶ τῶν F.H.N. [y] θάλασσαν F.H. [z] θαλάσσης F. [a] καὶ τὸ π. N. [b] τὴν om. F.

φῆς ὑπόστασις καὶ τὸ περίττωμα φαίνεται πικρὸν ὂν καὶ
ἁλμυρόν· τὸ γὰρ γλυκὺ καὶ πότιμον ὑπὸ τῆς ἐμφύτου
θερμότητος ἑλκυσθὲν εἰς τὰς σάρκας καὶ τὴν ἄλλην σύν-
ταξιν [c]ἦλθε τῶν μερῶν, ὡς ἕκαστον πέφυκεν. Ὥσπερ οὖν 15
[d]κἀκεῖ, εἴ τις τῆς ποτίμου τροφῆς μὴ νομίζοι τόπον εἶναι τὴν
[e]κοιλίαν, ὅτι ταχέως ἀφανίζεται, ἀλλὰ τοῦ περιττώματος,
ὅτι τοῦθ' ὁρᾷ ὑπομένον, οὐκ ἂν [f]ὑπολαμβάνοι καλῶς, ὁμοίως
δὲ καὶ ἐν τούτοις· ἔστι γάρ, ὥσπερ λέγομεν, οὗτος ὁ τόπος
ὕδατος. Διὸ καὶ οἱ ποταμοὶ ῥέουσιν εἰς αὐτὸν ἅπαντες καὶ 16
πᾶν τὸ γινόμενον ὕδωρ· εἴς τε γὰρ τὸ κοιλότατον ἡ ῥύσις,
καὶ ἡ [g]θάλαττα τὸν τοιοῦτον ἐπέχει τῆς γῆς τόπον. Ἀλλὰ
τὸ μὲν ἀναφέρεται ταχὺ διὰ τὸν ἥλιον ἅπαν, τὸ δ' ὑπο-
λείπεται διὰ τὴν εἰρημένην αἰτίαν. Τὸ δὲ ζητεῖν τὴν ἀρχαίαν 17
ἀπορίαν, διὰ τί τοσοῦτον πλῆθος ὕδατος οὐδαμοῦ φαίνεται
(καθ' ἑκάστην γὰρ ἡμέραν ποταμῶν ῥεόντων ἀναριθμήτων
καὶ τὸ μέγεθος ἀπλέτων οὐθὲν ἡ [g]θάλαττα γίνεται πλείων),
τοῦτο [h]οὐθὲν μὲν ἄτοπον ἀπορῆσαί τινας, οὐ μὴν [i]ἐπιβλέ-
ψαντί γε χαλεπὸν ἰδεῖν. Τὸ γὰρ αὐτὸ πλῆθος ὕδατος εἰς 18
πλάτος τε διαταθὲν καὶ ἀθρόον οὐκ ἐν ἴσῳ χρόνῳ ἀναξηραίνε-
ται, ἀλλὰ [k]διαφέρει τοσοῦτον ὥστε τὸ μὲν [l]διαμεῖναι ἂν ὅλην
τὴν ἡμέραν, τὸ δ' ὥσπερ εἴ τις ἐπὶ τράπεζαν μεγάλην περι-
τείνειεν ὕδατος κύαθον, ἅμα διανοουμένοις ἂν ἀφανισθείη
πᾶν. Ὃ [m]δὴ καὶ περὶ τοὺς ποταμοὺς συμβαίνει· συνεχῶς 19
γὰρ ῥεόντων ἀθρόων ἀεὶ τὸ ἀφικνούμενον εἰς ἀχανῆ καὶ πλα-
τὺν τόπον ἀναξηραίνεται ταχὺ [n]καὶ ἀδήλως. Τὸ δ' ἐν τῷ
Φαίδωνι γεγραμμένον περί τε τῶν ποταμῶν καὶ τῆς θαλάττης
ἀδύνατόν ἐστιν. Λέγεται γὰρ ὡς ἅπαντα μὲν εἰς ἄλληλα 20
συντέτρηται ὑπὸ γῆν, ἀρχὴ [o]δὲ πάντων εἴη καὶ πηγὴ τῶν
ὑδάτων ὁ καλούμενος Τάρταρος, περὶ τὸ μέσον ὕδατός τι
πλῆθος, ἐξ οὗ καὶ τὰ ῥέοντα καὶ τὰ μὴ ῥέοντα ἀναδίδωσι

[c] εἰσῆλθε F. [d] κἀκεῖ] ἄτοπον (supra posito κἀκεῖ) F, κἀκεῖ ἄτοπον E. [e] κοίλην N. [f] ὑπολαμβάνῃ F. [g] θάλασσα H. [h] μὲν οὐθὲν F. [i] ἐπι-βλέψαντι E, ἐπιβλέψαντα F.H.N. [k] διαφθείρει N. [l] ἂν διαμεῖναι F. [m] δὴ post ποταμοὺς F. [n] κἂν N. [o] δὲ om. N.

*πάντα· τὴν δ' ἐπίρρυσιν ποιεῖν ἐφ' [p]ἕκαστα τῶν [q]ῥευμάτων
διὰ τὸ σαλεύειν ἀεὶ τὸ πρῶτον καὶ τὴν ἀρχήν· οὐκ [r]ἔχειν γὰρ
ἕδραν, ἀλλ' ἀεὶ περὶ τὸ μέσον [s]εἰλεῖσθαι· κινούμενον [t]δ' ἄνω
21 καὶ κάτω ποιεῖν τὴν [v]ἐπίχυσιν τοῖς ῥεύμασιν. Τὰ δὲ πολ-
λαχοῦ μὲν λιμνάζειν, [w]οἵαν καὶ τὴν παρ' ἡμῖν εἶναι [x]θάλασ-
σαν, πάντα δὲ πάλιν κύκλῳ περιάγειν εἰς τὴν ἀρχήν, ὅθεν
[y]ἤρξαντο ῥεῖν, πολλὰ μὲν [z]καὶ κατὰ τὸν αὐτὸν τόπον, τὰ δὲ
καὶ καταντικρὺ τῇ θέσει τῆς ἐκροῆς, οἷον εἰ ῥεῖν [y]ἤρξαντο κά-
22 τωθεν, ἄνωθεν εἰσβάλλειν. Εἶναι δὲ μέχρι τοῦ μέσου τὴν κά-
θεσιν· τὸ γὰρ λοιπὸν [a]πρὸς ἄναντες ἤδη [b]πᾶσιν εἶναι τὴν
φοράν. Τοὺς δὲ χυμοὺς καὶ [c]τὰς χρόας ἴσχειν τὸ ὕδωρ δι'
23 οἵας [d]ἂν τύχωσι ῥέοντα γῆς. Συμβαίνει δὲ τοὺς ποταμοὺς
[e]ῥεῖν οὐκ ἐπὶ ταὐτὸν [f]ἀεὶ κατὰ τὸν λόγον τοῦτον· ἐπεὶ γὰρ
εἰς τὸ μέσον [g]εἰσρέουσιν ἀφ' οὗπερ ἐκρέουσιν, οὐθὲν μᾶλλον
[h]ῥευσοῦνται κάτωθεν ἢ ἄνωθεν, ἀλλ' [i]ἐφ' ὁπότερ' ἂν [k]ῥέψῃ
κυμαίνων ὁ Τάρταρος. [l]Καίτοι τούτου συμβαίνοντος γένοιτ'
24 ἂν τὸ λεγόμενον ἄνω ποταμῶν· ὅπερ ἀδύνατον. Ἔτι τὸ
γιγνόμενον ὕδωρ καὶ τὸ πάλιν ἀναγόμενον πόθεν ἔσται;
τοῦτο γὰρ [m]ἐξαίρειν ὅλον ἀναγκαῖον, εἴπερ ἀεὶ σώζεται τὸ
ἴσον· ὅσον γὰρ [n]ἔξω ῥεῖ, πάλιν ῥεῖ πρὸς τὴν ἀρχήν. Καίτοι
πάντες οἱ ποταμοὶ φαίνονται τελευτῶντες εἰς τὴν [o]θάλατταν,
ὅσοι μὴ εἰς ἀλλήλους· εἰς δὲ [p]τὴν γῆν οὐθείς, ἀλλὰ κἂν ἀφα-
25 νισθῇ, πάλιν ἀναδύνουσιν. Μεγάλοι δὲ γίγνονται [q]τῶν πο-
ταμῶν οἱ μακρὰν ῥέοντες διὰ κοίλης· πολλῶν γὰρ δέχονται
ῥεύματα ποταμῶν, ὑποτεμνόμενοι τῷ [r]τόπῳ καὶ τῷ μήκει τὰς
ὁδούς. Διόπερ ὅ τ' Ἴστρος καὶ ὁ Νεῖλος μέγιστοι τῶν πο-
26 ταμῶν εἰσὶ τῶν εἰς τήνδε τὴν [o]θάλατταν ἐξιόντων. Καὶ περὶ*

[p] *ἑκάστῳ* H. [q] *ὑδάτων* F. [r] *ἔχει* N. [s] *ἕλκεσθαι* E. [t] *δ' ἀεὶ ἄνω* F. [v] *ἔκχυσιν* E. [w] *οἷον* F.H.N. [x] *θάλατταν* F.H. [y] *ἤρξατο* F.H.N. [z] *καὶ* om. F.H.N. [a] *πρὸς τὸ ἄναντες* F. [b] *πάλιν* N. [c] *τὰς* om. E. [d] *ἂν* om. F. [e] *εἰσρεῖν* F, *ἀεὶ ῥεῖν* H.N. [f] *ἀεὶ*] *ἀεὶ καὶ* E, om. H.N. [g] *ῥέουσιν ἀφ' οὗπερ ἂν ἐκρέωσιν* F. [h] *ῥεύσονται* F.H. [i] *ἐφοτέραν ρ.* E, *ἐφ' ὅπερ ἂν ρ.* H.N. [k] *ῥεύσῃ* F.H.N. [l] *καίτοι τοῦτο* F, *καὶ τοῦ τοιούτου* H.N. [m] *ὅλον ἐξαίρειν* F.H.N. [n] *ἐξεχώρει* E. [o] *θάλασσαν* F.N. [p] *τὴν* om. F.H.N. [q] *τῶν* om. F. [r] *μήκει καὶ τῷ τόπῳ* H.N.

*τῶν πηγῶν [s]ἄλλοι λέγουσιν [t]ἑκάστου τῶν ποταμῶν ἄλλας
αἰτίας διὰ τὸ πολλοὺς εἰς τὸν αὐτὸν ἐμβάλλειν. [v]Ταῦτα
δὴ πάντα φανερὸν ὡς ἀδύνατόν ἐστι συμβαίνειν ἄλλως τε καὶ
τῆς θαλάττης [w]ἐκεῖθεν τὴν ἀρχὴν ἐχούσης. Ὅτι μὲν οὖν 27
ὕδατός τε ὁ τόπος [x]ἐστὶν οὗτος καὶ οὐ [y]θαλάττης, καὶ διὰ
τίν' αἰτίαν τὸ μὲν πότιμον ἄδηλον πλὴν ῥέον, τὸ δ' [z]ὑπομένον,
καὶ διότι τελευτὴ μᾶλλον ὕδατος ἢ ἀρχή ἐστιν ἡ [a]θάλαττα,
καθάπερ τὸ ἐν τοῖς σώμασι περίττωμα τῆς τροφῆς πάσης,
καὶ μάλιστα τὸ τῆς ὑγρᾶς, εἰρήσθω τοσαῦθ' ἡμῖν.*

Περὶ δὲ τῆς ἁλμυρότητος αὐτῆς λεκτέον, καὶ πότερον ἀεί 3
ἐστιν ἡ αὐτή, ἢ οὔτ' ἦν οὔτ' ἔσται [b]ἀλλ' ὑπολείψει· καὶ γὰρ
οὕτως οἴονταί τινες. Τοῦτο μὲν [c]οὖν ἐοίκασι πάντες ὁμο-
λογεῖν, ὅτι γέγονεν, εἴπερ καὶ πᾶς ὁ κόσμος· ἅμα γὰρ αὐ-
τῆς ποιοῦσι τὴν γένεσιν. Ὥστε δῆλον [d]ὡς εἴπερ [e]ἀΐδιον τὸ
πᾶν, καὶ περὶ τῆς θαλάττης οὕτως ὑποληπτέον. Τὸ δὲ νομί- 2
ζειν ἐλάττω τε γίγνεσθαι τὸ πλῆθος, ὥσπερ φησὶ Δημό-
κριτος, καὶ τέλος ὑπολείψειν, τῶν Αἰσώπου μύθων οὐθὲν
διαφέρειν ἔοικεν ὁ πεπεισμένος οὕτως· καὶ γὰρ ἐκεῖνος ἐμυ-
θολόγησεν ὡς δὶς μὲν ἡ Χάρυβδις ἀναρροφήσασα τὸ μὲν
πρῶτον τὰ ὄρη ἐποίησε φανερά, τὸ δὲ δεύτερον τὰς νήσους,
τὸ δὲ τελευταῖον ῥοφήσασα ξηρὰν ποιήσει [f]πάμπαν. Ἐκείνῳ 3
μὲν οὖν [g]ἥρμοττεν ὀργιζομένῳ πρὸς τὸν πορθμέα τοιοῦτον
εἰπεῖν μῦθον, τοῖς δὲ τὴν ἀλήθειαν ζητοῦσιν ἧττον· δι' ἣν γὰρ
αἰτίαν ἔμεινε τὸ πρῶτον, εἴτε διὰ βάρος, ὥσπερ τινὲς καὶ
[h]τούτων φασίν (ἐν προχείρῳ γὰρ τούτου τὴν αἰτίαν ἰδεῖν),
εἴτε καὶ δι' ἄλλο τι, δῆλον ὅτι διὰ τοῦτο διαμένειν ἀναγκαῖον
καὶ τὸν λοιπὸν χρόνον αὐτήν. Ἢ γὰρ λεκτέον αὐτοῖς ὅτι 4
οὐδὲ τὸ ἀναχθὲν ὕδωρ ὑπὸ τοῦ ἡλίου ἥξει πάλιν, [i]ἢ εἴπερ
τοῦτ' ἔσται, ἀναγκαῖον ἤτοι ἀεὶ ἢ [k]μέχρι οὗπερ ἂν ᾖ τοῦτο
[l]ὑπολείπεσθαι τὴν [m]θάλατταν, καὶ πάλιν ἀναχθῆναι ἐκεῖνο

[s] ἄλλοι δὲ λ. E. [t] ἑκάστου margo F. [v] ταῦτα—συμβαίνειν om. F. [w] τὴν ἀρχὴν ἐκεῖθεν H.N. [x] οὗτός ἐστι F. [y] θαλάσσης F. [z] ὑπομένει E. [a] θάλασσα F. [b] ἀλλ' ὑπολείψει om. F. [c] οὖν om. F. [d] ὡς] ὥσπερ E. [e] αἴτιον F. [f] πάντα F. [g] ἥρμοζεν N. [h] τούτους E. [i] ἢ om. E. [k] μέχρις E.F. [l] λείπεσθαι E. [m] θάλασσαν F.

5 πρότερον δεήσει τὸ πότιμον. Ὥστε οὐδέ ποτε [n] ξηρανεῖται· πάλιν γὰρ ἐκεῖνο φθήσεται καταβὰν εἰς τὴν αὐτὴν [o] τὸ προανελθόν· διαφέρει γὰρ οὐθὲν ἅπαξ τοῦτ' εἰπεῖν ἢ πολλάκις. Εἰ μὲν οὖν τὸν ἥλιον παύσει τις τῆς φορᾶς, τί ἔσται τὸ ξηραῖνον; Εἰ δ' ἐάσει εἶναι τὴν περιφοράν, ἀεὶ πλησιάζων τὸ πότιμον, καθάπερ εἴπομεν, ἀνάξει, ἀφήσει δὲ πάλιν
6 [p] ἀποχωρῶν. Ἔλαβον δὲ ταύτην τὴν διάνοιαν κατὰ τῆς θαλάττης ἐκ τοῦ πολλοὺς τόπους φαίνεσθαι ξηροτέρους νῦν ἢ πρότερον· περὶ οὗ τὴν αἰτίαν εἴπομεν, ὅτι τῶν κατά τινα [q] χρόνον ὑπερβολῶν [r] γιγνομένων ὕδατος τοῦτ' ἐστὶ τὸ πάθος, ἀλλ' οὐ διὰ τὴν τοῦ παντὸς γένεσιν καὶ τῶν μορίων· καὶ πάλιν [s] γ' ἔσται τοὐναντίον· καὶ ὅταν γένηται, ξηρανεῖται πάλιν· καὶ τοῦθ' οὕτω [t] κατὰ κύκλον ἀναγκαῖον ἀεὶ βαδίζειν· μᾶλλον γὰρ οὕτως εὔλογον ὑπολαβεῖν ἢ
7 διὰ [v] ταῦτα τὸν οὐρανὸν [w] ὅλον [x] μεταβάλλειν. Ἀλλὰ περὶ μὲν τούτων πλείω τῆς ἀξίας ἐνδιατέτριφεν ὁ λόγος· περὶ δὲ τῆς ἁλμυρότητος, τοῖς μὲν ἅπαξ γεννήσασι καὶ
8 ὅλως αὐτὴν γεννῶσιν ἀδύνατόν ἐστιν [y] ἁλμυρὰν ποιεῖν. Εἴ[z]τε γὰρ [a] ἅπαντος τοῦ ὑγροῦ τοῦ περὶ τὴν γῆν ὄντος καὶ ἀναχθέντος ὑπὸ τοῦ ἡλίου τὸ ὑπολειφθὲν [b] γέγονε θάλαττα, εἴτ' ἐνυπῆρχε τοσοῦτος χυμὸς ἐν τῷ πολλῷ ὕδατι καὶ γλυκεῖ διὰ τὸ συμμιχθῆναί τινα γῆν τοιαύτην, οὐθὲν ἧττον ἐλθόντος πάλιν τοῦ [c] διατμίσαντος ὕδατος ἀνάγκη, ἴσου γ' ὄντος τοῦ πλήθους, καὶ τὸ πρῶτον· [d] ἢ εἰ [e] μηδὲ τὸ
9 πρῶτον, [f] μηδ' ὕστερον ἁλμυρὰν αὐτὴν εἶναι. Εἰ δὲ καὶ τὸ πρῶτον εὐθὺς ἦν, λεκτέον τίς ἡ αἰτία, καὶ ἅμα διὰ τί οὐκ εἰ
10 καὶ τότε ἀνήχθη καὶ νῦν πάσχει ταὐτό. Ἀλλὰ μὴν καὶ ὅσοι τὴν γῆν αἰτιῶνται τῆς ἁλμυρότητος [g] ἐμμιγνυμένην (ἔχειν γάρ φασι πολλοὺς χυμοὺς αὐτήν, ὥσθ' ὑπὸ τῶν ποτα-

[n] ξηρανθήσεται F. [o] τὸ] καὶ E. [p] ἀναχωρῶν N. [q] χρόνον] τόπον H.N. [r] γενομένων F. [s] γ'] γὰρ H.N, om. E. [t] κατὰ] καὶ E.H.N. [v] ταῦτα om. E. [w] ὅλον om. H.N. [x] μεταβαλεῖν N. [y] ἁλμυρὸν E. [z] τε om. E.F. [a] παντὸς F.H.N. [b] ἐγένετο F.H.N. [c] διατμίζοντος E. [d] ἢ om. E. [e] μηδὲ μὴ τὸ N. [f] μηδ'—εἶναι om. pr. N. [g] ἐμμεμιγμένην N.

μῶν συγκαταφερομένην διὰ τὴν μίξιν ποιεῖν ἁλμυράν), ἄτο-
πον [h] τὸ μὴ καὶ τοὺς ποταμοὺς ἁλμυροὺς εἶναι· πῶς γὰρ
δυνατὸν ἐν πολλῷ μὲν πλήθει ὕδατος ἐπίδηλον [i] οὕτω ποιεῖν
τὴν μίξιν τῆς τοιαύτης γῆς, ἐν ἑκάστῳ δὲ μή; Δῆλον γὰρ
[k] ὅτι ἡ θάλαττά ἐστιν ἅπαν τὸ [l] ποτάμιον ὕδωρ· [m] οὐθενὶ
[n] γὰρ [o] διέφερεν ἀλλ' ἢ τῷ [p] ἁλμυρὰ εἶναι τῶν ποταμῶν·
τοῦτο δ' ἐν ἐκείνοις ἔρχεται εἰς τὸν τόπον εἰς ὃν ἀθρόοι ῥέ-
ουσιν. Ὁμοίως δὲ γελοῖον καὶ εἴ τις εἰπὼν ἱδρῶτα τῆς γῆς 11
εἶναι τὴν θάλατταν οἴεταί τι σαφὲς εἰρηκέναι, καθάπερ Ἐμ-
πεδοκλῆς· πρὸς ποίησιν μὲν γὰρ [q] οὕτως εἰπὼν ἴσως εἴρηκεν
ἱκανῶς (ἡ γὰρ μεταφορὰ ποιητικόν), πρὸς δὲ τὸ γνῶναι τὴν
φύσιν οὐχ ἱκανῶς· οὐδὲ γὰρ [r] ἐνταῦθα δῆλον πῶς ἐκ γλυκέος
τοῦ πόματος ἁλμυρὸς γίνεται ὁ ἱδρώς, πότερον ἀπελθόντος
[s] τινὸς μόνον οἷον τοῦ γλυκυτάτου, ἢ συμμιχθέντος τινός,
καθάπερ ἐν τοῖς διὰ [t] τῆς τέφρας ἠθουμένοις ὕδασιν. Φαί- 12
νεται δὲ τὸ αἴτιον ταὐτὸ [v] καὶ περὶ τὸ εἰς τὴν κύστιν περίτ-
τωμα συλλεγόμενον· καὶ γὰρ ἐκεῖνο πικρὸν καὶ ἁλμυρὸν
γίνεται τοῦ πινομένου καὶ τοῦ ἐν [w] τῇ τροφῇ ὑγροῦ γλυκέος
ὄντος. [x] Εἰ δὴ ὥσπερ τὸ διὰ τῆς κονίας ἠθούμενον ὕδωρ 13
γίνεται πικρόν, καὶ [y] ταῦτα, τῷ μὲν οὔρῳ συγκαταφερομένης
[z] τοιαύτης τινὸς δυνάμεως οἵα καὶ φαίνεται ὑφισταμένη ἐν
τοῖς ἀγγείοις ἁλμυρίς, τῷ δ' ἱδρῶτι συνεκκρινομένης ἐκ τῶν
σαρκῶν, οἷον καταπλύνοντος τὸ τοιοῦτον ἐκ τοῦ [a] σώματος
τοῦ ἐξιόντος ὑγροῦ, δῆλον ὅτι [b] κἂν τῇ θαλάττῃ τὸ ἐκ τῆς
γῆς [c] συγκαταμιγνύμενον [d] τῷ [e] ὑγρῷ αἴτιον τῆς ἁλμυρό-
τητος. Ἐν μὲν οὖν τῷ σώματι γίγνεται [f] τὸ τοιοῦτον ἡ 14
τῆς τροφῆς ὑπόστασις διὰ τὴν ἀπεψίαν· ἐν δὲ τῇ γῇ τίνα
τρόπον ὑπῆρχε, λεκτέον. Ὅλως [g] δὲ πῶς [h] οἷόν τε τοσοῦ-

[h] καὶ τὸ μὴ F. [i] οὕτω] ὅπως N. [k] ὅτι] εἰ N. [l] πότιμον E. [m] οὐθὲν E, ἐν οὐδενὶ F.H.N. [n] γὰρ om. N. [o] διαφέρει F. [p] ἁλμυρὰν E.F. [q] οὗτος N. [r] ἐντεῦθεν F. [s] τινὸς οἷον γλυκυτάτου μόνον ἢ συμμιγέντος F. [t] τῆς om. N. [v] καὶ τὸ περὶ τὸ E. [w] τῇ om. F. [x] εἰ δὴ om. E. [y] ταύτῃ H. et pr. N. [z] τοιαύτης om. F. [a] σώματος ὑγροῦ ἐξιόντος F. [b] κἂν] καὶ F. [c] καταμιγνύμενον E, συγκαταμισγόμενον H, συγκαταμιγόμενον F, συγκαταμισγόμενον N. [d] τὸ N, om. F. [e] ὑγρὸν N. [f] τὸ om. F. [g] δὲ om. F. [h] οἴονται E.

τον ὕδατος πλῆθος ξηραινομένης καὶ θερμαινομένης ἐκκρι-
θῆναι; Πολλοστὸν γὰρ δεῖ μέρος [i] αὐτὸ τοῦ λειφθέντος
15 εἶναι ἐν τῇ γῇ. Ἔτι [k] δὲ διὰ τί οὐ καὶ νῦν ὅταν ξηραινο-
μένη [l] τύχῃ ἡ γῆ, εἴτε πλείων εἴτε [m] ἐλάττων, ἰδίει; [n] Ἡ
γὰρ ὑγρότης καὶ ὁ ἱδρὼς γίνεται πικρός· εἴπερ [o] γὰρ καὶ
τότε, καὶ νῦν ἐχρῆν. Οὐ φαίνεται δὲ τοῦτο συμβαῖνον, ἀλλὰ
[p] ξηρὰ μὲν οὖσα ὑγραίνεται, ὑγρὰ δ' οὖσα οὐθὲν [q] πάσχει
16 τοιοῦτον. Πῶς [r] δ' οὖν οἷόν τε περὶ τὴν πρώτην γένεσιν,
ὑγρᾶς οὔσης τῆς γῆς, [s] ἰδίειν ξηραινομένην; Ἀλλὰ μᾶλλον
εἰκός, ὥσπερ φασί τινες, ἀπελθόντος τοῦ πλείστου καὶ μετεω-
ρισθέντος τοῦ ὑγροῦ διὰ τὸν ἥλιον τὸ λειφθὲν εἶναι θάλατ-
17 ταν· ὑγρὰν δ' οὖσαν [s] ἰδίειν ἀδύνατον. Τὰ μὲν οὖν λεγό-
μενα τῆς ἁλμυρότητος αἴτια διαφεύγειν [t] φαίνεται τὸν λό-
γον· ἡμεῖς δὲ [v] λέγωμεν ἀρχὴν λαβόντες τὴν αὐτὴν [w] ἣν [x] καὶ
πρότερον. [y] Ἐπεὶ γὰρ κεῖται διπλῆν εἶναι τὴν ἀναθυμίασιν,
τὴν μὲν ὑγρὰν τὴν δὲ ξηράν, δῆλον ὅτι ταύτην οἰητέον [z] ἀρ-
18 χὴν εἶναι τῶν τοιούτων. Καὶ δὴ καὶ περὶ οὗ [a] ἀπορῆσαι
πρότερον ἀναγκαῖον, πότερον καὶ ἡ [b] θάλαττα ἀεὶ διαμένει
τῶν αὐτῶν οὖσα μορίων ἀριθμῷ ἢ τῷ εἴδει καὶ τῷ ποσῷ με-
ταβαλλόντων ἀεὶ τῶν [c] μερῶν, καθάπερ ἀὴρ καὶ τὸ πότιμον
ὕδωρ καὶ πῦρ. Ἀεὶ γὰρ ἄλλο καὶ ἄλλο γίνεται τούτων
ἕκαστον, τὸ δ' [d] εἶδος τοῦ πλήθους ἑκάστου [e] τούτων μένει,
καθάπερ τὸ τῶν ῥεόντων ὑδάτων καὶ [f] τὸ τῆς φλογὸς ῥεῦμα.
19 Φανερὸν [g] δὴ τοῦτο καὶ πιθανόν, ὡς ἀδύνατον μὴ τὸν αὐτὸν
εἶναι περὶ πάντων τούτων λόγον, καὶ διαφέρειν ταχυτῆτι
καὶ βραδυτῆτι τῆς μεταβολῆς ἐπὶ πάντων [h] τε, καὶ φθορὰν
εἶναι καὶ γένεσιν, ταύτην μέντοι τεταγμένως συμβαίνειν πᾶσιν
αὐτοῖς. Τούτων δ' οὕτως ἐχόντων, πειρατέον ἀποδοῦναι τὴν

[i] αὐτοῦ E. [k] δὲ om. F.H.N. [l] τύχῃ margo F. [m] ἐλάττων οὖσα ἰδίει N. et (qui cum F. ἱδρίει) H. [n] ἡ γὰρ ὑγρότης margo H, ἡ γὰρ ἱδρότης margo N. [o] γὰρ καὶ om. E. [p] ξηρᾶς μὲν οὔσης E. [q] τοιοῦτον πάσχει N. [r] δ' om. F.H.N. [s] ἱδρίειν F.H. [t] φαίνονται H.N. [v] λέγομεν E.N. [w] ἣν] ἥνπερ N. [x] καὶ om. E. [y] ἐπειδὴ F.H.N. [z] εἶναι ἀρχὴν F. [a] προαπορῆσαι E. [b] θάλασσα F. [c] μορίων F.H.N. [d] εἶδος τούτου τοῦ F. [e] τούτων om. F. [f] τὸ om. H.N. [g] δὴ] δὴ καὶ E.F.H. [h] γε E.

αἰτίαν καὶ περὶ τῆς ἁλμυρότητος. Φανερὸν δὴ διὰ πολλῶν 20
σημείων ὅτι γίνεται τοιοῦτος [i] ὁ χυμὸς διὰ σύμμιξίν τινος.
Ἔν τε γὰρ τοῖς σώμασι τὸ ἀπεπτότατον ἁλμυρὸν καὶ πικρόν, ὥσπερ καὶ πρότερον εἴπομεν· ἀπεπτότατον [k] γὰρ τὸ περίττωμα τῆς ὑγρᾶς τροφῆς· τοιαύτη δὲ πᾶσα μὲν ἡ ὑπόστασις, μάλιστα δὲ ἡ εἰς τὴν κύστιν. Σημεῖον δ᾿ ὅτι λεπτο- 21
τάτη ἐστίν· τὰ δὲ πεττόμενα [l] πάντα συνίστασθαι πέφυκεν. [m] Ἔπειτα ἱδρὼς ἐν οἷς τὸ αὐτὸ σῶμα συνεκκρίνεται, ὃ ποιεῖ τὸν χυμὸν [n] τοῦτον. Ὁμοίως δὲ καὶ ἐν τοῖς [o] καομένοις· οὗ γὰρ ἂν μὴ κρατήσῃ τὸ θερμόν, ἐν μὲν τοῖς σώμασι γίγνεται περίττωσις, ἐν δὲ τοῖς [o] καομένοις τέφρα. Διὸ καὶ τὴν [p] θάλατταν τινες ἐκ κατακεκαυμένης φασὶ [q] γενέσθαι γῆς. Τὸ 22
[r] δ᾿ οὕτω μὲν εἰπεῖν ἄτοπον, τὸ μέντοι ἐκ τοιαύτης ἀληθές· ὥσπερ γὰρ καὶ ἐν τοῖς εἰρημένοις, οὕτω καὶ ἐν τῷ ὅλῳ ἔκ τε τῶν φυομένων καὶ γιγνομένων κατὰ φύσιν ἀεὶ δεῖ νοεῖν, [s] ὥσπερ ἐκ πεπυρωμένων τὸ λειπόμενον [t] τοιαύτην εἶναι γῆν, καὶ δὴ καὶ τὴν ἐν τῇ ξηρᾷ ἀναθυμίασιν πᾶσαν· αὕτη γὰρ καὶ παρέχεται τὸ πολὺ τοῦτο πλῆθος. Μεμιγμένης δ᾿ οὔσης, 23
[v] ὥσπερ εἴπομεν, τῆς τε ἀτμιδώδους ἀναθυμιάσεως καὶ τῆς ξηρᾶς, ὅταν συνιστῆται εἰς νέφη καὶ ὕδωρ, ἀναγκαῖον ἐμπεριλαμβάνεσθαί τι πλῆθος ἀεὶ [w] ταύτης τῆς δυνάμεως, καὶ συγκαταφέρεσθαι πάλιν [x] ἐν τοῖς ὑετοῖς, καὶ [y] τοῦτ᾿ ἀεὶ γίνεσθαι κατά τινα τάξιν, ὡς ἐνδέχεται μετέχειν τὰ ἐνταῦθα τάξεως.
Ὅθεν μὲν οὖν ἡ γένεσις [z] ἔνεστι τοῦ ἁλμυροῦ ἐν τῷ ὕδατι, 24
εἴρηται. Καὶ διὰ τοῦτο τά τε νότια ὕδατα πλατύτερα καὶ τὰ πρῶτα τῶν μετοπωρινῶν· ὅ τε γὰρ νότος καὶ τῷ μεγέθει καὶ τῷ πνεύματι ἀλεεινότατος ἄνεμός [a] ἐστι, καὶ πνεῖ ἀπὸ [b] τόπων ξηρῶν καὶ θερμῶν, ὥστε μετ᾿ ὀλίγης ἀτμίδος. Διὸ 25
καὶ θερμός ἐστιν· εἰ γὰρ καὶ μὴ τοιοῦτος, ἀλλ᾿ ὅθεν ἄρχεται

[i] ὁ om. F. [k] γὰρ] μὲν γὰρ E. [l] ἅπαντα N, ἀεὶ πάντα H. [m] ἔπειτα δὲ ὁ ἱδρὼς F. [n] τοιοῦτον F. [o] καιομένοις F. [p] θάλασσάν φασί τινες ἐκ κατ. F. [q] γίνεσθαι F.H.N. [r] δ᾿ om. N. [s] ὥσπερ καὶ ἐκ E. [t] εἶναι γῆν τοιαύτην F. [v] ὡς F. [w] τῆς τοιαύτης ἀεὶ ἀναθυμιάσεως (supra posito δυνάμεως) F. [x] ἐν τοῖς ὑετοῖς] ὕοντος F.H, οἴοντος N. [y] ταῦτα γίνεσθαι E. [z] τοῦ ἁλμυροῦ ἔνεστιν F.H.N. [a] ἐστι om. E. [b] τόπων καὶ ξ. καὶ H.

πνεῖν ψυχρός, οὐδὲν ἧττον προϊὼν διὰ τὸ [c]συμπεριλαμβάνειν
[d]πολλὴν ἀναθυμίασιν ξηρὰν ἐκ τῶν σύνεγγυς τόπων θερμός
ἐστιν· ὁ δὲ βορέας ἅτε ἀφ' ὑγρῶν τόπων ἀτμιδώδης, [e]διὸ
ψυχρός· τῷ δ' ἀπωθεῖν αἴθριος ἐνταῦθα, ἐν δὲ τοῖς ἐναντίοις
ὑδατώδης. Ὁμοίως δὲ καὶ ὁ νότος αἴθριος τοῖς περὶ τὴν
26 Λιβύην. Πολὺ οὖν ἐν τῷ καταφερομένῳ ὕδατι συμβάλλεται
[f]τοιοῦτον, καὶ τοῦ μετοπώρου πλατέα τὰ ὕδατα· ἀνάγκη
γὰρ τὰ [g]βαρύτατα [h]πρῶτα [i]φέρεσθαι. Ὥστ' ἐν ὅσοις
ἔνεστι τῆς τοιαύτης γῆς πλῆθος, ῥέπει τάχιστα κάτω ταῦτα.
Καὶ θερμή γε ἡ θάλαττα διὰ τοῦτό ἐστιν· πάντα γὰρ ὅσα
27 πεπύρωται, ἔχει [k]δυνάμει θερμότητα ἐν αὐτοῖς. Ὁρᾶν
δ' ἔξεστι καὶ τὴν κονίαν καὶ τὴν τέφραν καὶ τὴν ὑπόστασιν
τῶν ζῴων καὶ τὴν [l]ξηρὰν καὶ τὴν ὑγράν· καὶ τῶν θερμοτάτων
γε κατὰ τὴν κοιλίαν ζῴων συμβαίνει θερμοτάτην [m]εἶναι
28 τὴν ὑπόστασιν. Γίγνεται μὲν οὖν [n]ἀεὶ [o]πλατυτέρα διὰ
ταύτην τὴν αἰτίαν, ἀνάγεται δ' ἀεί τι μέρος αὐτῆς μετὰ τοῦ
γλυκέος· ἀλλ' ἔλαττον τοσούτῳ [p]ὅσῳ καὶ ἐν τῷ [q]ὑομένῳ τὸ
ἁλμυρὸν καὶ πλατὺ τοῦ [r]γλυκέος ἔλαττον. Διόπερ ἰσάζει
ὡς ἐπίπαν εἰπεῖν. Ὅτι δὲ γίνεται ἀτμίζουσα πότιμος καὶ
οὐκ εἰς θάλατταν συγκρίνεται τὸ ἀτμίζον, ὅταν συνιστῆται
29 πάλιν, πεπειραμένοι [s]λέγομεν. Πάσχει [t]δὲ καὶ τἆλλα
ταὐτό· καὶ γὰρ οἶνος καὶ πάντες οἱ χυμοί, ὅσοι ἂν ἀτμίσαντες
πάλιν εἰς ὑγρὸν συστῶσιν, ὕδωρ γίγνονται· πάθη γὰρ
τἆλλα διά [v]τινα σύμμιξιν τοῦ ὕδατός ἐστιν, καὶ οἷον ἄν τι
ᾖ τὸ συμμιχθέν, τοιοῦτον ποιεῖ τὸν χυμόν. Ἀλλὰ περὶ
[w]μὲν τούτων ἐν ἄλλοις καιροῖς οἰκειοτέροις ποιητέον τὴν
30 σκέψιν. Νῦν δὲ [x]τοσοῦτον [y]λέγωμεν, ὅτι τῆς [z]θαλάττης
ὑπαρχούσης ἀεί τι ἀνάγεται [a]καὶ γίνεται πότιμον καὶ ἄνωθεν

[c] συμπαραλαμβάνειν E.N. [d] πολλὴν τὴν ἀναθ. F. [e] διὸ καὶ ψ. F.H.N. [f] τοιοῦτο N, τὸ τοιοῦτον F. [g] βαρύτερα E. [h] πρῶτα post φέρεσθαι F, om. E. [i] φέρ.] κάτω φέρ. F. [k] δυνάμει om. N. [l] ὑγρὰν καὶ τὴν ξηράν F. [m] εἶναι καὶ τὴν F. [n] ἀεί τε E.F. [o] πλατυτέρα om. N, in margine ponit H: πλατὺ καὶ ἑτέρα pr. E. [p] ὅσον E. [q] οἰομένῳ N. [r] γλυκέος ὕδατος ἔλ. διόπερ τε ἰσάζει F. [s] λέγωμεν F.H. [t] τε F. [v] τινα ὕδατος σύμμιξίν εἰσι F. [w] μὲν οὖν τούτων N. [x] τοῦτον N. [y] λέγομεν F. [z] θαλ. ἁλμυρᾶς ὑπ. F. [a] καὶ γίνεται om. E.

ἐν τῷ ὑομένῳ κατέρχεται ἄλλο γεγενημένον, οὐ τὸ ἀναχθέν.
Καὶ διὰ βάρος ὑφίσταται τῷ ποτίμῳ. Καὶ διὰ τοῦτ' οὔτ' 31
ἐπιλείπει, [b] ὥσπερ οἱ ποταμοί, ἀλλ' [c] ἢ τοῖς τόποις (τοῦτο
δ' ἐπ' ἀμφοτέρων [d] ἀνάγκη συμβαίνειν ὁμοίως), οὔτε ἀεὶ τὰ
αὐτὰ μέρη [e] διαμένει, οὔτε γῆς οὔτε θαλάττης, [f] ἀλλὰ μόνον
ὁ πᾶς ὄγκος. Καὶ γὰρ καὶ περὶ γῆς ὁμοίως δεῖ ὑπολαβεῖν· 32
τὸ μὲν γὰρ ἀνέρχεται, τὸ δὲ πάλιν συγκαταβαίνει, καὶ τοὺς
τόπους [g] συμμεταβάλλει τά τ' ἐπιπολάζοντα καὶ τὰ [h] κατιόντα πάλιν. Ὅτι δ' ἐστὶν ἐν μίξει τινὸς τὸ ἁλμυρόν, δῆλον 33
οὐ μόνον ἐκ τῶν εἰρημένων, ἀλλὰ καὶ ἐάν τις ἀγγεῖον πλάσας [i] θῇ κήρινον εἰς [k] τὴν θάλατταν, περιδήσας τὸ στόμα τοιούτοις ὥστε μὴ παρεγχεῖσθαι [l] τῆς θαλάττης· τὸ γὰρ εἰσιὸν διὰ τῶν τοίχων τῶν κηρίνων γίνεται πότιμον ὕδωρ· ὥσπερ γὰρ δι' ἠθμοῦ τὸ γεῶδες ἀποκρίνεται καὶ τὸ ποιοῦν τὴν
ἁλμυρότητα διὰ τὴν σύμμιξιν. Τοῦτο γὰρ αἴτιον καὶ τοῦ 34
βάρους (πλεῖον γὰρ ἕλκει τὸ ἁλμυρὸν ἢ τὸ πότιμον) καὶ τοῦ πάχους· καὶ [m] γὰρ τὸ πάχος διαφέρει τοσοῦτον ὥστε τὰ πλοῖα ἀπὸ τοῦ αὐτοῦ τῶν ἀγωγίμων βάρους ἐν μὲν τοῖς ποταμοῖς [n] ὀλίγου καταδύνειν, ἐν δὲ τῇ θαλάττῃ μετρίως ἔχειν καὶ πλευστικῶς, διόπερ ἔνιοι τῶν ἐν τοῖς ποταμοῖς
[o] γεμιζόντων διὰ ταύτην τὴν ἄγνοιαν ἐζημιώθησαν. Τεκμήριον 35
δὲ τοῦ μιγνυμένου [p] τινὸς παχύτερον εἶναι τὸν ὄγκον· ἐὰν γάρ τις ὕδωρ ἁλμυρὸν ποιήσῃ σφόδρα μίξας ἅλας, ἐπιπλέουσι τὰ ᾠά, κἂν ᾖ πλήρη· σχεδὸν γὰρ ὥσπερ πηλὸς γίνεται· τοσοῦτον [q] ἔχει σωματῶδες πλῆθος ἡ [r] θάλαττα.
Ταὐτὸ δὲ τοῦτο [s] δρῶσι καὶ περὶ τὰς ταριχείας. Εἰ δ' ἔστιν 36
ὥσπερ μυθολογοῦσί τινες ἐν Παλαιστίνῃ τοιαύτη λίμνη, εἰς ἣν ἐάν τις [t] ἐμβάλῃ συνδήσας ἄνθρωπον ἢ ὑποζύγιον ἐπιπλεῖν καὶ οὐ καταδύεσθαι [v] κατὰ τοῦ ὕδατος, μαρτύριον ἂν

[b] ὥσπερ οὐδὲ οἱ H.N. et margo F. [c] ἢ om. E. [d] ἀνάγκη] ἀνάξιον N. [e] διαμένειν N. [f] ἀλλ' ἢ μ. F.N. [g] μεταβάλλει F.H.N. [h] κατιόντα] ὑφιστάμενα H.N. [i] θείη F. [k] τὴν om. F. [l] τῆς] τι τῆς F. [m] γὰρ om. E. [n] ὀλίγον F. [o] γεμιζομένων τῶν πλοίων διὰ E. [p] τινὸς] τὸ E.F. [q] ἔχει post σωματῶδες ponit H, om. N. [r] θάλασσα F. [s] δρῶσι] ποιοῦσι F. [t] ἐμβάλλῃ H. [v] κατὰ om. F.

[w]εἴη τοῖς εἰρημένοις· λέγουσι γὰρ πικρὰν οὕτως εἶναι τὴν λίμνην καὶ ἁλμυρὰν ὥστε μηθένα ἰχθὺν ἐγγίνεσθαι, τὰ δ'
37 ἱμάτια [x]ῥύπτειν, ἐάν τις διασείσῃ βρέξας. Ἔστι δὲ [y]καὶ τὰ τοιαῦτα σημεῖα πάντα τῶν εἰρημένων, ὅτι τὸ ἁλμυρὸν ποιεῖ σῶμά τι, καὶ γεῶδές ἐστι τὸ ἐνυπάρχον· ἔν τε γὰρ τῇ Χαονίᾳ κρήνη τίς ἐστιν ὕδατος πλατυτέρου, ἀπορρεῖ δ' αὕτη εἰς ποταμὸν πλησίον γλυκὺν μέν, ἰχθῦς δ' οὐκ ἔχοντα· εἵλοντο γὰρ δή, ὡς [z]οἱ ἐκεῖ μυθολογοῦσιν, ἐξουσίας δοθείσης ὑπὸ τοῦ [a]Ἡρακλέους, ὅτ' ἦλθεν ἄγων [b]ἐκ τῆς [c]Ἐρυθείας τὰς βοῦς, ἅλας ἀντὶ τῶν ἰχθύων, οἳ γίγνονται αὐτοῖς ἐκ τῆς κρήνης· τούτου γὰρ τοῦ ὕδατος ἀφέψοντές τι μέρος τιθέασι, καὶ γίνεται ψυχθέν, ὅταν [d]ἀπατμίσῃ τὸ ὑγρὸν ἅμα τῷ θερμῷ, ἅλες, οὐ χονδροὶ ἀλλὰ χαῦνοι καὶ λεπτοὶ ὥσπερ
38 χιών. Εἰσὶ [e]δὲ τήν [f]τε δύναμιν ἀσθενέστεροι τῶν ἄλλων καὶ πλείους ἡδύνουσιν ἐμβληθέντες, καὶ τὴν χρόαν οὐχ ὁμοίως λευκοί. [g]Τοιοῦτον δ' ἕτερον γίνεται καὶ ἐν Ὀμβρικοῖς· ἔστι γάρ τις τόπος ἐν ᾧ πεφύκασι [h]κάλαμος καὶ σχοῖνος· [i]τούτων [k]οὖν [l]κατακάουσι, καὶ τὴν τέφραν [m]ἐμβαλόντες εἰς ὕδωρ ἀφέψουσιν· ὅταν δὲ [n]λίπωσί [o]τι τοῦ ὕδατος, τοῦτο
39 ψυχθὲν ἁλῶν γίνεται πλῆθος. Ὅσα δ' ἐστὶν [p]ἁλμυρὰ ῥεύματα ποταμῶν ἢ κρηνῶν, τὰ πλεῖστα [q]θερμά ποτε εἶναι δεῖ νομίζειν, εἶτα τὴν μὲν ἀρχὴν ἀπεσβέσθαι τοῦ πυρός, δι' ἧς δὲ [r]διηθοῦνται γῆς, ἔτι μένειν οὖσαν οἷον κονίαν καὶ τέφραν.
40 Εἰσὶ [s]δὲ [t]πολλαχοῦ [v]καὶ κρῆναι καὶ ῥεύματα ποταμῶν παντοδαποὺς ἔχοντα [w]χυμούς, ὧν πάντων αἰτιατέον τὴν ἐνοῦσαν ἢ ἐγγινομένην δύναμιν πυρός· καομένη γὰρ ἡ γῆ τῷ μᾶλλον καὶ ἧττον παντοδαπὰς λαμβάνει μορφὰς καὶ χρόας χυμῶν· [x]στυπτηρίας γὰρ καὶ κονίας καὶ τῶν ἄλλων τῶν

[w] εἴη τι τοῖς H.N. [x] ῥίπτειν N. [y] καὶ] κα E, om. F. [z] οἱ om. E. [a] ἡρακλέος N. [b] ἐκ om. E, τῆς om. E.F. [c] ἐριθείας F. [d] ἀποτμίσῃ F. [e] δὲ] τε H.N. [f] τε om. E. [g] καὶ ἐν ὀμβρικοῖς δὲ τοιοῦτόν τι ἕτερον γίνεται F. [h] κάλαμοι H.N. [i] τοῦτον N. [k] οὖν om. H.N. [l] κατακαίουσι E.F.N. [m] ἐμβάλλοντες H.N. [n] λείπωσι N. [o] τι μέρος τοῦ F.H.N. [p] ποτ. ἁλμ. ῥεύματα F. [q] ποτε θερμὰ F, θερμά τε E. [r] ἠθοῦνται E. [s] τε N. [t] πολλαχῇ F. [v] καὶ ante κρ. om. E. [w] μυχοὺς N. [x] στιπτηρίας N.

τοιούτων γίνεται πλήρης δυνάμεων, δι' [y]ὧν τὰ ἠθούμενα ὕδα-
τα ὄντα γλυκέα μεταβάλλει, καὶ τὰ μὲν ὀξέα γίγνεται,
καθάπερ [z]ἐν τῇ [a]Σικανικῇ τῆς Σικελίας· ἐκεῖ γὰρ ὀξάλμη
γίνεται, καὶ χρῶνται καθάπερ ὄξει πρὸς ἔνια τῶν ἐδεσμάτων
αὐτῷ. Ἔστι δὲ καὶ περὶ [b]Λύγκον κρήνη τις ὕδατος ὀξέος, 41
περὶ [c]δὲ τὴν Σκυθικὴν πικρά· τὸ δ' ἀπορρέον αὐτῆς τὸν
ποταμὸν εἰς ὃν [d]εἰσβάλλει ποιεῖ πικρὸν ὅλον. Αἱ [e]δὲ
διαφοραὶ τούτων ἐκεῖθεν δῆλαι. Ποῖοι [f]δὲ χυμοὶ ἐκ ποίων
[g]γίνονται κράσεων, [h]εἴρηται περὶ αὐτῶν χωρὶς ἐν ἄλλοις.
Περὶ μὲν [i]οὖν [k]ὑδάτων καὶ [l]θαλάττης, δι' ἃς αἰτίας ἀεί τε 42
συνεχῶς εἰσὶ καὶ πῶς μεταβάλλουσι καὶ τίς ἡ φύσις αὐτῶν,
ἔτι δ' [m]ὁπόσα πάθη κατὰ φύσιν αὐτοῖς συμβαίνει ποιεῖν ἢ
πάσχειν, εἴρηται σχεδὸν ἡμῖν περὶ τῶν πλείστων.

Περὶ δὲ πνευμάτων [n]λέγωμεν, [o]λαβόντες ἀρχὴν τὴν 4
εἰρημένην ἡμῖν ἤδη πρότερον. Ἔστι γὰρ [p]δύο εἴδη τῆς
ἀναθυμιάσεως, ὥς φαμεν, ἡ μὲν ὑγρὰ ἡ δὲ ξηρά. Καλεῖται
δ' ἡ μὲν ἀτμίς, ἡ δὲ τὸ [q]μὲν ὅλον ἀνώνυμος, [r]τῷ δ' ἐπὶ μέ-
ρους [s]ἀνάγκη χρωμένους καθόλου προσαγορεύειν [t]αὐτὴν οἷον
καπνόν. Ἔστι [v]δ' οὔτε [w]τὸ ὑγρὸν ἄνευ τοῦ ξηροῦ οὔτε τὸ
ξηρὸν ἄνευ τοῦ ὑγροῦ, [x]ἀλλὰ [y]πάντα ταῦτα λέγεται κατὰ
τὴν ὑπεροχήν. Φερομένου δὴ τοῦ ἡλίου κύκλῳ, καὶ ὅταν μὲν 2
πλησιάζῃ, τῇ θερμότητι ἀνάγοντος τὸ ὑγρόν, πορρωτέρω
δὲ γιγνομένου διὰ τὴν ψύξιν συνισταμένης πάλιν τῆς ἀνα-
χθείσης ἀτμίδος εἰς ὕδωρ· διὸ χειμῶνός τε μᾶλλον γίγνεται
τὰ ὕδατα, καὶ νύκτωρ ἢ μεθ' ἡμέραν· ἀλλ' οὐ δοκεῖ διὰ τὸ
λανθάνειν τὰ νυκτερινὰ τῶν μεθ' ἡμέραν μᾶλλον. Τὸ [z]δὴ 3
κατιὸν ὕδωρ διαδίδοται πᾶν εἰς τὴν γῆν· ὑπάρχει δ' ἐν [a]τε

[y] ὧν καὶ τὰ διηθούμενα F. [z] ἐν τῇ σικανικῇ margo F. [a] σικάνῃ H.N. [b] λύγκην F. [c] τὴν σκυθικὴν δὲ F. [d] ἐμβάλλει F. [e] δὲ om. N. [f] δὲ om. E.N. [g] εἴρηνται (supra posito γίγνονται) F. [h] εἴρηται δὲ περὶ E.F.H.N. [i] οὖν om. N. [k] ὕδατος F.H.N. [l] θαλάσσης F. [m] ὅσα F.H. [n] λέγομεν E.N. [o] λαβόντες ἄλλην ἀρχὴν H.N. [p] εἴδη δύο H.N. [q] ὅλον μὲν E. [r] τὸ N. [s] ἀνάγκη] ἀναξίῳ N. [t] αὐτὸν N. [v] δ' οὔτε] δ' ὅτε N. [w] τὸ ξηρὸν ἄνευ τοῦ ὑγροῦ οὔτε τὸ ὑγρὸν ἄνευ τοῦ ξηροῦ H.N. [x] ἀλλὰ] ἀλλὰ καὶ N. [y] ταῦτα πάντα F.N. [z] δὲ H.N. [a] τε om. F.N.

τῇ γῇ πολὺ πῦρ καὶ πολλὴ θερμότης, καὶ ὁ ἥλιος οὐ μόνον
τὸ ἐπιπολάζον τῆς γῆς ὑγρὸν ἕλκει, [b] ἀλλὰ καὶ τὴν γῆν
αὐτὴν ξηραίνει θερμαίνων. Τῆς δ' ἀναθυμιάσεως, ὥσπερ
εἴρηται, [c] διττῆς οὔσης, τῆς μὲν ἀτμιδώδους τῆς δὲ καπνώδους,
4 ἀμφοτέρας [d] ἀναγκαῖον γίγνεσθαι. Τούτων δ' ἡ μὲν ὑγροῦ
[e] πλέον ἔχουσα πλῆθος [f] ἀναθυμίασις ἀρχὴ τοῦ ὑομένου ὕδα-
τός [g] ἐστιν, ὥσπερ εἴρηται πρότερον, ἡ δὲ ξηρὰ τῶν πνευ-
μάτων ἀρχὴ καὶ φύσις πάντων. Ταῦτα δ' ὅτι τοῦτον τὸν
τρόπον ἀναγκαῖον συμβαίνειν, [h] καὶ ἐξ αὐτῶν [i] τῶν ἔργων
δῆλον· καὶ γὰρ τὴν ἀναθυμίασιν διαφέρειν ἀναγκαῖον, καὶ
τὸν ἥλιον καὶ τὴν ἐν τῇ γῇ θερμότητα [k] ταῦτα ποιεῖν οὐ
5 μόνον δυνατὸν [l] ἀλλ' ἀναγκαῖόν ἐστιν. [m] Ἐπεὶ δ' ἕτερον
ἑκατέρας τὸ εἶδος, φανερὸν ὅτι διαφέρει, καὶ οὐχ ἡ αὐτή
ἐστιν [n] ἥ τε [o] τοῦ ἀνέμου φύσις καὶ ἡ τοῦ ὑομένου ὕδατος,
καθάπερ τινὲς λέγουσιν· τὸν γὰρ αὐτὸν ἀέρα κινούμενον
6 [p] μὲν ἄνεμον εἶναι, συνιστάμενον δὲ πάλιν ὕδωρ. Ὁ μὲν οὖν
ἀήρ, καθάπερ ἐν τοῖς πρὸ τούτων λόγοις εἰρήκαμεν, γίνεται
ἐκ τούτων· ἡ μὲν γὰρ ἀτμὶς ὑγρὸν καὶ ψυχρόν (εὐόριστον
μὲν γὰρ ὡς ὑγρόν, διὰ δὲ τὸ ὕδατος εἶναι ψυχρὸν τῇ οἰκείᾳ
φύσει, ὥσπερ ὕδωρ μὴ θερμανθέν), ὁ δὲ καπνὸς θερμὸν καὶ
7 ξηρόν. Ὥστε καθάπερ ἐκ [q] συμβόλων, [r] συνίσταιτο ἂν ὁ
ἀὴρ [s] ὑγρὸς καὶ θερμός· καὶ γὰρ ἄτοπον εἰ ὁ [t] περὶ ἑκάστους
[v] περικεχυμένος ἀὴρ [w] οὗτος γίνεται κινούμενος πνεῦμα, καὶ
ὅθεν ἂν τύχῃ κινηθείς, ἄνεμος ἔσται, ἀλλ' οὐ καθάπερ τοὺς
ποταμοὺς ὑπολαμβάνομεν οὐχ [x] ὁπωσοῦν τοῦ ὕδατος [y] εἶναι
ῥέοντος, οὐδ' ἂν ἔχῃ πλῆθος, ἀλλὰ [z] δεῖ πηγαῖον εἶναι τὸ
ῥέον, [a] οὕτω καὶ περὶ τῶν ἀνέμων ἔχει· κινηθείη γὰρ ἂν πολὺ
πλῆθος ἀέρος ὑπό τινος μεγάλης πτώσεως, οὐκ ἔχον ἀρχὴν

[b] ἀλλὰ om. E. [c] διπλῆς F.H.N. [d] γίγνεσθαι ἅμα ἀναγκαῖον N, ἀναγκαῖον γίγνεσθαι ἅμα H. [e] πλέονος E. [f] ἀναθυμίασις ὕλη ἀρχὴ N. [g] ἐστιν om. F. [h] καὶ τὸ ἐξ E. [i] τῶν ἔργων om. E. [k] ταῦτα πάντα ποιεῖν F. [l] ἀλλὰ καὶ ἀν. H. [m] ἐπειδὴ F.H. [n] ἥ τε ἀν. φ. ante καὶ οὐχ N. [o] τοῦ post τε om. F.H.N. [p] μὲν om. F. [q] συμβόλου F. [r] συνίσταται ὁ ἄνω ἀὴρ F.H.N. [s] θερμὸς καὶ ὑγρὸς F. [t] περὶ ἑκάστους om. E. [v] κεχυμένος F. [w] οὕτω F.H. [x] ὁποσοῦν F. [y] ῥέοντος εἶναι οὐδ' ἂν ἐὰν ἔχῃ F. [z] δεῖ] ἀεὶ E. [a] οὕτω δὴ καὶ F, οὕτω γὰρ καὶ H.N.

οὐδὲ πηγήν. Μαρτυρεῖ δὲ τὰ γινόμενα τοῖς εἰρημένοις· διὰ 8
γὰρ τὸ συνεχῶς μὲν μᾶλλον δὲ καὶ ἧττον καὶ πλείω καὶ ἐλάττω γίνεσθαι τὴν ἀναθυμίασιν, ἀεὶ νέφη τε καὶ πνεύματα γίνεται κατὰ τὴν ὥραν ἑκάστην ὡς πέφυκεν· διὰ δὲ τὸ ἐνίοτε μὲν τὴν ἀτμιδώδη γίνεσθαι πολλαπλασίαν ὁτὲ δὲ τὴν ξηρὰν καὶ καπνώδη, ὁτὲ μὲν ἔπομβρα [b] τὰ ἔτη γίνεται καὶ ὑγρά, ὁτὲ δὲ ἀνεμώδη καὶ αὐχμοί. Ὁτὲ μὲν οὖν συμβαίνει καὶ τοὺς 9
αὐχμοὺς καὶ τὰς ἐπομβρίας [c] πολλοὺς ἅμα καὶ [d] κατὰ συνεχῆ γίνεσθαι χώραν, ὁτὲ δὲ [e] καὶ κατὰ μέρη· πολλάκις [f] γὰρ ἡ μὲν [g] κύκλῳ χώρα λαμβάνει τοὺς ὡραίους ὄμβρους ἢ καὶ πλείους, ἐν δέ τινι μέρει ταύτης αὐχμός ἐστιν· ὁτὲ δὲ τοὐναντίον τῆς κύκλῳ πάσης ἢ μετρίοις χρωμένης ὕδασιν [h] ἢ καὶ μᾶλλον αὐχμώσης, ἕν τι μόριον ὕδατος ἄφθονον λαμβάνει πλῆθος. Αἴτιον δ᾽ ὅτι ὡς μὲν τὰ πολλὰ τὸ αὐτὸ πάθος 10
ἐπὶ πλείω διήκειν [i] εἰκὸς χώραν, διὰ τὸ παραπλησίως κεῖσθαι πρὸς τὸν ἥλιον [k] τὰ σύνεγγυς, ἐὰν μή τι διαφορὰν ἔχωσιν ἴδιον· οὐ μὴν ἀλλ᾽ ἐνίοτε κατὰ τοδὶ μὲν [l] τὸ μέρος ἡ ξηρὰ ἀναθυμίασις ἐγένετο πλείων, κατὰ δὲ τὸ ἄλλο ἡ ἀτμιδώδης, ὁτὲ δὲ τοὐναντίον. Καὶ αὐτοῦ [m] δὲ τούτου αἴτιον τὸ [n] ἑκα- 11
τέραν [o] μεταπίπτειν εἰς τὴν τῆς ἐχομένης χώρας ἀναθυμίασιν, οἷον ἡ μὲν ξηρὰ κατὰ τὴν οἰκείαν ῥεῖ χώραν, ἡ δ᾽ ὑγρὰ πρὸς τὴν γειτνιῶσαν, ἢ καὶ εἰς τῶν πόρρω τινὰ [p] τόπον ἀπεώσθη [q] ὑπὸ πνευμάτων· ὁτὲ δ᾽ αὕτη μὲν ἔμεινεν, ἡ δ᾽ ἐναντία ταὐτὸν ἐποίησεν. Καὶ συμβαίνει τοῦτο πολλάκις, ὥσπερ ἐπὶ 12
τοῦ σώματος, [r] ἐὰν ἡ ἄνω κοιλία ξηρὰ ᾖ, [s] τὴν κάτω ἐναντίως διακεῖσθαι, καὶ ταύτης ξηρᾶς οὔσης ὑγρὰν εἶναι τὴν ἄνω καὶ ψυχράν, οὕτω καὶ περὶ τοὺς τόπους ἀντιπεριίστασθαι καὶ μεταβάλλειν τὰς ἀναθυμιάσεις. [t] Ἔτι δὲ μετά τε τοὺς 13
ὄμβρους ἄνεμος ὡς τὰ πολλὰ γίνεται ἐν ἐκείνοις τοῖς τόποις καθ᾽ οὓς ἂν συμπέσῃ [v] γίνεσθαι τοὺς ὄμβρους, καὶ τὰ πνεύ-

[b] γίνεται τὰ ἔτη F. [c] πολλὰς F.N. [d] κατὰ πολλὴν σ. E. [e] καὶ om. F.H.N. [f] γὰρ] μὲν γὰρ F, om. N. [g] κύκλῳ] μέσης E. [h] ἢ post ὕδ. om. E. [i] χώραν εἰκὸς F. [k] τὰς E. [l] τὸ om. F.H. [m] δὲ τούτου] δὴ τούτου F. [n] ἑκάτερον E. [o] ἐμπίπτειν F. [p] τόπων H.N. [q] ἀπὸ N. [r] ἂν F.N. [s] τὴν] τὰ F. [t] ἔτι] ὅτι N. [v] γενέσθαι F.H.N.

ματα παύεται ὕδατος [w] γενομένου. Ταῦτα γὰρ ἀνάγκη
συμβαίνειν διὰ τὰς εἰρημένας [x] ἀρχάς· ὕσαντός τε γὰρ ἡ γῆ
ξηραινομένη ὑπό τε τοῦ ἐν αὐτῇ θερμοῦ καὶ [y] ὑπὸ τοῦ ἄνωθεν
14 ἀναθυμιᾶται, τοῦτο δ' ἦν ἀνέμου σῶμα. Καὶ ὅταν ἡ τοιαύτη
ἀπόκρισις ᾖ καὶ ἄνεμοι [z] κατέχωσι, [a] παυομένων διὰ τὸ ἀπο-
κρίνεσθαι τὸ θερμὸν ἀεὶ καὶ ἀναφέρεσθαι εἰς τὸν ἄνω τόπον
συνίσταται ἡ ἀτμὶς ψυχομένη καὶ γίνεται ὕδωρ· [b] καὶ ὅταν
εἰς [c] ταὐτὸν συνωσθῶσι τὰ νέφη καὶ ἀντιπεριστῇ εἰς αὐτὰ ἡ
ψύξις, ὕδωρ γίνεται καὶ καταψύχει τὴν ξηρὰν ἀναθυμίασιν.
Παύουσί τε οὖν τὰ ὕδατα γιγνόμενα τοὺς ἀνέμους, καὶ παυ-
15 ομένων αὐτὰ γίνεται διὰ ταύτας τὰς αἰτίας. Ἔτι [d] δὲ [e] τοῦ
γίνεσθαι [f] μάλιστα πνεύματα ἀπ' [g] αὐτῆς τε τῆς ἄρκτου καὶ
μεσημβρίας τὸ αὐτὸ αἴτιον· πλεῖστοι γὰρ βορέαι καὶ νότοι
γίγνονται τῶν ἀνέμων· ὁ γὰρ ἥλιος τούτους μόνους οὐκ
ἐπέρχεται τοὺς τόπους, ἀλλὰ πρὸς τούτους καὶ ἀπὸ τούτων,
ἐπὶ δυσμὰς δὲ καὶ [h] ἐπ' ἀνατολὰς ἀεὶ φέρεται· [i] διὸ τὰ νέφη
συνίσταται ἐν τοῖς πλαγίοις, καὶ γίνεται προσιόντος μὲν ἡ
ἀναθυμίασις τοῦ ὑγροῦ, ἀπιόντος δὲ πρὸς τὸν ἐναντίον τόπον
16 ὕδατα καὶ χειμῶνες. Διὰ μὲν οὖν τὴν φορὰν τὴν ἐπὶ τρο-
πὰς καὶ [k] ἀπὸ τροπῶν θέρος [l] τε γίνεται καὶ χειμών, καὶ
17 [m] ἀνάγεταί τε ἄνω τὸ ὕδωρ καὶ γίνεται πάλιν. Ἐπεὶ [n] δὲ
πλεῖστον [o] μὲν καταβαίνει ὕδωρ ἐν τούτοις τοῖς τόποις ἐφ'
οὓς τρέπεται καὶ ἀφ' ὧν, οὗτοι δ' εἰσὶν ὅ τε πρὸς ἄρκτον καὶ
μεσημβρίαν, ὅπου δὲ πλεῖστον [p] ὕδωρ ἡ γῆ δέχεται, ἐνταῦθα
πλείστην [q] ἀναγκαῖον γίνεσθαι τὴν ἀναθυμίασιν παραπλη-
σίως οἷον ἐκ χλωρῶν ξύλων καπνόν, ἡ δ' ἀναθυμίασις αὕτη
ἄνεμός ἐστιν, εὐλόγως [r] ἂν οὖν ἐντεῦθεν γίγνοιτο τὰ πλεῖστα
18 καὶ κυριώτατα τῶν πνευμάτων. Καλοῦνται δ' οἱ μὲν [s] ἀπὸ
τῆς ἄρκτου βορέαι, οἱ δ' ἀπὸ τῆς μεσημβρίας νότοι. Ἡ δὲ

[w] γινομένου N. [x] αἰτίας F. [y] ὑπὸ post καὶ om. F. [z] κατέ-
χουσι pr. E. [a] παυομένων δὲ διὰ τὸ ἀποκρίνασθαι F. [b] καὶ om. E.N.
[c] ταὐτὸ F.H.N. [d] δὲ om. F. [e] τοῦ] τοῦτο N. [f] μᾶλλον τὰ πν. F.
[g] αὐτῆς om. F.H.N. [h] ἐπ' om. E. [i] διὸ καὶ τὰ F. [k] επὶ N.
[l] τε om. F.N. [m] ἀνάγεται τὸ ὕδωρ ἄνω F. [n] δὲ] τὸ H. [o] μὲν om. E.
[p] ἡ γῆ ὕδωρ F. [q] ἀναγκαίαν E. [r] ἂν οὖν] οὖν καὶ F. [s] ἀπὸ τῆς om. E.

φορὰ [t]λοξὴ αὐτῶν ἐστίν· περὶ γὰρ τὴν γῆν πνέουσιν εἰς ὀρθὸν
γινομένης τῆς ἀναθυμιάσεως, [v]ὅτι πᾶς ὁ κύκλῳ ἀὴρ συνέπε-
ται τῇ φορᾷ. Διὸ καὶ ἀπορήσειεν ἄν τις ποτέρωθεν ἡ ἀρχὴ 19
τῶν πνευμάτων ἐστί, πότερον ἄνωθεν ἢ κάτωθεν· ἡ μὲν γὰρ
κίνησις ἄνωθεν καὶ πρὶν πνεῖν, [w]ὁ δ' ἀὴρ ἐπίδηλος, κἂν ᾖ
νέφος ἢ ἀχλύς· [x]σημαίνει γὰρ κινουμένην πνεύματος ἀρχὴν
πρὶν φανερῶς ἐληλυθέναι τὸν ἄνεμον, ὡς ἄνωθεν αὐτῶν ἐχόν-
των τὴν ἀρχήν. Ἐπεὶ δ' ἐστὶν ἄνεμος πλῆθός τι [y]τῆς ἐκ 20
γῆς ξηρᾶς ἀναθυμιάσεως κινούμενον περὶ [z]τὴν γῆν, δῆλον ὅτι
τῆς μὲν κινήσεως [a]ἡ ἀρχὴ ἄνωθεν, τῆς δ' ὕλης καὶ τῆς γενέ-
σεως κάτωθεν· [b]ᾗ μὲν γὰρ ῥευσεῖται τὸ ἀνιόν, ἐκεῖθεν τὸ
αἴτιον· ἡ γὰρ φορὰ τῶν πορρωτέρω κυρία τῆς γῆς· καὶ
ἅμα κάτωθεν μὲν εἰς ὀρθὸν ἀναφέρεται, καὶ πᾶν ἰσχύει μᾶλ-
λον ἐγγύς, ἡ δὲ τῆς γενέσεως ἀρχὴ δῆλον ὡς ἐκ τῆς γῆς
ἐστίν. Ὅτι δ' ἐκ πολλῶν ἀναθυμιάσεων συνιουσῶν κατὰ 21
μικρόν, ὥσπερ αἱ τῶν ποταμῶν [c]ἀρχαὶ γίγνονται νοτιζού-
σης τῆς γῆς, δῆλον καὶ ἐπὶ τῶν ἔργων· ὅθεν γὰρ ἑκάστοτε
πνέουσιν, ἐλάχιστοι πάντες εἰσί, προϊόντες δὲ καὶ πόρρω
λαμπροὶ πνέουσιν. Ἔτι δὲ καὶ [d]τὰ περὶ τὴν ἄρκτον ἐν τῷ
χειμῶνι νήνεμα καὶ ἄπνοα, κατ' αὐτὸν ἐκεῖνον τὸν τόπον·
ἀλλὰ τὸ κατὰ μικρὸν ἀποπνέον καὶ λανθάνον ἔξω προϊὸν
[e]ἤδη πνεῦμα [f]γίνεται λαμπρόν. Τίς μὲν οὖν ἐστὶν ἡ τοῦ 22
ἀνέμου φύσις καὶ πῶς γίνεται, ἔτι δ' αὐχμῶν τε πέρι καὶ
ἐπομβρίας, καὶ διὰ τίν' αἰτίαν καὶ παύονται καὶ γίγνονται
μετὰ τοὺς ὄμβρους, διὰ τί τε βορέαι [g]καὶ νότοι πλεῖστοι
τῶν ἀνέμων εἰσίν, εἴρηται· πρὸς δὲ τούτοις καὶ περὶ τῆς φο-
ρᾶς αὐτῶν.

Ὁ δ' ἥλιος καὶ παύει καὶ [h]συνεξορμᾷ τὰ πνεύματα· 5
ἀσθενεῖς μὲν γὰρ καὶ ὀλίγας οὔσας [i]τὰς ἀναθυμιάσεις μα-

[t] αὐτῶν λοξή F. [v] ὅτι δὴ πᾶς F.H.N. [w] ὅ τ' H.N. [x] συμβαίνει N. [y] τῆς ξηρᾶς ἐκ γῆς H.N. τῆς ἐκ γῆς om. F. [z] τὴν om. F. [a] ἡ om. E. [b] ᾗ] εἰ E. ᾗ—αἴτιον] τὸ αἴτιον γὰρ καθὸ μὲν ῥευσεῖται τὸ ἀνιὸν ἐκεῖθεν N. [c] πηγαὶ E, ἀρχαὶ καὶ N. [d] τὰ om. E. [e] ἤδη om. F. [f] λαμπρὸν γίνεται H. [g] καὶ] τε καὶ N. [h] ξυνορμᾷ N. [i] τὰς ἀναθυμιάσεις margo F.

ραίνει τῷ πλείονι θερμῷ τὸ ἐν τῇ ἀναθυμιάσει ἔλαττον ὄν,
καὶ διακρίνει. Ἔτι δ' αὐτὴν τὴν γῆν φθάνει ξηραίνων πρὶν
γενέσθαι ἔκκρισιν ἀθρόαν, ὥσπερ εἰς πολὺ πῦρ ἐὰν ὀλίγον
[k] ἐμπέσῃ ὑπέκκαυμα, φθάνει πολλάκις πρὶν καπνὸν [l] ποιῆσαι
2 [m] κατακαυθέν. Διὰ μὲν οὖν ταύτας τὰς [n] αἰτίας καταπαύει
τε τὰ πνεύματα καὶ ἐξ ἀρχῆς γίνεσθαι κωλύει, τῇ μὲν μα-
ράνσει καταπαύων, τῷ δὲ τάχει [o] τῆς ξηρότητος γίνεσθαι
κωλύων· διὸ περὶ Ὠρίωνος ἀνατολὴν μάλιστα γίνεται νηνε-
3 μία, καὶ μέχρι τῶν ἐτησίων καὶ [p] προδρόμων. Ὅλως δὲ
γίγνονται [q] αἱ νηνεμίαι διὰ δύ' αἰτίας· ἢ [r] γὰρ διὰ ψῦχος
ἀποσβεννυμένης τῆς ἀναθυμιάσεως, οἷον ὅταν [s] γένηται πάγος
ἰσχυρός, ἢ καταμαραινομένης ὑπὸ τοῦ πνίγους. Αἱ δὲ πλεῖ-
σται [t] καὶ ἐν ταῖς ἀνὰ μέσον ὥραις, ἢ τῷ μήπω ἀναθυμιᾶ-
σθαι, ἢ τῷ [v] ἤδη ἐξεληλυθέναι τὴν ἀναθυμίασιν καὶ ἄλλην
4 μήπω ἐπιρρεῖν. Ἄκριτος δὲ καὶ χαλεπὸς ὁ Ὠρίων εἶναι
δοκεῖ, καὶ δύνων καὶ ἐπιτέλλων, διὰ τὸ ἐν μεταβολῇ ὥρας
συμβαίνειν τὴν δύσιν καὶ τὴν ἀνατολήν, θέρους ἢ χειμῶνος,
καὶ διὰ τὸ μέγεθος τοῦ ἄστρου [w] ἡμερῶν γίνεταί [x] τι πλῆ-
θος· αἱ δὲ μεταβολαὶ πάντων ταραχώδεις διὰ τὴν ἀοριστίαν
5 εἰσίν. Οἱ δ' ἐτησίαι πνέουσι μετὰ τροπὰς καὶ κυνὸς ἐπιτο-
λήν, καὶ οὔτε τηνικαῦτα ὅτε [y] πλησιάζει μάλιστα ὁ ἥλιος,
οὔτε ὅτε πόρρω· καὶ τὰς μὲν ἡμέρας πνέουσι, τὰς δὲ νύκτας
6 παύονται. Αἴτιον δ' ὅτι πλησίον μὲν [z] ὢν φθάνει ξηραίνων
πρὶν γενέσθαι τὴν ἀναθυμίασιν· ὅταν δ' ἀπέλθῃ μικρόν,
σύμμετρος ἤδη γίνεται [a] ἡ ἀναθυμίασις καὶ ἡ θερμότης, ὥστε
τὰ πεπηγότα ὕδατα τήκεσθαι, καὶ τῆς γῆς ξηραινομένης
ὑπό τε τῆς οἰκείας θερμότητος καὶ ὑπὸ τῆς τοῦ ἡλίου οἷον
7 τύφεσθαι καὶ θυμιᾶσθαι. Τῆς δὲ νυκτὸς [b] λωφῶσι διὰ τὸ
τὰ πεπηγότα τηκόμενα παύεσθαι διὰ τὴν ψυχρότητα τῶν
νυκτῶν. Θυμιᾶται δ' οὔτε τὸ πεπηγὸς οὔτε τὸ μηθὲν ἔχον

[k] πέσῃ F. [l] ποιήσει H.N. [m] κατακαφθὲν N. [n] αἰτίας καὶ παύει τὰ F. [o] τῆς om. E. [p] προδρομίων N. [q] αἱ om. E. [r] γὰρ om. F. [s] γίγνηται F. [t] καὶ αἱ ἐν F. [v] ἤδη om. E. [w] ἡμερῶν] κακῶν N. [x] τι om. F.N. [y] μάλιστα πλησιάζει F.H.N. [z] ὢν μᾶλλον φθάνει F. [a] ἡ ἀναθυμίασις καὶ om. E. [b] λοφῶσι διὰ τὰ π. N.

ξηρόν, ἀλλ' [c]ὅταν ἔχῃ τὸ ξηρὸν ὑγρότητα, τοῦτο θερμαινό-
μενον θυμιᾶται. Ἀποροῦσι δέ τινες διὰ τί βορέαι [d]μὲν 8
γίνονται συνεχεῖς, οὓς καλοῦμεν ἐτησίας, μετὰ τὰς θερινὰς
τροπάς, νότοι δ' οὕτως οὐ γίνονται μετὰ τὰς χειμερινάς.
Ἔχει δ' οὐκ ἀλόγως· γίνονται μὲν γὰρ οἱ καλούμενοι λευ-
κόνοτοι τὴν ἀντικειμένην ὥραν, οὐχ οὕτως δὲ γίγνονται συν-
εχεῖς, διὸ λανθάνοντες ποιοῦσιν ἐπιζητεῖν. Αἴτιον δ' ὅτι ὁ 9
μὲν βορέας ἀπὸ τῶν ὑπὸ τὴν ἄρκτον πνεῖ τόπων, οἳ πλήρεις
ὕδατος καὶ χιόνος εἰσὶ πολλῆς, ὧν τηκομένων ὑπὸ τοῦ ἡλίου
μετὰ τὰς θερινὰς τροπὰς μᾶλλον ἢ [e]ἐπ' αὐταῖς πνέουσιν οἱ
ἐτησίαι· οὕτω γὰρ καὶ τὰ πνίγη γίνεται, οὐχ ὅταν μάλιστα
πλησιάζῃ πρὸς ἄρκτον, ἀλλ' [f]ὅταν πλείων μὲν ᾖ [g]χρόνος
θερμαίνοντι, ἔτι δ' [h]ἐγγύς. Ὁμοίως δὲ καὶ μετὰ [i]τὰς χει- 10
μερινὰς τροπὰς πνέουσιν οἱ ὀρνιθίαι· καὶ γὰρ οὗτοι ἐτησίαι
εἰσὶν ἀσθενεῖς· ἐλάττους δὲ καὶ ὀψιαίτεροι τῶν ἐτησίων
[k]πνέουσιν· ἑβδομηκοστῇ γὰρ ἄρχονται πνεῖν διὰ τὸ πόρρω
ὄντα τὸν ἥλιον ἐνισχύειν ἧττον. Οὐ συνεχεῖς δ' ὁμοίως
πνέουσι, διότι τὰ μὲν ἐπιπολῆς καὶ ἀσθενῆ τότε ἀποκρίνεται,
τὰ δὲ μᾶλλον πεπηγότα [l]πλείονος δεῖται θερμότητος. Διὸ 11
διαλείποντες οὗτοι πνέουσιν, ἕως ἂν ἐπὶ τροπαῖς [m]πάλιν
[n]ταῖς θεριναῖς πνέωσιν [p]οἱ ἐτησίαι, ἐπεὶ θέλει γ' ὅτι μά-
λιστα συνεχῶς ἐντεῦθεν [q]ἀεὶ πνεῖν ἄνεμος. Ὁ δὲ νότος
ἀπὸ τῆς θερινῆς τροπῆς πνεῖ, καὶ οὐκ ἀπὸ τῆς ἑτέρας ἄρκτου.
Δύο γὰρ ὄντων τμημάτων τῆς δυνατῆς οἰκεῖσθαι χώρας, τῆς 12
μὲν πρὸς τὸν ἄνω πόλον [r]τὸν καθ' ἡμᾶς, τῆς δὲ πρὸς τὸν
ἕτερον καὶ πρὸς μεσημβρίαν, [s]καὶ οὔσης οἷον τυμπάνου· τοι-
οῦτον γὰρ σχῆμα τῆς γῆς ἐκτέμνουσιν αἱ ἐκ τοῦ κέντρου αὐ-
τῆς ἀγόμεναι [t]γραμμαί, καὶ ποιοῦσι δύο κώνους, τὸν μὲν

[c] ὅτε ἔχει N. ἔχῃ post ξηρὸν E. [d] μὲν ante βορέαι F, om. N. [e] ἐν F.H.N. [f] ὁπόταν μὲν πλείονα χρόνον θερμαίνηται F. [g] χιόνος pr. N. [h] ἐγγὺς ᾖ. ὁμοίως F. [i] τὰς om. E.H.N. [k] πνέουσιν—ἄρχονται om. pr. E. [l] πολλῆς F. [m] πάλιν] μᾶλλον N. [n] ταῖς om. E. πνεύσωσι ταῖς θεριναῖς F.H.N. [p] οἱ ἐτησίαι om. N. et pr. F.H. [q] πνεῖν ἄνεμος ἀεί F. [r] τὸν post πόλον om. E.F.H.N. [s] καὶ om. N. [t] γραμμαὶ om. N. et pr. F.

*ἔχοντα βάσιν τὸν τροπικόν, τὸν δὲ [v] τὸν διὰ παντὸς φανερόν,
τὴν δὲ κορυφὴν ἐπὶ τοῦ μέσου τῆς γῆς· τὸν [w] αὐτὸν δὲ τρό-
πον πρὸς τὸν κάτω πόλον ἕτεροι δύο κῶνοι τῆς γῆς ἐκτμή-
13 ματα ποιοῦσιν. Ταῦτα δ' οἰκεῖσθαι μόνα [x] δυνατά, καὶ οὔτ'
ἐπέκεινα [y] τῶν τροπῶν· σκιὰ γὰρ οὐκ ἂν ἦν πρὸς ἄρκτον, νῦν
δ' ἀοίκητοι πρότερον γίγνονται οἱ τόποι πρὶν ἢ [z] ὑπολείπειν
ἢ μεταβάλλειν τὴν σκιὰν πρὸς μεσημβρίαν· τά [a] θ' ὑπὸ τὴν
14 ἄρκτον ὑπὸ ψύχους ἀοίκητα. Φέρεται δὲ καὶ [b] ὁ στέφανος
κατὰ τοῦτον τὸν [c] τόπον· φαίνεται γὰρ ὑπὲρ κεφαλῆς γινό-
μενος ἡμῖν, ὅταν ᾖ κατὰ τὸν μεσημβρινόν. Διὸ καὶ γελοίως
γράφουσι νῦν τὰς περιόδους τῆς γῆς· γράφουσι γὰρ κυκλο-
τερῆ τὴν οἰκουμένην, τοῦτο δ' ἐστὶν ἀδύνατον [d] κατά τε τὰ
15 φαινόμενα καὶ κατὰ τὸν λόγον. Ὅ τε γὰρ λόγος δείκνυσιν
ὅτι ἐπὶ πλάτος μὲν ὥρισται, τὸ δὲ κύκλῳ [e] συνάπτειν ἐνδέ-
χεται διὰ τὴν [f] κρᾶσιν (οὐ γὰρ [g] ὑπερβάλλει τὰ καύματα καὶ
τὸ ψῦχος [h] κατὰ μῆκος, ἀλλ' ἐπὶ πλάτος, ὥστ' εἰ [i] μή που
κωλύει θαλάττης πλῆθος, [k] ἅπαν εἶναι [l] πορεύσιμον) καὶ κατὰ
τὰ φαινόμενα περί τε τοὺς πλοῦς καὶ τὰς πορείας· πολὺ
16 γὰρ τὸ μῆκος διαφέρει τοῦ πλάτους. Τὸ γὰρ ἀπὸ Ἡρα-
κλείων στηλῶν μέχρι τῆς Ἰνδικῆς τοῦ ἐξ Αἰθιοπίας πρὸς
τὴν Μαιῶτιν καὶ τοὺς [m] ἐσχατεύοντας τῆς Σκυθίας τόπους
[n] πλέον ἢ πέντε [o] πρὸς τρία τὸ μέγεθός ἐστιν, [p] ἐάν τις τούς
[q] τε πλοῦς λογίζηται καὶ τὰς ὁδούς, ὡς [r] ἐνδέχεται λαμβά-
17 νειν τῶν τοιούτων τὰς ἀκριβείας. Καίτοι ἐπὶ [s] πλάτους μὲν
μέχρι τῶν ἀοικήτων ἴσμεν τὴν οἰκουμένην· ἔνθα [t] μὲν γὰρ
διὰ ψῦχος οὐκέτι κατοικοῦσιν, ἔνθα δὲ διὰ τὴν ἀλέαν. Τὰ
δὲ τῆς Ἰνδικῆς ἔξω καὶ τῶν στηλῶν τῶν Ἡρακλείων διὰ τὴν
θάλατταν οὐ φαίνεται συνείρειν, τῷ συνεχῶς εἶναι [v] πᾶσαν*

[v] *τὸν* om. F. [w] *δ' αὐτὸν τρόπον καὶ πρὸς* F. [x] *δυνατόν* F.H.N. [y] *τῶν* om. E. [z] *ὑπολιπεῖν* H.N. [a] *δ'* E. [b] *ὁ* om. E. [c] *τρόπον* E. [d] *κατά τε*] *κατά γε* F. [e] *συνάπτειν οὐκ ἐνδ.* E. [f] *κρᾶσιν*] *ἀκρᾶ* N. [g] *ὑποβάλλει* E. [h] *κατὰ*] *καὶ τὸ* N. [i] *μήπω* F. [k] *ἅπαν* corr. N. [l] *πορεύσιμα* N. [m] *ἐσχάτους ὄντας* E. [n] *πλεῖον* F.N. [o] *πρὸς τὰ τρία* F. [p] *ἄν γε τις* H.N. [q] *τε* om. N. [r] *δέχεται* N. [s] *πλάτος* E.N. [t] *μὲν* om. N. [v] *πᾶσαν τὴν οἰκ.* N.

*οἰκουμένην. Ἐπεὶ δ' ὁμοίως ἔχειν ἀνάγκη τόπον τινὰ πρὸς* 18
*τὸν ἕτερον πόλον* [w] *ὥσπερ ὃν ἡμεῖς οἰκοῦμεν πρὸς τὸν ὑπὲρ*
*ἡμῶν, δῆλον* [x] *ὡς ἀνάλογον ἕξει τά* [y] *τ' ἄλλα καὶ τῶν πνευ-*
*μάτων* [z] *ἡ στάσις· ὥστε καθάπερ ἐνταῦθα βορέας ἐστί, κἀκεί-*
*νοις ἀπὸ τῆς ἐκεῖ ἄρκτου τις ἄνεμος* [a] *οὕτως* [b] *ὤν, ὃν* [c] *οὐθὲν*
*δυνατὸν* [d] *διήκειν δεῦρο, ἐπεὶ οὐδ' ὁ βορέας* [e] *οὗτος εἰς τὴν*
*ἐνταῦθα οἰκουμένην* [f] *πᾶσάν* [g] *ἐστιν· ἔστι γὰρ ὥσπερ ἀπό-*
*γειον τὸ πνεῦμα τὸ βόρειον,* [h] *ἕως ὁ βορέας* [i] *οὗτος εἰς τὴν*
*ἐνταῦθα οἰκουμένην πνεῖ. Ἀλλὰ διὰ τὸ τὴν οἴκησιν κεῖσθαι* 19
*ταύτην πρὸς ἄρκτον, πλεῖστοι βορέαι πνέουσιν. Ὅμως*
*δὲ καὶ ἐνταῦθα* [k] *ἐλλείπει καὶ οὐ δύναται πόρρω* [l] *διήκειν, ἐπεὶ*
*περὶ τὴν ἔξω Λιβύης* [m] *θάλατταν τὴν νοτίαν, ὥσπερ ἐνταῦθα*
*οἱ βορέαι καὶ οἱ νότοι πνέουσιν, οὕτως* [n] *ἐκεῖ εὖροι καὶ ζέ-*
*φυροι διαδεχόμενοι συνεχεῖς ἀεὶ πνέουσιν. Ὅτι μὲν* [o] *οὖν* 20
*νότος οὐκ ἔστιν ὁ ἀπὸ τοῦ ἑτέρου πόλου πνέων ἄνεμος, δῆ-*
*λον. Ἐπεὶ* [p] *δ' οὔτ' ἐκεῖνος οὔθ' ὁ ἀπὸ χειμερινῆς τροπῆς·*
*δέοι γὰρ ἂν* [q] *ἄλλον* [r] *ἀπὸ θερινῆς εἶναι τροπῆς· οὕτω γὰρ*
*τὸ ἀνάλογον ἀποδώσει. Νῦν δ' οὐκ ἔστιν· εἷς γὰρ μόνος*
*φαίνεται πνέων ἐκ τῶν ἐκεῖθεν τόπων. Ὥστ' ἀνάγκη τὸν* 21
*ἀπὸ τοῦ* [s] *κατακεκαυμένου τόπου πνέοντα ἄνεμον εἶναι νότον.*
*Ἐκεῖνος δ' ὁ τόπος διὰ τὴν τοῦ ἡλίου γειτνίασιν οὐκ ἔχει*
*ὕδατα καὶ νομάς, αἳ διὰ τὴν* [t] *πῆξιν* [v] *ποιήσουσιν ἐτησίας.*
*Ἀλλὰ διὰ* [w] *τὸ τὸν τόπον* [x] *εἶναι πολὺ πλείω ἐκεῖνον καὶ* 22
*ἀναπεπταμένον, μείζων* [y] *καὶ πλείων καὶ μᾶλλον ἀλεεινὸς ἄνε-*
*μος ὁ νότος ἐστὶ τοῦ βορέου, καὶ διήκει μᾶλλον δεῦρο ἢ οὗτος*
*ἐκεῖ. Τίς μὲν* [z] *οὖν αἰτία τούτων ἐστὶ τῶν ἀνέμων, καὶ πῶς*
*ἔχουσι πρὸς ἀλλήλους, εἴρηται.*

[w] *ὥσπερ*] *ἔτι περ* N. [x] *ὡς*] *ἔτι* N. [y] *τ'* om. N. [z] *ἡ σύστασις* H.N. [a] *οὗτος* N. [b] *ὢν* om. E. [c] *οὐ* F. [d] *διέχειν* E.H, *διϊκνεῖσθαι* N. [e] *οὗτος*] *ὁ αὐτὸς* F.N. [f] *πᾶσαν* om. F. [g] *ἐστιν* om. E. [h] *ἕως—πνεῖ* margo E.H. [i] *οὗτος* om. margo E. [k] *ἐλλείπειν* E. [l] *διέχειν* E. [m] *θάλασσαν* E. [n] *ἐκεῖ* om. E. [o] *οὖν ὁ νότος* F.H.N. [p] *δ'* om. E. [q] *ἄλλο* N. [r] *εἶναι ἀπὸ θερινῆς* F. [s] *κεκαυμένου* F.N. [t] *τῆξιν* N. et corr. E. [v] *ποιοῦσιν* H.N. [w] *τὸ* om. F. [x] *πολὺ εἶναι* F. [y] *καὶ πλείων* om. E. [z] *οὖν ἡ αἰτία* N.

6 Περὶ [a] δὲ θέσεως αὐτῶν, καὶ τίνες ἐναντίοι [b] τίσι, καὶ ποίους
ἅμα πνεῖν ἐνδέχεται καὶ ποίους οὔ, ἔτι [c] δὲ τίνες καὶ πόσοι
τυγχάνουσιν ὄντες, καὶ [d] πρὸς τούτοις περὶ τῶν ἄλλων [e] πα-
θημάτων ὅσα μὴ συμβέβηκεν ἐν τοῖς προβλήμασιν εἰρῆσθαι
τοῖς κατὰ μέρος, νῦν λέγωμεν. Δεῖ δὲ περὶ τῆς θέσεως
2 ἅμα τοὺς λόγους ἐκ τῆς ὑπογραφῆς θεωρεῖν. Γέγραπται
μὲν οὖν, τοῦ μᾶλλον εὐσήμως ἔχειν, ὁ τοῦ ὁρίζοντος κύκλος·
διὸ καὶ στρογγύλος. Δεῖ δὲ νοεῖν [f] αὐτοῦ τὸ ἕτερον ἔκτμημα
[g] τὸ ὑφ' ἡμῶν οἰκούμενον· ἔσται γὰρ [h] κἀκεῖνο διελεῖν τὸν
3 αὐτὸν τρόπον. Ὑποκείσθω δὲ [i] πρῶτον ἐναντία [k] κατὰ τό-
πον εἶναι τὰ πλεῖστον ἀπέχοντα κατὰ τόπον, ὥσπερ κατ'
εἶδος ἐναντία τὰ πλεῖστον ἀπέχοντα κατὰ τὸ εἶδος. Πλεῖ-
στον δ' ἀπέχει κατὰ τόπον τὰ κείμενα πρὸς ἄλληλα κατὰ
διάμετρον. Ἔστω οὖν τὸ μὲν ἐφ' ᾧ Α δυσμὴ ἰσημερινή,
ἐναντίος δὲ [l] τούτῳ τόπος, ἐφ' [m] οὗ [n] τὸ Β, ἀνατολὴ ἰσημε-
4 ρινή. Ἄλλη δὲ διάμετρος ταύτην πρὸς ὀρθὴν τέμνουσα, ἧς
[o] τὸ ἐφ' οὗ Η, [p] ἔστω ἄρκτος· τούτῳ δ' [q] ἐναντίον ἐξ ἐναν-
τίας, τὸ ἐφ' οὗ Θ, μεσημβρία· τὸ δ' ἐφ' οὗ Ζ ἀνατολὴ θε-
ρινή, [r] τὸ δ' ἐφ' οὗ Ε δυσμὴ θερινή, τὸ δ' ἐφ' οὗ Δ ἀνατολὴ
5 χειμερινή, τὸ δ' ἐφ' οὗ Γ δυσμὴ χειμερινή. Ἀπὸ δὲ τοῦ Ζ
ἤχθω διάμετρος ἐπὶ τὸ Γ καὶ ἀπὸ τοῦ Δ ἐπὶ τὸ Ε. Ἐπεὶ
οὖν τὰ μὲν πλεῖστον ἀπέχοντα κατὰ τόπον [s] ἐναντία κατὰ
τόπον, πλεῖστον δ' [t] ἀπέχει τὰ κατὰ διάμετρον, ἀναγκαῖον
καὶ τῶν πνευμάτων ταῦτα ἀλλήλοις ἐναντία εἶναι, ὅσα κατὰ
6 διάμετρόν ἐστιν. Καλεῖται δὲ κατὰ τὴν θέσιν τῶν [v] τόπων
τὰ πνεύματα ὧδε, ζέφυρος μὲν τὸ ἀπὸ τοῦ Α· τοῦτο γὰρ
δυσμὴ ἰσημερινή. Ἐναντίος δὲ τούτῳ ἀπηλιώτης ἀπὸ τοῦ Β·
τοῦτο γὰρ ἀνατολὴ ἰσημερινή. Βορέας δὲ [w] καὶ ἀπαρκτίας

[a] δὲ om. E. [b] τίσι] εἰσὶ H.N, om. F. [c] δὲ] δὲ καὶ F.N. [d] πρὸς om. E. [e] μαθημάτων N. [f] αὐτὸν H.N. [g] τὸ ὑφ' ἡμῶν οἰκούμενον margo F. [h] διελεῖν κἀκεῖνο N. [i] πρῶτον μὲν ἐναντία F.H.N. [k] εἶναι κατὰ τόπον F. [l] τούτου F. [m] ᾧ F. [n] τὸ om. F.H.N. [o] τὸ μὲν ἐφ' N. [p] ἄρκτος ἔστω F.N. [q] ἐναντία N. [r] τὸ δ' ἐφ' οὗ Ε —χειμερινὴ margo F. [s] ἐναντία κατὰ τόπον om. N. [t] ἐπέχει F. [v] τόπων καὶ τὰ H.N. [w] καὶ om. E.H.N. et pr. F.

ἀπὸ τοῦ Η· ἐνταῦθα γὰρ ἡ ἄρκτος. Ἐναντίος δὲ τούτῳ 7
νότος ἀπὸ τοῦ Θ· μεσημβρία τε γὰρ αὕτη ἀφ' ἧς πνεῖ, καὶ
τὸ Θ τῷ Η ἐναντίον· κατὰ διάμετρον γάρ. Ἀπὸ [x] δὲ τοῦ
Ζ καικίας· [y] αὕτη γὰρ ἀνατολὴ θερινή. Ἐναντίος δ' οὐχ ὁ
ἀπὸ τοῦ Ε πνέων, ἀλλ' [z] ὁ ἀπὸ τοῦ Γ λίψ· οὗτος γὰρ ἀπὸ
δυσμῆς χειμερινῆς [a] πνεῖ, ἐναντίος δὲ τούτῳ· κατὰ διάμετρον
γὰρ [b] κεῖται. [c] Ὁ δὲ ἀπὸ τοῦ Δ εὖρος· οὗτος γὰρ ἀπ' ἀνα- 8
τολῆς χειμερινῆς πνεῖ, γειτνιῶν τῷ νότῳ, διὸ καὶ πολλάκις
[d] εὐρόνοτοι λέγονται πνεῖν. Ἐναντίος δὲ τούτῳ οὐχ ὁ ἀπὸ
τοῦ Γ λίψ, ἀλλ' ὁ ἀπὸ τοῦ Ε, ὃν καλοῦσιν οἱ μὲν [e] ἀργέ-
στην, οἱ δ' [f] ὀλυμπίαν, οἱ δὲ [g] σκίρωνα· οὗτος γὰρ ἀπὸ δυ-
σμῆς θερινῆς πνεῖ, καὶ κατὰ διάμετρον αὐτῷ κεῖται μόνος. Οὗ- 9
τοι μὲν οὖν οἱ κατὰ διάμετρόν [h] τε κείμενοι ἄνεμοι, καὶ οἷς
εἰσὶν ἐναντίοι· ἕτεροι δ' εἰσὶ καθ' οὓς οὐκ ἔστιν ἐναντία πνεύ-
ματα. Ἀπὸ μὲν γὰρ τοῦ Ι ὃν καλοῦσι θρασκίαν· οὗτος γὰρ
μέσος [i] ἀργέστου καὶ ἀπαρκτίου· [k] ἀπὸ δὲ τοῦ [l] Κ ὃν καλοῦσι
μέσην· οὗτος γὰρ μέσος καικίου καὶ ἀπαρκτίου. Ἡ δὲ τοῦ
ΙΚ διάμετρος βούλεται μὲν κατὰ τὸν διὰ παντὸς εἶναι φαι-
νόμενον, οὐκ ἀκριβοῖ δέ. Ἐναντία δὲ τούτοις οὐκ ἔστι τοῖς 10
πνεύμασιν, [m] οὔτε τῷ θρασκίᾳ, [n] οὔτε τῷ μέσῃ (ἔπνει γὰρ ἂν
τις ἐφ' οὗ τὸ Μ· τοῦτο γὰρ κατὰ διάμετρον), οὔτε τῷ Ι,
[o] τῷ θρασκίᾳ· [p] ἔπνει γὰρ ἂν ἀπὸ τοῦ Ν· τοῦτο γὰρ κατὰ
διάμετρον τὸ σημεῖον, εἰ μὴ [q] ἀπ' αὐτοῦ καὶ ἐπ' ὀλίγον [r] πνεῖ
τις ἄνεμος, ὃν καλοῦσιν οἱ περὶ τὸν τόπον ἐκεῖνον φοινικίαν.
Τὰ μὲν οὖν κυριώτατα καὶ διωρισμένα πνεύματα ταῦτ' ἐστὶ 11
καὶ τοῦτον τέτακται τὸν τρόπον· [s] τοῦ δ' εἶναι πλείους ἀνέ-
μους ἀπὸ τῶν πρὸς ἄρκτον τόπων ἢ τῶν [t] πρὸς μεσημβρίαν
αἴτιον τό τε τὴν οἰκουμένην [v] ὑποκεῖσθαι πρὸς τοῦτον τὸν

[x] δὲ om. F. [y] αὕτη om. E. [z] ὁ om. F. [a] πνεῖ om. F.H.N. [b] κεῖται om. F. [c] ἀπὸ δὲ, omisso ὁ, F.H.N. [d] εὐρόνοτοι πνέουσιν· οὕτω γὰρ λ. F. [e] ἀργέτην N, ἀργέτα (supra posito ἀργέστην) F. [f] ὀλύμπιον H.N. [g] σκείρωνα F. [h] τε om. F.N. [i] ἀρχέτου N. [k] ἀπὸ δὲ—ἀπαρκτίου margo F. [l] Κ] η N. [m] οὔτε τῷ θρασκίᾳ om. N, in margine ponunt F.H. [n] οὐδὲ N. [o] τῷ post I om. E. [p] ἔπνει γὰρ ἂν om. E. [q] ἀπ' αὐτοῦ] ἐνταῦθα F. [r] τις πνεῖ F, ἔστι τις E. [s] τοῦ] τὸ F, οὐ N. [t] πρὸς om. E. [v] προσκεῖσθαι pr. N.

*τόπον, καὶ ὅτι πολλῷ πλεῖον ὕδωρ καὶ χιὼν ἀπωθεῖται εἰς*
*[w] τοῦτο τὸ μέρος διὰ τὸ ἐκεῖν' ὑπὸ τὸν ἥλιον εἶναι καὶ τὴν*
*ἐκείνου φοράν, ὧν τηκομένων εἰς τὴν γῆν [x] καὶ θερμαινομένων*
*ὑπὸ τοῦ ἡλίου καὶ [y] τῆς γῆς ἀναγκαῖον πλείω καὶ ἐπὶ πλείω*
*τόπον γίγνεσθαι τὴν ἀναθυμίασιν διὰ ταύτην τὴν αἰτίαν.*
12 *Ἔστι δὲ τῶν εἰρημένων [z] πνευμάτων βορέας μὲν ὅ τ' ἀπαρ-*
*κτίας κυριώτατα, [a] καὶ θρασκίας [b] κοινὸς ἀργέστου [c] καὶ μέσου·*
*[d] ὁ δὲ καικίας κοινὸς ἀπηλιώτου καὶ βορέου· νότος δ' ὅ τε*
*ἰθαγενὴς ὁ ἀπὸ μεσημβρίας καὶ λίψ· ἀπηλιώτης δὲ ὅ τε ἀπ'*
*ἀνατολῆς ἰσημερινῆς καὶ ὁ εὖρος· ὁ δὲ φοινικίας κοινός· ζέ-*
*φυρος δ' ὅ τε ἰθαγενὴς καὶ ὁ [e] ἀργέστης καλούμενος. Ὅλως*
13 *δὲ τὰ μὲν [f] βόρεια τούτων καλεῖται, τὰ δὲ νότια. Προστί-*
*θεται δὲ τὰ μὲν ζεφυρικὰ τῷ βορέᾳ (ψυχρότερα γὰρ διὰ τὸ*
*ἀπὸ δυσμῶν πνεῖν), [g] νότῳ δὲ τὰ ἀπηλιωτικά (θερμότερα γὰρ*
*[h] τῷ ἀπ' ἀνατολῆς πνεῖν). Διωρισμένων οὖν [i] τῷ ψυχρῷ*
*καὶ τῷ θερμῷ [k] καὶ ἀλεεινῷ τῶν πνευμάτων οὕτως ἐκάλεσαν.*
14 *Θερμότερα [l] δὲ [m] τὰ ἀπὸ τῆς ἕω τῶν ἀπὸ δυσμῆς, ὅτι [n] πλείω*
*χρόνον ὑπὸ τὸν ἥλιόν ἐστι τὰ ἀπ' ἀνατολῆς· [o] τὰ δ' ἀπὸ*
*δυσμῆς ἀπολείπει τε θᾶττον καὶ πλησιάζει τῷ τόπῳ ὀψιαί-*
15 *τερον. Οὕτω δὲ τεταγμένων τῶν ἀνέμων, δῆλον ὅτι ἅμα*
*πνεῖν τοὺς μὲν ἐναντίους οὐχ οἷόν τε (κατὰ διάμετρον γάρ·*
*ἅτερος οὖν παύσεται ἀποβιασθείς), τοὺς δὲ μὴ οὕτω κειμέ-*
*νους πρὸς ἀλλήλους οὐθὲν κωλύει, οἷον τὸ Ζ καὶ Δ. Διὰ*
*[p] τοῦτο ἅμα πνέουσιν ἐνίοτε ἀμφότεροι [q] οὔριοι, ἐπὶ τὸ αὐτὸ*
16 *σημεῖον, οὐκ ἐκ [r] τοῦ αὐτοῦ οὐδὲ τῷ αὐτῷ πνεύματι. Κατὰ δὲ*
*[s] τὰς ὥρας τὰς ἐναντίας οἱ ἐναντίοι μάλιστα πνέουσιν, οἷον*
*περὶ ἰσημερίαν τὴν μὲν ἐαρινὴν καικίας καὶ ὅλως τὰ ἐπέκεινα*
*τροπῆς θερινῆς, περὶ δὲ τὴν μετοπωρινὴν λίβες, περὶ δὲ τρο-*

[w] *τοῦτεν τὸν τόπον* F. [x] *καὶ* post *γῆν* om. E. [y] *τὴν γῆν* F.H. [z] *πνευμ. κυριώτατος β.* N, omisso *κυριώτατα.* [a] *καὶ ὁ θρασκέας* F. [b] *κοινὸς ἀργέστου* om. E.H.N. [c] *καὶ μέσου—ἀπηλιώτου καὶ* margo F, omisso *κοινὸς.* [d] *ὁ* om. F. [e] *ἀργέτης* F. [f] *τούτων βόρεια* F. [g] *νότια δὲ* E, *τῷ δὲ νότῳ* F. [h] *τῷ ἀπ'*] *διὰ τὸ ἀπ'* F.H.N. [i] *τῷ θ. καὶ τῷ ψ.* H.N, *τῷ ψ. καὶ θ.* F. [k] *καὶ τῷ ἀλ.* N. [l] *δὲ*] *μὲν* F.H.N. [m] *τῶν ἀπὸ δυσμῆς τὰ ἀπὸ ἕω* F. [n] *πλείονα* H.N. [o] *τὰ δ'*] *τῶν δ'* E.F.H. [p] *τοῦτο καὶ ἅμα* F. [q] *εὖροι* N. [r] *ταυτοῦ* N. [s] *τὰς* om. F.

πὰς θερινὰς μὲν ζέφυρος, [t]χειμερινὰς δ᾽ εὖρος. [v]Ἐπιπίπτουσι 17
δὲ [w]τοῖς ἄλλοις μάλιστα καὶ παύουσιν ἀπαρκτίαι καὶ θρα-
σκίαι καὶ [x]ἀργέσται· διὰ τὸ ἐγγυτάτω γὰρ τὴν ὁρμὴν αὐ-
τῶν εἶναι [y]πολλοί τε καὶ ἰσχυροὶ [z]πνέουσι μάλιστα οὗτοι.
Διὸ καὶ αἰθριώτατοί εἰσι τῶν ἀνέμων· πνέοντες γὰρ ἐγγύθεν 18
[a]μάλιστα ἀποβιαζόμενοί τε [b]τἆλλα [c]πνεύματα παύουσι, καὶ
ἀποφυσῶντες τὰ συνιστάμενα νέφη ποιοῦσιν αἰθρίαν, [d]ἂν μὴ
ψυχροὶ σφόδρα [e]τύχωσιν ἅμα ὄντες. Τότε [f]δ᾽ οὐκ αἴθριοι·
[g]ἂν γὰρ ὦσι [h]μᾶλλον ψυχροὶ ἢ μεγάλοι, φθάνουσι πηγνύν-
τες ἢ [i]προωθοῦντες. Ὁ δὲ καικίας οὐκ αἴθριος, ὅτι ἀνακάμ- 19
πτει [k]εἰς αὐτόν· ὅθεν καὶ λέγεται ἡ παροιμία

ἕλκων [l]ἐφ᾽ αὐτὸν [m]ὥστε καικίας νέφος.

Αἱ δὲ περιστάσεις [n]γίνονται αὐτῶν καταπαυομένων εἰς τοὺς
ἐχομένους [o]κατὰ τὴν τοῦ ἡλίου μετάστασιν, διὰ τὸ κινεῖσθαι
μάλιστα τὸ ἐχόμενον τῆς ἀρχῆς. Ἡ δὲ ἀρχὴ οὕτω κινεῖται
τῶν πνευμάτων ὡς ὁ ἥλιος. Οἱ ἐναντίοι δ᾽ ἢ ταὐτὸ ποιοῦσιν 20
ἢ ἐναντίον, οἷον ὑγροὶ λὶψ καὶ καικίας, ὃν ἑλλησποντίαν ἔνιοι
καλοῦσι, καὶ εὖρος, [p]ὃν ἀπηλιώτην. Ξηροὶ δ᾽ [q]ἀργέστης
καὶ εὖρος· ἀπ᾽ ἀρχῆς δ᾽ οὗτος ξηρός, τελευτῶν δὲ ὑδατώδης.
Νιφετώδης δὲ μέσης καὶ ἀπαρκτίας μάλιστα· οὗτοι γὰρ ψυ-
χρότατοι. [r]Χαλαζώδης [s]δ᾽ ἀπαρκτίας καὶ θρασκίας καὶ
[q]ἀργέστης. [t]Καυματώδης δὲ νότος καὶ ζέφυρος καὶ εὖρος. 21
Νέφεσι δὲ πυκνοῦσι τὸν οὐρανὸν καικίας μὲν σφόδρα, λὶψ δ᾽
[v]ἀραιοτέροις, [w]καικίας μὲν διά τε τὸ ἀνακάμπτειν πρὸς αὐ-
τὸν καὶ διὰ τὸ κοινὸς εἶναι βορέου καὶ εὔρου, ὥστε διὰ μὲν τὸ
ψυχρὸς εἶναι πηγνὺς τὸν ἀτμίζοντα ἀέρα συνίστησι, διὰ δὲ
τὸ τῷ τόπῳ ἀπηλιωτικὸς εἶναι ἔχει πολλὴν ὕλην καὶ ἀτμίδα

t δὲ χειμερινὰς E. v πίπτουσι E. w μάλιστα τοῖς ἄλλοις N. x ἀρ-γέται N. y πολύ E. z μάλιστα πνέουσιν H.N. a μάλιστά τε ἀποβ. τε E. b ἄλλα H. c παύουσι πνεύματα F. d ἂν om. E. e ἅμα τύχωσιν F. f δ᾽] γὰρ H. g ἐὰν N. h ψυχροὶ μᾶλλον H i παρωθοῦντες N. k εἰς om. E. l πρὸς ἑαυτὸν H. m ὥσπερ F.H.N. n γίνονται μὲν αὐτῶν παυομένων H. o κατὰ—μετάστασιν ante καταπαυομένων N. p ὃν ἀπηλιώτην om. corr. F. q ἀργέτης F.N. r χαλαζώδεις N. s δ᾽ ὁ ἀπ. H. t καυματώδεις N. v ἀραιοτέρως F. w καὶ καικίας μ. H.

22 ῆν προωθεῖ. Αἴθριοι δὲ [x] ἀπαρκτίας, [y] θρασκίας, ἀργέστης·
ἡ δ' αἰτία εἴρηται πρότερον. [z] Ἀστραπαῖοι [a] δὲ μάλιστα
οὗτοί τε καὶ ὁ μέσης· διὰ μὲν γὰρ τὸ ἐγγύθεν πνεῖν ψυχροί
εἰσι, διὰ δὲ τὸ ψυχρὸν ἀστραπὴ γίνεται· ἐκκρίνεται γὰρ
συνιόντων τῶν νεφῶν. Διὸ καὶ ἔνιοι τῶν αὐτῶν τούτων χα-
23 λαζώδεις εἰσίν· ταχὺ γὰρ πηγνύουσιν. Ἐκνεφίαι δὲ γίνον-
ται μετοπώρου μὲν μάλιστα, εἶτ' ἔαρος, καὶ μάλιστα ἀπαρ-
κτίας καὶ θρασκίας καὶ [b] ἀργέστης. Αἴτιον δ' ὅτι [c] οἱ ἐκνε-
φίαι γίνονται μάλιστα [d] ὅταν ἄλλων ἐκπνεόντων [e] ἐμπίπτω-
σιν ἕτεροι, οὗτοι δὲ μάλιστα [f] ἐμπίπτουσι τοῖς ἄλλοις πνέου-
24 σιν· ἡ δ' αἰτία εἴρηται καὶ τούτου πρότερον. Οἱ δ' ἐτησίαι
περιίστανται τοῖς μὲν περὶ δυσμὰς οἰκοῦσιν ἐκ τῶν [g] ἀπαρ-
κτίων εἰς θρασκίας καὶ [h] ἀργέστας καὶ ζεφύρους (ὁ γὰρ
[i] ἀπαρκτίας ζέφυρός ἐστιν), ἀρχόμενοι μὲν ἀπὸ τῆς ἄρκτου,
τελευτῶντες δ' εἰς τοὺς πόρρω· τοῖς δὲ πρὸς ἕω περιίσταν-
ται μέχρι τοῦ ἀπηλιώτου. Περὶ μὲν οὖν ἀνέμων, [k] τῆς τε
ἐξ ἀρχῆς αὐτῶν γενέσεως καὶ οὐσίας καὶ τῶν συμβαινόν-
των [l] κοινῇ τε παθημάτων καὶ περὶ [m] ἕκαστον, τοσαῦθ' ἡμῖν
εἰρήσθω.

7 Περὶ δὲ σεισμοῦ καὶ κινήσεως γῆς μετὰ ταῦτα λεκτέον·
ἡ γὰρ αἰτία τοῦ πάθους ἐχομένη τούτου τοῦ γένους [n] ἐστίν.
Ἔστι δὲ τά [o] γε παρειλημμένα μέχρι τοῦ νῦν χρόνου τρία
καὶ παρὰ τριῶν. Ἀναξαγόρας [p] τε γὰρ ὁ Κλαζομένιος καὶ
[q] πρότερος Ἀναξιμένης ὁ Μιλήσιος ἀπεφήναντο, καὶ τούτων
2 [r] ὕστερος Δημόκριτος ὁ Ἀβδηρίτης. Ἀναξαγόρας μὲν οὖν
φησὶ τὸν αἰθέρα πεφυκότα φέρεσθαι ἄνω, ἐμπίπτοντα δ'
εἰς τὰ κάτω τῆς γῆς καὶ [s] τὰ κοῖλα κινεῖν αὐτήν· τὰ μὲν γὰρ

[x] ἀπ. καὶ θρ. καὶ ἀργ. F.H.N. [y] θρασκίας om. pr. E. [z] ἀστραπὰς δὲ ποιοῦσι μάλιστα H.N, ἀστραπὰς δὲ μάλιστα ποιοῦσιν F. [a] γε F. [b] ἀργέτης F.N. [c] οἱ om. F. [d] ὅταν τῶν ἄλλων πνεόντων F.H.N. [e] ἐπιπίπτωσιν E. [f] ἐπιπίπτουσι E. [g] ἀπαρκτικῶν E. [h] ἀργέτας F. [i] ἀρκτικὸς E. [k] τῆς τε] καὶ τῆς F, τῆς H.N. [l] κοινῇ καὶ καθ' ἕκαστον παθημάτων F. [m] ἕκαστα H.N. [n] ἐστίν om. E. [o] γε post μέχρι F.H.N. [p] τε] μὲν F, om. H.N. [q] πρότερον F.H.N. [r] ὕστερον H.N. [s] τὰ post καὶ om. F.H.N.

ἄνω [t] συναληλίφθαι διὰ τοὺς ὄμβρους, ἐπεὶ φύσει γε [v] πᾶσαν
ὁμοίως εἶναι σομφήν, ὡς ὄντος τοῦ μὲν ἄνω τοῦ δὲ κάτω τῆς
ὅλης σφαίρας, καὶ ἄνω μὲν τούτου ὄντος τοῦ μορίου ἐφ' οὗ
τυγχάνομεν οἰκοῦντες, κάτω δὲ θατέρου. Πρὸς μὲν οὖν 3
ταύτην τὴν αἰτίαν οὐθὲν ἴσως δεῖ λέγειν ὡς λίαν ἁπλῶς εἰρη-
μένην· τό τε γὰρ ἄνω [w] καὶ κάτω νομίζειν οὕτως ἔχειν ὥστε
μὴ [x] πρὸς τὴν γῆν [y] πάντῃ φέρεσθαι τὰ βάρος ἔχοντα τῶν
σωμάτων, ἄνω δὲ τὰ κοῦφα καὶ τὸ πῦρ, εὔηθες, καὶ ταῦθ'
[z] ὁρῶντας τὸν ὁρίζοντα τὴν οἰκουμένην, ὅσην ἡμεῖς ἴσμεν,
ἕτερον ἀεὶ γιγνόμενον μεθισταμένων, ὡς οὔσης κυρτῆς καὶ
σφαιροειδοῦς· καὶ τὸ λέγειν μὲν ὡς διὰ τὸ μέγεθος ἐπὶ τοῦ
ἀέρος μένει, σείεσθαι δὲ φάσκειν τυπτομένην [a] κάτωθεν ἄνω
δι' ὅλης. Πρὸς δὲ τούτοις οὐθὲν ἀποδίδωσι τῶν συμβαινόν- 4
των περὶ τοὺς σεισμούς· οὔτε γὰρ χῶραι οὔτε ὧραι αἱ τυ-
χοῦσαι μετέχουσι τούτου τοῦ πάθους. Δημόκριτος δέ φησι 5
πλήρη τὴν γῆν [b] ὕδατος οὖσαν, καὶ πολὺ δεχομένην ἕτερον
ὄμβριον ὕδωρ, ὑπὸ τούτου κινεῖσθαι· πλείονός τε γὰρ γινο-
μένου διὰ τὸ [c] μὴ δύνασθαι δέχεσθαι τὰς κοιλίας ἀποβιαζόμενον
ποιεῖν τὸν σεισμόν, καὶ ξηραινομένην [d] καὶ ἕλκουσαν εἰς τοὺς
κενοὺς τόπους ἐκ τῶν πληρεστέρων τὸ μεταβάλλον ἐμπῖπτον
κινεῖν. Ἀναξιμένης δέ φησι βρεχομένην τὴν γῆν καὶ ξηραι- 6
νομένην ῥήγνυσθαι, καὶ ὑπὸ [e] τούτων τῶν ἀπορρηγνυμένων κο-
λωνῶν ἐμπιπτόντων σείεσθαι· διὸ καὶ γίγνεσθαι τοὺς σεισμοὺς
ἔν τε τοῖς αὐχμοῖς καὶ πάλιν ἐν ταῖς [f] ὑπερομβρίαις· ἔν τε γὰρ
τοῖς αὐχμοῖς, ὥσπερ εἴρηται, ξηραινομένην ῥήγνυσθαι, καὶ ὑπὸ
τῶν ὑδάτων ὑπερυγραινομένην διαπίπτειν. [g] Ἔδει δὲ τούτου 7
συμβαίνοντος ὑπονοστοῦσαν [h] πολλαχοῦ φαίνεσθαι τὴν γῆν.
[i] Ἔτι δὲ διὰ τίν' αἰτίαν περὶ τόπους τινὰς πολλάκις γίνεται
[k] τοῦτο τὸ πάθος οὐδεμιᾷ διαφέροντας ὑπερβολῇ τοιαύτῃ παρὰ

[t] συναληλεῖφθαι F, συναλειλῆφθαι E, συναλλίφθαι N, συναναλίφθαι H. [v] ἅπασαν F.H.N. [w] καὶ τὸ κάτω F.H.N. [x] πρὸς μὲν τὴν H.N. [y] π. φ.] φέρεσθαι πάντα F, κάτω φέρεσθαι corr. E. [z] ὁρῶντες pr. H. [a] ἄνω κάτωθεν δι' ὅλης εὔηθες. πρὸς N. [b] ὕδατος om. N. [c] μὴ om. N. [d] καὶ om. E.F. [e] τῶν ἀπορρ. τούτων F. [f] ἐπομβρίαις F.H.N. [g] ἔδει corr. E. [h] πολλαχῇ F.H.N. [i] ὅτι N. [k] τοῦτο om. F.

8 τοὺς ἄλλους; καίτοι ἐχρῆν. Ὅλως δὲ τοῖς οὕτως ὑπολαμβά-
νουσιν ἀναγκαῖον ἧττον ἀεὶ τοὺς σεισμοὺς φάναι γίγνεσθαι,
καὶ τέλος [l] παύσασθαί ποτε σειομένην· τὸ γὰρ σαττόμενον
τοιαύτην ἔχει φύσιν. Ὥστ' εἰ τοῦτ' ἀδύνατον, δῆλον ὅτι
ἀδύνατον [m] καὶ ταύτην εἶναι τὴν αἰτίαν.

8 Ἀλλ' [n] ἐπειδὴ φανερὸν ὅτι ἀναγκαῖον καὶ ἀπὸ ὑγροῦ καὶ
ἀπὸ ξηροῦ γίγνεσθαι ἀναθυμίασιν, [o] ὥσπερ εἴπομεν ἐν τοῖς
[p] πρότερον, ἀνάγκη τούτων ὑπαρχόντων γίγνεσθαι [q] τοὺς
2 σεισμούς. Ὑπάρχει γὰρ ἡ γῆ καθ' αὐτὴν μὲν ξηρά, διὰ δὲ
τοὺς ὄμβρους ἔχουσα ἐν αὐτῇ νοτίδα πολλήν, ὥσθ' ὑπό [r] τε
τοῦ ἡλίου καὶ τοῦ ἐν αὐτῇ πυρὸς θερμαινομένης πολὺ μὲν
ἔξω πολὺ δ' ἐντὸς γίνεσθαι τὸ πνεῦμα· καὶ τοῦτο ὁτὲ μὲν
[s] συνεχὲς ἔξω ῥεῖ πᾶν, ὁτὲ δ' [t] εἴσω πᾶν, ἐνίοτε δὲ καὶ μερί-
3 ζεται. Εἰ δὴ τοῦτ' ἀδύνατον ἄλλως ἔχειν, τὸ μετὰ τοῦτο
σκεπτέον ἂν εἴη [v] ὁποῖον [w] κινητικώτατον [x] ἂν εἴη τῶν σωμά-
των· ἀνάγκη γὰρ τὸ ἐπὶ πλεῖστόν τε πεφυκὸς ἰέναι καὶ
4 σφοδρότατον μάλιστα τοιοῦτον εἶναι. Σφοδρότατον μὲν
οὖν ἐξ ἀνάγκης τὸ τάχιστα φερόμενον· τύπτει [y] γὰρ μά-
λιστα διὰ τὸ τάχος· ἐπὶ πλεῖστον δὲ πέφυκε διιέναι τὸ διὰ
παντὸς ἰέναι μάλιστα δυνάμενον, τοιοῦτον δὲ τὸ λεπτότα-
τον. Ὥστ' εἴπερ ἡ τοῦ πνεύματος φύσις τοιαύτη, μάλιστα
[z] τῶν σωμάτων [a] τὸ πνεῦμα κινητικόν· καὶ γὰρ τὸ πῦρ ὅταν
5 μετὰ πνεύματος ᾖ, γίγνεται φλὸξ καὶ φέρεται ταχέως. Οὐκ
ἂν οὖν ὕδωρ οὐδὲ γῆ αἴτιον εἴη, ἀλλὰ πνεῦμα τῆς κινήσεως,
ὅταν [b] ἔσω τύχῃ ῥυὲν τὸ ἔξω ἀναθυμιώμενον. Διὸ γίγνονται
νηνεμίᾳ οἱ πλεῖστοι καὶ μέγιστοι τῶν σεισμῶν· συνεχὴς γὰρ
οὖσα ἡ ἀναθυμίασις ἀκολουθεῖ ὡς ἐπὶ τὸ πολὺ τῇ ὁρμῇ τῆς
6 ἀρχῆς, ὥστε ἢ ἔσω ἅμα ἢ ἔξω [c] ὁρμᾷ πᾶσα. Τὸ δ' ἐνίους
[d] γίνεσθαι καὶ πνεύματος ὄντος οὐδὲν ἄλογον· ὁρῶμεν γὰρ
ἐνίοτε ἅμα πλείους πνέοντας ἀνέμους, ὧν ὅταν εἰς τὴν γῆν

[l] παύεσθαί F. [m] εἶναι καὶ ταύτην F.N. [n] ἐπεὶ N. [o] ὥσπερ—πρότερον om. E. [p] προτέροις N. [q] τοὺς om. F. [r] γε H.N. [s] συνεχῶς N. [t] εἴσω ῥεῖ πᾶν E. [v] ποῖον F.H.N. [w] κινητικὸν H. [x] ἂν εἴη] ἔσται H.N. [y] γὰρ] μὲν γὰρ F. [z] τῶν] ἀπὸ τῶν N. [a] τὸ πνεῦμα κινητικόν om. E. [b] εἴσω F.H.N. [c] ὁρμᾷ] ῥεῖ F. [d] γίγνεσθαι σεισμοὺς καὶ F.

ὁρμήσῃ [e] θάτερον, ἔσται [f] πνεύματος ὄντος [g] ὁ σεισμός.
Ἐλάττους δ' οὗτοι [h] τὸ μέγεθος γίγνονται διὰ τὸ διῃρῆσθαι
τὴν ἀρχὴν καὶ τὴν αἰτίαν αὐτῶν. [i] Καὶ νυκτὸς δ' οἱ πλείους 7
καὶ μείζους γίγνονται τῶν σεισμῶν, οἱ δὲ τῆς ἡμέρας περὶ
μεσημβρίαν· νηνεμώτατον γάρ ἐστιν ὡς ἐπὶ τὸ πολὺ τῆς
ἡμέρας ἡ μεσημβρία (ὁ γὰρ ἥλιος ὅταν μάλιστα [k] κρατῇ,
κατακλείει τὴν ἀναθυμίασιν εἰς τὴν γῆν· κρατεῖ δὲ μάλιστα
[l] περὶ τὴν μεσημβρίαν) καὶ αἱ νύκτες δὲ τῶν ἡμερῶν νηνεμώ-
τεραι διὰ τὴν ἀπουσίαν [m] τὴν τοῦ ἡλίου· ὥστ' [n] εἴσω γίγνε-
ται πάλιν ἡ ῥύσις, ὥσπερ ἄμπωτις, εἰς τοὐναντίον τῆς [o] ἔξω-
θεν πλημμυρίδος, καὶ πρὸς ὄρθρον μάλιστα· τηνικαῦτα γὰρ
καὶ τὰ πνεύματα πέφυκεν ἄρχεσθαι πνεῖν. [p] Ἐὰν οὖν εἴσω 8
τύχῃ μεταβάλλουσα ἡ ἀρχὴ αὐτῶν ὥσπερ Εὔριπος, διὰ τὸ
πλῆθος [q] ἰσχυρότερον ποιεῖ τὸν σεισμόν. Ἔτι δὲ περὶ
τόπους τοιούτους [r] οἱ [s] ἰσχυρότατοι γίνονται τῶν σεισμῶν,
ὅπου [t] ἡ [v] θάλασσα ῥοώδης ἢ ἡ χώρα σομφὴ καὶ ὕπαντρος.
Διὸ καὶ περὶ Ἑλλήσποντον καὶ περὶ Ἀχαΐαν καὶ Σικελίαν,
καὶ τῆς Εὐβοίας [w] περὶ τούτους [x] τοὺς τόπους· δοκεῖ γὰρ
[y] διαυλωνίζειν ὑπὸ τὴν γῆν ἡ θάλαττα. Διὸ καὶ τὰ θερμὰ 9
τὰ περὶ [z] Αἴδεψον [a] ἀπὸ τοιαύτης αἰτίας γέγονεν. Περὶ δὲ
τοὺς εἰρημένους τόπους οἱ σεισμοὶ γίνονται μάλιστα διὰ
[b] τὴν στενότητα· τὸ γὰρ [c] πνεῦμα γινόμενον σφοδρὸν [d] διὰ
τὸ πλῆθος τῆς θαλάττης πολλῆς προσφερομένης ἀπωθεῖται
πάλιν εἰς τὴν γῆν, τό [e] γε πεφυκὸς ἀποπνεῖν [f] ἀπὸ τῆς γῆς.
Αἵ τε χῶραι ὅσαι σομφοὺς ἔχουσι τοὺς κάτω τόπους, πολὺ 10
δεχόμεναι πνεῦμα σείονται [g] μᾶλλον. Καὶ ἔαρος δὲ καὶ με-
τοπώρου [h] μάλιστα καὶ ἐν ἐπομβρίαις [i] καὶ αὐχμοῖς γίνονται

[e] θάτερος N. [f] ὄντος πνεύματος H.N. [g] ὁ om. E. [h] τῷ μεγέθει F. [i] καὶ νυκτὸς] νυκτὸς δ' F.H.N. [k] κρατεῖ F. [l] πρὸς N. [m] τὴν om. F.N. [n] ἔσω F.H.N. [o] ἔξω H.N. [p] ἂν N. [q] ἰσχυρὸν F. [r] οἱ om. F. [s] ἰσχυρότεροι H.N. [t] ἡ—ἡ om. F.N. [v] θάλαττα N. [w] περὶ] καὶ περὶ F. [x] τοὺς om. F. [y] ἡ θάλασσα διαυλωνίζειν ὑπὸ τὴν γῆν F. [z] ἔδεψον E.H, ἔδηψον F.N. [a] ἀπὸ τῆς τοιαύτης F. [b] τὴν om. H.N. [c] πνεῦμα] ῥεῦμα E. et rc. F. [d] διὰ] καὶ διὰ E.H.N. [e] γε om. E.F.N. [f] ἀπὸ] ἐκ F.H.N. [g] μάλιστα F. [h] μάλιστα] πάλιν F. [i] καὶ ἐν αὐχμοῖς H.N.

διὰ τὴν αὐτὴν αἰτίαν· [k]αἵ γὰρ ὧραι αὗται [l]πνευματωδέστα-
ται· τὸ γὰρ θέρος καὶ ὁ [m]χειμών, [n]τὸ μὲν διὰ τὸν πάγον,
τὸ δὲ διὰ τὴν ἀλέαν ποιεῖ τὴν ἀκινησίαν· [o]τὸ μὲν γὰρ ἄγαν
11 ψυχρόν, τὸ δ' [p]ἄγαν ξηρόν ἐστιν. Καὶ ἐν μὲν τοῖς αὐχμοῖς
πνευματώδης [q]ὁ ἀήρ· τοῦτο γὰρ αὐτό ἐστιν ὁ αὐχμός, ὅταν
πλείων ἡ ἀναθυμίασις ἡ ξηρὰ [r]γίγνηται τῆς ὑγρᾶς· ἐν δὲ
ταῖς [s]ὑπερομβρίαις πλείω τε ποιεῖ τὴν ἐντὸς ἀναθυμίασιν,
καὶ τῷ ἐναπολαμβάνεσθαι [t]ἐν στενωτέροις τόποις καὶ ἀποβιά-
ζεσθαι εἰς ἐλάττω τόπον τὴν τοιαύτην ἀπόκρισιν, πληρου-
μένων τῶν κοιλιῶν ὕδατος, ὅταν ἄρξηται [v]κρατεῖν διὰ τὸ
[w]πολὺ εἰς ὀλίγον πιληθῆναι τόπον, ἰσχυρῶς κινεῖ ῥέων ὁ
12 ἄνεμος καὶ [x]προσπίπτων. Δεῖ γὰρ νοεῖν [y]ὅτι ὥσπερ ἐν
τῷ σώματι ἡμῶν καὶ τρόμων καὶ σφυγμῶν αἴτιόν ἐστιν ἡ
τοῦ πνεύματος [z]ἐναπολαμβανομένη δύναμις, [a]οὕτω καὶ ἐν τῇ
γῇ τὸ πνεῦμα παραπλήσια [b]ποιεῖν, καὶ τὸν μὲν τῶν σεισμῶν
οἷον τρόμον εἶναι τὸν δ' οἷον σφυγμόν, καὶ καθάπερ συμ-
βαίνει πολλάκις μετὰ τὴν οὔρησιν διὰ τοῦ σώματος (γίνεται
γὰρ ὥσπερ τρόμος [c]τις ἀντιμεθισταμένου τοῦ πνεύματος
ἔξωθεν [d]ἔσω ἀθρόου), [e]τοιαῦτα γίνεσθαι καὶ περὶ τὴν γῆν.
13 Ὅσην δ' ἔχει τὸ πνεῦμα δύναμιν, οὐ μόνον ἐκ τῶν [f]ἐν τῷ
ἀέρι δεῖ θεωρεῖν γιγνομένων (ἐνταῦθα μὲν γὰρ διὰ τὸ μέγε-
θος ὑπολάβοι τις ἂν τοιαῦτα δύνασθαι ποιεῖν) ἀλλὰ καὶ ἐν
τοῖς σώμασι [g]τοῖς τῶν ζῴων· οἵ τε γὰρ τέτανοι καὶ οἱ
σπασμοὶ πνεύματος [h]μέν εἰσι κινήσεις, τοσαύτην δ' [i]ἔχουσιν
ἰσχὺν ὥστε πολλοὺς ἅμα πειρωμένους ἀποβιάζεσθαι μὴ
14 δύνασθαι κρατεῖν τῆς κινήσεως τῶν ἀρρωστούντων. [k]Τὸ
αὐτὸ δεῖ [l]νοεῖν γινόμενον καὶ ἐν τῇ γῇ, ὡς εἰκάσαι πρὸς μικρὸν

[k] αἵ τε γὰρ H.N, καὶ γὰρ αἱ F. [l] πνευματωδέστεραι F. [m] χειμὼν ἀεὶ τὸ E. [n] τὸ μὲν διὰ τὴν ἀλέαν, ὁ δὲ διὰ τὸν πάγον N. [o] ὁ—ψυχρὸς N. [p] ἄγαν θερμὸν καὶ ξ. F. [q] ὁ om. N. [r] γίνεται H, γένηται F.N. [s] ἐπομβρίαις F.H.N. [t] ἐν τοῖς στ. H.N. [v] διακρατεῖν τὸ E. [w] πολὺ πνεῦμα εἰς N. [x] προπίπτων F. [y] ὅτι om. F. [z] ἐναπολαμβανομένου H, ἀπολαμβανομένη E. [a] οὕτω γὰρ καὶ E. [b] ποιεῖ H.N. [c] τις om. E. [d] εἴσω F.H.N. [e] τοιαῦτα γὰρ γ. H.N. [f] ἐν om. E. [g] τοῖς ante τῶν om. E. [h] μέν om. F. [i] ἰσχὺν ἔχουσιν F.H.N. [k] τὸ τοιοῦτον δεῖ F, τὸ τοιοῦτον δὴ δεῖ N. [l] νοεῖν τὸ τοιοῦτον γ. H.

[m] μεῖζον. Σημεῖα δὲ τούτων καὶ πρὸς τὴν ἡμετέραν αἴ-
σθησιν [n] πολλαχοῦ γέγονεν· ἤδη γὰρ σεισμὸς ἐν τόποις [o] τισὶ
γινόμενος οὐ πρότερον ἔληξε, πρὶν ἐκρήξας εἰς τὸν [p] ὑπὲρ
γῆς τόπον φανερῶς ὥσπερ ἐκνεφίας ἐξῆλθεν ὁ κινήσας ἄνεμος,
οἷον καὶ περὶ ˈἩράκλειαν [q] ἐγένετο τὴν ἐν τῷ Πόντῳ νεωστί,
καὶ πρότερον [r] περὶ τὴν ˈἹερὰν νῆσον· αὕτη δ' ἐστὶ μία τῶν
Αἰόλου καλουμένων νήσων. ˈἘν ταύτῃ γὰρ [s] ἐξανῴδει τι 15
τῆς γῆς, καὶ ἀνῄει οἷον λοφώδης ὄγκος μετὰ ψόφου· τέλος
δὲ [t] ῥαγέντος ἐξῆλθε πνεῦμα [v] πολύ, καὶ τὸν φέψαλον καὶ
τὴν τέφραν ἀνῆκε, καὶ τήν τε [w] Λιπαραίων πόλιν οὖσαν οὐ
πόρρω πᾶσαν κατετέφρωσε, καὶ εἰς ἐνίας τῶν ἐν ˈἸταλίᾳ πό-
λεων ἦλθεν· καὶ νῦν [x] ἔτι ὅπου τὸ ἀναφύσημα τοῦτο ἐγένετο,
δῆλόν ἐστιν. Καὶ γὰρ δὴ [y] τοῦ γιγνομένου πυρὸς ἐν τῇ γῇ 16
ταύτην οἰητέον εἶναι τὴν αἰτίαν, ὅταν κοπτόμενον [z] ἐκπρησθῇ
πρῶτον εἰς μικρὰ [a] κερματισθέντος τοῦ ἀέρος. Τεκμήριον 17
δ' ἐστὶ τοῦ ῥεῖν ὑπὸ [b] τὴν γῆν τὰ πνεύματα καὶ τὸ γιγνό-
μενον περὶ ταύτας τὰς νήσους· ὅταν γὰρ ἄνεμος μέλλῃ πνευ-
σεῖσθαι [c] νότος, προσημαίνει πρότερον· ἠχοῦσι γὰρ οἱ τόποι
ἐξ ὧν γίνεται τὰ ἀναφυσήματα, διὰ τὸ τὴν [d] θάλατταν μὲν
προωθεῖσθαι ἤδη πόρρωθεν, ὑπὸ δὲ ταύτης τὸ ἐκ τῆς γῆς
ἀναφυσώμενον ἀπωθεῖσθαι πάλιν εἴσω, ᾗπερ ἐπέρχεται ἡ
[e] θάλαττα ταύτῃ. Ποιεῖ δὲ ψόφον ἄνευ σεισμοῦ διά τε 18
τὴν εὐρυχωρίαν τῶν τόπων ([f] ὑπερχεῖται γὰρ εἰς τὸ ἀχανὲς
ἔξω) καὶ δι' ὀλιγότητα τοῦ ἀπωθουμένου ἀέρος. ˈἜτι τὸ
γίγνεσθαι τὸν ἥλιον ἀχλυώδη καὶ ἀμαυρότερον ἄνευ νέφους,
καὶ πρὸ τῶν ὀρθρίων σεισμῶν ἐνίοτε νηνεμίαν τε καὶ κρύος
ἰσχυρόν, σημεῖον τῆς εἰρημένης [g] αἰτίας ἐστίν. Τόν τε γὰρ 19
ἥλιον ἀχλυώδη καὶ [h] ἀμαυρὸν ἀναγκαῖον [i] εἶναι ὑπονοστεῖν

[m] μέγα F. [n] πολλαχῇ H.N. [o] τις F. [p] ὑπὲρ τῆς γῆς H.N, ὑπὲρ τῆς E. [q] γέγονε F. [r] ἐν τῇ ἱερᾷ νήσῳ F. [s] ἀνῴδει E.F. [t] ῥαγέντος N. [v] πολὺ om. E. [w] λιπαρέων H.N. E. τε λι et α corr. [x] ἔτι om. H.N. [y] τοῦ] που E. [z] πρῶτον ἐκπρησθῇ F. [a] κερματιζομένου F. [b] τὴν om. H.N. [c] νότος] τοιοῦτος E. [d] θάλασσαν F.N. [e] θάλασσα F. [f] ὑπέρχεται E.H.N. [g] ἐστὶν αἰτίας F.H.N. [h] ἀμαυρότερον H.N. [i] εἶναι om. E.

ἀρχομένου τοῦ πνεύματος εἰς τὴν γῆν τοῦ διαλύοντος τὸν
ἀέρα καὶ διακρίνοντος, καὶ πρὸς τὴν ἕω καὶ περὶ τοὺς ὄρθρους
20 νηνεμίαν τε καὶ ψῦχος. Τὴν μὲν γὰρ νηνεμίαν ἀναγκαῖον
ὡς ἐπὶ τὸ πολὺ συμβαίνειν, καθάπερ εἴρηται [k] καὶ πρότερον,
οἷον μεταρροίας εἴσω γινομένης τοῦ πνεύματος, καὶ μᾶλλον
πρὸ τῶν μειζόνων σεισμῶν· μὴ διασπώμενον γὰρ τὸ μὲν ἔξω
τὸ δ᾽ ἐντός, ἀλλ᾽ [l] ἀθρόον φερόμενον ἀναγκαῖον ἰσχύειν μᾶλ-
21 λον. Τὸ δὲ ψῦχος συμβαίνει διὰ τὸ τὴν ἀναθυμίασιν εἴσω
22 [m] περιτρέπεσθαι, φύσει θερμὴν οὖσαν καθ᾽ αὑτήν. Οὐ δο-
κοῦσι δ᾽ οἱ ἄνεμοι εἶναι θερμοὶ διὰ τὸ κινεῖν [n] τὸν ἀέρα πλήρη
[o] ψυχρᾶς ὄντα καὶ πολλῆς ἀτμίδος, [p] ὥσπερ τὸ πνεῦμα [q] τὸ
διὰ τοῦ στόματος φυσώμενον· καὶ γὰρ τοῦτο ἐγγύθεν μέν
ἐστι θερμόν, ὥσπερ καὶ ὅταν [r] ἀάζωμεν, ἀλλὰ δι᾽ ὀλιγότητα
οὐχ ὁμοίως ἐπίδηλον, πόρρωθεν δὲ ψυχρὸν διὰ τὴν αὐτὴν αἰ-
23 τίαν τοῖς ἀνέμοις. [s] Ἐπιλειπούσης οὖν εἰς [t] τὴν γῆν τῆς
τοιαύτης δυνάμεως, συνιοῦσα δι᾽ ὑγρότητα ἡ ἀτμιδώδης [v] ἀπορ-
ροὴ ποιεῖ τὸ ψῦχος, ἐν οἷς συμβαίνει [w] τόποις γίνεσθαι τοῦτο
24 τὸ πάθος. Τὸ δ᾽ αὐτὸ αἴτιον καὶ τοῦ εἰωθότος ἐνίοτε γίγνε-
σθαι σημείου πρὸ τῶν σεισμῶν· [x] ἢ γὰρ μεθ᾽ ἡμέραν ἢ μικρὸν
μετὰ δυσμάς, αἰθρίας οὔσης, [y] νεφέλιον λεπτὸν φαίνεται δια-
τεῖνον καὶ μακρόν, οἷον γραμμῆς μῆκος εὐθύτητι διηκριβω-
μένον, [z] τοῦ πνεύματος ἀπομαραινομένου διὰ [a] τὴν μετά-
25 στασιν. [b] Τὸ δ᾽ ὅμοιον συμβαίνει καὶ ἐν τῇ [c] θαλάττῃ [d] περὶ
τοὺς αἰγιαλούς· ὅταν μὲν γὰρ κυμαίνουσα [e] ἐκβάλλῃ, σφό-
δρα [f] παχεῖαι καὶ σκολιαὶ γίνονται αἱ ῥηγμῖνες, ὅταν [g] δὲ
γαλήνη [h] ᾖ, διὰ τὸ μικρὰν ποιεῖσθαι τὴν ἔκκρισιν λεπταί εἰσι
26 καὶ εὐθεῖαι. Ὅπερ οὖν ἡ θάλαττα ποιεῖ περὶ τὴν γῆν, τοῦτο
τὸ πνεῦμα περὶ τὴν ἐν τῷ ἀέρι ἀχλύν, ὥσθ᾽ ὅταν γένηται

[k] καὶ om. F.H.N. [l] ἀθρόως N. [m] τρέφεσθαι E. [n] τὸν om. E. [o] πολλῆς ὄντα καὶ ψυχρᾶς F, ὄντα πολλῆς καὶ ψυχρᾶς H.N. [p] ὥσπερ δὴ τὸ F. [q] τὸ ante διὰ om. E.F.H.N. [r] αἰάζωμεν F.H.N, ἀτμίζωμεν E. [s] ἐκλειπούσης F.H.N. [t] τὴν om. E. [v] ἀπόρροια F.H.N. [w] τόποις post γίγνεσθαι F, om. H.N. [x] ἢ] εἰ F. [y] νεφέλιον μακρὸν καὶ λ. F, omissis καὶ μακρὸν. [z] τοῦ γὰρ πν. E. [a] τὴν ὑπὸ γῆν μ. N. [b] τὸ δ᾽ om. E. [c] θαλάσσῃ F.H. [d] περὶ om. E. [e] ἐκβάλῃ E.N. [f] σκολιαὶ καὶ παχεῖαι F. [g] δὲ om. F. [h] ᾖ om. E.

νηνεμία, πάμπαν εὐθεῖαν καὶ λεπτὴν καταλείπεσθαι ὥσπερ
ῥηγμῖνα [i] οὖσαν ἀέρος τὴν νεφέλην. Διὰ ταῦτα δὲ καὶ περὶ 27
τὰς ἐκλείψεις [k] ἐνίοτε τῆς σελήνης συμβαίνει γίγνεσθαι σει-
σμόν· ὅταν γὰρ ἤδη πλησίον ᾖ ἡ ἀντίφραξις, καὶ μήπω μὲν
[l] ᾖ πάμπαν ἀπολελοιπὸς τὸ φῶς καὶ τὸ ἀπὸ τοῦ ἡλίου θερ-
μὸν ἐκ τοῦ ἀέρος, ἤδη δ' ἀπομαραινόμενον, νηνεμία γίνεται
ἀντιμεθισταμένου τοῦ πνεύματος εἰς τὴν γῆν, ὃ ποιεῖ τὸν
σεισμὸν πρὸ τῶν [m] ἐκλείψεων. Γίνονται γὰρ καὶ ἄνεμοι 28
πρὸ τῶν [m] ἐκλείψεων πολλάκις, [n] ἀκρόνυχοι μὲν πρὸ τῶν
μεσονυκτίων [m] ἐκλείψεων, [o] μεσονύκτιοι δὲ πρὸ τῶν ἑῴων.
Συμβαίνει δὲ τοῦτο διὰ τὸ ἀμαυροῦσθαι τὸ θερμὸν τὸ ἀπὸ
τῆς σελήνης, ὅταν πλησίον ἤδη [p] γίγνηται ἡ [q] φορὰ ἐν ᾧ
γενομένων ἔσται [r] ἡ ἔκλειψις. Ἀνιεμένου οὖν ᾧ κατείχετο 29
ὁ ἀὴρ καὶ ἠρέμει, πάλιν κινεῖται καὶ γίγνεται πνεῦμα τῆς
ἐκλείψεως [s] πρωϊαίτερον. Ὅταν δ' ἰσχυρὸς γένηται σεισμός,
οὐκ εὐθὺς οὐδ' εἰσάπαξ παύεται σείσας, ἀλλὰ τὸ πρῶτον μὲν
μέχρι [t] περὶ [v] τετταράκοντα πρόεισι πολλάκις ἡμέρας, ὕστε-
ρον δὲ καὶ ἐφ' ἓν καὶ ἐπὶ δύο ἔτη ἐπισημαίνει κατὰ τοὺς [w] αὐ-
τοὺς τόπους. Αἴτιον δὲ τοῦ μὲν μεγέθους τὸ πλῆθος τοῦ 30
πνεύματος καὶ τῶν τόπων τὰ σχήματα δι' ὧν ἂν ῥυῇ· ᾗ [x] γὰρ
ἂν ἀντιτυπήσῃ καὶ μὴ ῥᾳδίως διέλθῃ, μάλιστά [y] τε σείει καὶ
ἐγκαταλείπεσθαι ἀναγκαῖον ἐν ταῖς δυσχωρίαις, οἷον [z] ὕδωρ
[a] οὐ δυνάμενον [b] διεξελθεῖν. Διὸ καθάπερ ἐν σώματι οἱ 31
σφυγμοὶ οὐκ ἐξαίφνης παύονται οὐδὲ ταχέως, ἀλλ' ἐκ προσ-
αγωγῆς ἅμα [c] καταμαραινομένου τοῦ πάθους, καὶ ἡ ἀρχὴ
ἀφ' ἧς [d] ἡ ἀναθυμίασις ἐγένετο καὶ ἡ ὁρμὴ τοῦ πνεύματος
[e] δῆλον ὅτι οὐκ εὐθὺς ἅπασαν ἀνάλωσε τὴν ὕλην, ἐξ ἧς ἐποί-
ησε τὸν ἄνεμον, ὃν καλοῦμεν σεισμόν. Ἕως [f] ἂν [g] οὖν ἀνα- 32

[i] ἀέρος οὖσαν F. [k] τῆς σελήνης ἐνίοτε F. [l] ᾖ om. E. [m] ἐκλείψεων corr. E. [n] ἀκρόνυχοι F. [o] μεσονύκτιον E.H.N. [p] γένηται N. [q] φθορά pr. E. [r] ἡ om. E. [s] ὀψιαίτερον H.N. [t] περὶ om. F. [v] τεττ. ἡμέρας πρόεισι πολλάκις E, τεττ. σείει ἡμερῶν F. [w] αὐτοὺς om. E. [x] γὰρ ἀντιτυπήσει N, γὰρ ἂν ἀντιτυπήσει H. [y] τε om. F. [z] ὕδωρ] ὕδωρ ἐν σώματι E.H.N. [a] οὐ] μὴ F. [b] διελθεῖν F. [c] μαραινομένου N. [d] ἡ post ἧς om. E.F. [e] δῆλον ὅτι om. H.N. [f] ἂν om. F. [g] οὖν om. N.

λωθῇ τὰ ὑπόλοιπα τούτων, [h] ἀνάγκη [i] σείειν, [k] ἠρεμαίτερον
δὲ καὶ μέχρι τούτου ἕως ἂν ἔλαττον ᾖ τὸ ἀναθυμιώμενον ἢ
ὥστε δύνασθαι κινεῖν ἐπιδήλως. Ποιεῖ δὲ καὶ τοὺς ψόφους
τοὺς ὑπὸ [l] τὴν γῆν γινομένους τὸ πνεῦμα, καὶ τοὺς πρὸ τῶν
σεισμῶν· καὶ ἄνευ δὲ σεισμῶν ἤδη που γεγόνασιν [m] ὑπὸ γῆν.
33 Ὥσπερ [n] γὰρ ῥαπιζόμενος ὁ ἀὴρ παντοδαποὺς ἀφίησι ψό-
φους, οὕτως καὶ τύπτων [o] αὐτός· οὐθὲν γὰρ διαφέρει· τὸ
γὰρ τύπτον ἅμα καὶ αὐτὸ τύπτεται πᾶν. Προέρχεται δ'
[p] ὁ ψόφος τῆς κινήσεως διὰ τὸ [q] λεπτομερέστερον εἶναι καὶ
34 μᾶλλον διὰ παντὸς ἰέναι τοῦ πνεύματος τὸν ψόφον. Ὅταν
δ' ἔλαττον ᾖ ἢ ὥστε κινῆσαι τὴν γῆν διὰ λεπτότητα, διὰ
μὲν τὸ ῥᾳδίως διηθεῖσθαι οὐ δύναται κινεῖν, διὰ δὲ τὸ προσ-
πίπτειν [r] στερεοῖς ὄγκοις καὶ κοίλοις καὶ παντοδαποῖς σχή-
μασι παντοδαπὰς ἀφίησι φωνάς, ὥστ' ἐνίοτε δοκεῖν ὅπερ
35 λέγουσιν οἱ τερατολογοῦντες, μυκᾶσθαι τὴν γῆν. Ἤδη δὲ
καὶ ὕδατα ἀνερράγη [s] γιγνομένων σεισμῶν· ἀλλ' οὐ διὰ
τοῦτο [t] αἴτιον τὸ ὕδωρ τῆς κινήσεως, ἀλλ' ἂν ᾖ [v] ἐξ ἐπιπο-
λῆς ἢ κάτωθεν βιάζηται τὸ πνεῦμα, ἐκεῖνο τὸ κινοῦν ἐστίν,
ὥσπερ [w] τῶν κυμάτων οἱ ἄνεμοι ἀλλ' οὐ τὰ κύματα τῶν ἀνέ-
μων [x] ἐστὶν αἴτια, ἐπεὶ καὶ τὴν γῆν οὕτως ἄν τις αἰτιῷτο
τοῦ πάθους· ἀνατρέπεται [y] γὰρ σειομένη, καθάπερ ὕδωρ (ἡ
36 γὰρ ἔκχυσις ἀνάτρεψίς [z] τίς ἐστιν). Ἀλλ' αἴτια [a] ταῦτα
μὲν ἄμφω ὡς ὕλη (πάσχει γάρ, ἀλλ' οὐ ποιεῖ), τὸ δὲ πνεῦμα
ὡς ἀρχή. Ὅπου δ' ἅμα κῦμα σεισμῷ γέγονεν, αἴτιον, ὅταν
37 ἐναντία γίγνηται τὰ πνεύματα. Τοῦτο δὲ γίγνεται, ὅταν
τὸ σεῖον τὴν γῆν πνεῦμα φερομένην ὑπ' ἄλλου πνεύματος
τὴν [b] θάλασσαν ἀπῶσαι [c] μὲν ὅλως μὴ δύνηται, προωθοῦν δὲ
καὶ συστέλλον εἰς ταὐτὸν συναθροίσῃ πολλήν· τότε γὰρ

[h] ἀνάγκη om. E. [i] σείειν corr. E. [k] ἠρεμαίτερον corr. E, ἠρεμαιότερον F.H.N. [l] τὴν om. F. [m] ὑπὸ τῆς γῆς F. [n] γὰρ καὶ ῥαπ. F.H.N. [o] ὁ αὐτός F.H. [p] ὁ om. E. [q] λεπτομερέστερος E. [r] στερεοῖς] ἑτέροις E. [s] σεισμῶν γενομένων N. [t] τὸ ὕδωρ αἴτιον E. [v] ἐξ om. E. [w] οἱ ἄνεμοι τῶν κυμάτων F. [x] εἰσιν F.H.N : sed F. εἰσὶν αἴτια in margine. [y] γὰρ] γοῦν F. [z] ἐστί τις H.N, τῆς γῆς ἐστὶν F. [a] μὲν ἄμφω ταῦτα F. [b] θάλατταν H.N. [c] μὲν om. F.

ἀναγκαῖον ἡττηθέντος τούτου τοῦ πνεύματος [d] ἀθρόαν ὠθου-
μένην ὑπὸ τοῦ ἐναντίου πνεύματος ἐκρήγνυσθαι καὶ ποιεῖν
τὸν κατακλυσμόν. ‘Ἐγένετο δὲ τοῦτο καὶ περὶ ‘Ἀχαΐαν· 38
ἔξω μὲν γὰρ ἦν νότος, ἐκεῖ δὲ βορέας, νηνεμίας δὲ γενομένης
καὶ ῥυέντος εἴσω τοῦ ἀνέμου ἐγένετο τό τε κῦμα καὶ ὁ σει-
σμὸς ἅμα, καὶ μᾶλλον διὰ τὸ τὴν [e] θάλατταν μὴ διδόναι
διαπνοὴν τῷ ὑπὸ τὴν γῆν ὡρμημένῳ πνεύματι, ἀλλ' ἀντι-
φράττειν· ἀποβιαζόμενα γὰρ ἄλληλα τὸ μὲν πνεῦμα τὸν
σεισμὸν ἐποίησεν, ἡ δ' ὑπόστασις [f] τοῦ κύματος τὸν κατα-
κλυσμόν. Κατὰ μέρος δὲ γίγνονται οἱ σεισμοὶ τῆς γῆς, 39
καὶ πολλάκις ἐπὶ μικρὸν τόπον, οἱ δ' ἄνεμοι οὐ [g] κατὰ μέρος·
κατὰ μέρος μέν, ὅταν αἱ ἀναθυμιάσεις αἱ κατὰ τὸν τόπον
αὐτὸν καὶ τὸν γειτνιῶντα συνέλθωσιν εἰς ἕν, ὥσπερ καὶ τοὺς
αὐχμοὺς ἔφαμεν γίγνεσθαι καὶ τὰς ὑπερομβρίας τὰς κατὰ
μέρος. Καὶ οἱ μὲν σεισμοὶ γίγνονται διὰ τοῦτον τὸν τρό- 40
πον, οἱ δ' ἄνεμοι οὔ· τὰ μὲν γὰρ ἐν τῇ γῇ τὴν ἀρχὴν ἔχει,
ὥστ' ἐφ' ἓν ἁπάσας ὁρμᾶν· ὁ δ' ἥλιος οὐχ ὁμοίως δύναται,
τὰς δὲ μετεώρους μᾶλλον, ὥστε [h] ῥεῖν, ὅταν ἀρχὴν λάβωσιν
ἀπὸ τῆς τοῦ ἡλίου φορᾶς ἤδη κατὰ τὰς διαφορὰς τῶν τό-
πων, [i] ἐφ' ἕν. Ὅταν μὲν οὖν ᾖ πολὺ τὸ [k] πνεῦμα, κινεῖ τὴν 41
γῆν, ὥσπερ [l] ἂν ὁ τρόμος, ἐπὶ πλάτος [m] μέν, γίγνεται δ'
ὀλιγάκις [n] καὶ κατά τινας τόπους, οἷον [o] ὁ σφυγμός, [p] ἄνω
καὶ κάτωθεν· διὸ καὶ ἐλαττονάκις σείει [q] τοῦτον τὸν τρόπον·
οὐ [r] γὰρ ῥᾴδιον οὕτω πολλὴν συνελθεῖν [s] ἀρχήν· ἐπὶ μῆκος
γὰρ πολλαπλασία τῆς ἀπὸ τοῦ βάθους ἡ διάκρισις. Ὅπου 42
δ' ἂν γένηται [t] τοιοῦτος σεισμός, ἐπιπολάζει πλῆθος λίθων,
ὥσπερ τῶν ἐν τοῖς [v] λίκνοις ἀναβραττομένων· τοῦτον γὰρ
τὸν τρόπον [w] γενομένου σεισμοῦ [x] τὰ περὶ Σίπυλον ἀνε-

[d] ἀθρόαν—πνεύματος om. F. [e] θάλασσαν F. [f] τοῦ κύματος om. F, πνεύματος E.H.N. [g] κατὰ μέρος om. pr. F. [h] ῥεῖν ἐφ' ἓν ὅταν F. [i] ἐφ' ἓν om. F. [k] πνεῦμα κάτωθεν ἄνω κινεῖ N. [l] ἂν] δὲ E. [m] μέν om. F.H.N. [n] καὶ om. H. [o] ὁ om. F. [p] ἄνω καὶ κάτωθεν om. N. [q] τὸν τρόπον τοῦτον N. [r] γὰρ δίδωσι ῥᾴδιον E.H.N. [s] ἀρχὴν post πολλὴν F, om. E. [t] τοιοῦτον σεισμὸν E. [v] λί μοις N. [w] γινομένου N. [x] τά τε περὶ F.H.N.

τράπη καὶ τὸ Φλεγραῖον καλούμενον πεδίον καὶ τὰ περὶ τὴν
43 Λιγυστικὴν χώραν. Ἐν δὲ ταῖς νήσοις ταῖς [y] ποντίαις ἧτ-
τον [z] γίγνεται σεισμὸς τῶν προσγείων· τὸ γὰρ πλῆθος τῆς
θαλάττης [a] καταψύχει τὰς ἀναθυμιάσεις καὶ κωλύει τῷ βάρει
καὶ ἀποβιάζεται, ἔτι δὲ ῥεῖ [b] καὶ οὐ σείεται κρατουμένη ὑπὸ
τῶν πνευμάτων· καὶ διὰ τὸ πολὺν ἐπέχειν τόπον οὐκ εἰς ταύ-
την ἀλλ' ἐκ ταύτης αἱ ἀναθυμιάσεις γίγνονται, καὶ ταύταις
44 ἀκολουθοῦσιν αἱ ἐκ τῆς γῆς. Αἱ [c] δ' ἐγγὺς τῆς ἠπείρου μό-
ριόν εἰσι τῆς ἠπείρου· τὸ γὰρ μεταξὺ διὰ [d] μικρότητα οὐδε-
μίαν ἔχει δύναμιν· τὰς δὲ [e] ποντίας οὐκ ἔστι κινῆσαι ἄνευ τῆς
θαλάττης ὅλης, ὑφ' ἧς περιεχόμεναι τυγχάνουσιν. Περὶ
μὲν οὖν σεισμῶν, καὶ τίς ἡ φύσις [f] αὐτῶν, καὶ διὰ τίν' αἰτίαν
γίγνονται, καὶ περὶ τῶν ἄλλων τῶν συμβαινόντων περὶ αὐ-
τούς, εἴρηται σχεδὸν περὶ τῶν μεγίστων.

9 Περὶ δὲ ἀστραπῆς καὶ βροντῆς, ἔτι δὲ περὶ τυφῶνος [g] καὶ
πρηστῆρος καὶ κεραυνῶν λέγωμεν· καὶ γὰρ τούτων τὴν αὐτὴν
2 [h] ἀρχὴν [i] ὑπολαμβάνειν [k] δεῖ πάντων. Τῆς γὰρ ἀναθυμιά-
σεως, ὥσπερ εἴπομεν, οὔσης διττῆς, τῆς μὲν ὑγρᾶς τῆς δὲ ξη-
ρᾶς, καὶ τῆς συγκρίσεως ἐχούσης [l] ἄμφω ταῦτα δυνάμει καὶ
συνισταμένης εἰς νέφος, ὥσπερ εἴρηται πρότερον, ἔτι δὲ πυ-
κνοτέρας τῆς [m] συστάσεως τῶν νεφῶν γιγνομένης πρὸς τὸ
ἔσχατον πέρας· ᾗ γὰρ ἐκλείπει τὸ θερμὸν διακρινόμενον εἰς
τὸν ἄνω τόπον, ταύτῃ πυκνοτέραν καὶ ψυχροτέραν ἀναγκαῖον
3 εἶναι τὴν σύστασιν. Διὸ καὶ οἱ κεραυνοὶ καὶ οἱ ἐκνεφίαι καὶ
πάντα τὰ τοιαῦτα φέρεται κάτω, καί[n]τοι πεφυκότος [o] ἄνω
τοῦ θερμοῦ φέρεσθαι παντός· ἀλλ' εἰς τοὐναντίον τῆς πυκνό-
τητος ἀναγκαῖον γίγνεσθαι τὴν ἔκθλιψιν, οἷον οἱ πυρῆνες οἱ
ἐκ τῶν δακτύλων [p] πηδῶντες· καὶ γὰρ ταῦτα βάρος ἔχοντα
4 φέρεται πολλάκις ἄνω. Ἡ μὲν οὖν ἐκκρινομένη θερμότης

[y] ποντίοις H. [z] γίνονται σεισμοὶ F. [a] αναψύχει E. [b] καὶ οὐ σείεται post πνευμάτων N. [c] ἐγγὺς δὲ F. [d] σμικρότητα F. [e] ποντίους H.N. [f] αὐτῶν om. E. [g] καὶ περὶ πρ. F. [h] ἀρχὴν om. E. [i] ὑπολαβεῖν H. [k] πάντων δεῖ E. [l] ἄμφω margo F. [m] συστ. οὔσης τῶν νεφῶν F, γιγνομένης in margine posito. [n] τοι] περ F.H.N. [o] τοῦ θερμοῦ ἄνω φέρεσθαι διὰ παντὸς F. [p] ἐκπηδῶντες F.H.N.

εἰς τὸν ἄνω [q] διασπείρεται τόπον. Ὅση δ' ἐμπεριλαμβάνε-
ται τῆς ξηρᾶς ἀναθυμιάσεως ἐν τῇ μεταβολῇ ψυχομένου τοῦ
ἀέρος, αὕτη συνιόντων τῶν νεφῶν ἐκκρίνεται, βίᾳ δὲ φερο-
μένη καὶ προσπίπτουσα τοῖς περιεχομένοις νέφεσι ποιεῖ
πληγήν, ἧς ὁ ψόφος καλεῖται βροντή. Γίνεται δ' [r] ἡ πληγὴ 5
τὸν αὐτὸν τρόπον, [s] ὡς παρεικάσαι μείζονι μικρὸν πάθος, τῷ
ἐν τῇ φλογὶ γινομένῳ ψόφῳ, ὃν καλοῦσιν οἱ μὲν τὸν Ἥφαι-
στον [t] γελᾶν, οἱ δὲ τὴν Ἑστίαν, οἱ δ' ἀπειλὴν τούτων. Γί- 6
γνεται δ' ὅταν ἡ ἀναθυμίασις εἰς τὴν φλόγα συνεστραμμένη
φέρηται, ῥηγνυμένων καὶ ξηραινομένων τῶν ξύλων· οὕτω γὰρ
καὶ ἐν τοῖς νέφεσι γιγνομένη [v] ἡ τοῦ πνεύματος ἔκκρισις
πρὸς τὴν πυκνότητα τῶν νεφῶν [w] εἰσπίπτουσα ποιεῖ τὴν
βροντήν. Παντοδαποὶ δ' [x] οἱ ψόφοι διὰ τὴν ἀνωμαλίαν τε 7
γίνονται τῶν νεφῶν καὶ [y] διὰ τὰς μεταξὺ κοιλίας, [z] ᾗ τὸ συν-
εχὲς ἐκλείπει τῆς πυκνότητος. Ἡ μὲν οὖν βροντὴ τοῦτ'
ἔστι καὶ γίνεται διὰ ταύτην τὴν αἰτίαν· τὸ δὲ πνεῦμα τὸ
ἐκθλιβόμενον τὰ πολλὰ μὲν ἐκπυροῦται λεπτῇ καὶ ἀσθενεῖ
πυρώσει, καὶ τοῦτ' ἔστιν ἣν καλοῦμεν ἀστραπήν, ᾗ ἂν ὥσπερ
ἐκπῖπτον τὸ πνεῦμα χρωματισθὲν ὀφθῇ. Γίνεται δὲ μετὰ 8
τὴν πληγὴν [a] καὶ ὕστερον τῆς βροντῆς· ἀλλὰ φαίνεται πρό-
τερον διὰ τὸ τὴν ὄψιν προτερεῖν τῆς ἀκοῆς. Δηλοῖ [b] δ' ἐπὶ
τῆς εἰρεσίας τῶν τριήρων· ἤδη γὰρ ἀναφερόντων πάλιν τὰς
κώπας ὁ πρῶτος ἀφικνεῖται ψόφος τῆς κωπηλασίας. Καίτοι 9
τινὲς λέγουσιν ὡς ἐν τοῖς νέφεσιν ἐγγίνεται πῦρ· τοῦτο δ'
Ἐμπεδοκλῆς μέν φησιν εἶναι τὸ [c] ἐμπεριλαμβανόμενον τῶν
τοῦ ἡλίου ἀκτίνων, Ἀναξαγόρας δὲ τοῦ ἄνωθεν αἰθέρος, ὃ δὴ
[d] ἐκεῖνος καλεῖ πῦρ κατενεχθὲν ἄνωθεν κάτω. Τὴν μὲν οὖν 10
διάλαμψιν [e] ἀστραπὴν εἶναι τούτου τοῦ πυρός, τὸν δὲ ψόφον
[f] ἐναποσβεννυμένου καὶ τὴν σίξιν βροντήν, ὡς καθάπερ φαί-

[q] διασπιραται E, διακρίνεται (supra posito διασπείρεται) F. [r] τὸν αὐτὸν τρόπον ἡ πληγή F. [s] ὥσπερ εἰκάσαι E.F.H.N. [t] γενᾶν pr. N. [v] ἡ om. F.H, ante γιγνομένη ponit N. [w] ἐμπίπτουσα H.N. [x] οἱ om. F. [y] διὰ om. H.N. [z] ᾗ om. E. [a] καὶ om. E. [b] δὲ καὶ ἐπὶ N. [c] ἐμπεριεχόμενον pr. F. [d] κεῖνος E, κακεῖνος F. [e] τοῦ τοιούτου π. ἀστρ. εἶναι F, ἀστρ. εἶναι τὴν τούτου τοῦ π. H.N. [f] καὶ τὴν σίξιν ἐναποσβ. N.

νεται [g] καὶ [h] γιγνόμενον, οὕτω καὶ πρότερον [i] τὴν ἀστραπὴν οὖσαν τῆς βροντῆς. ˙Ἄλογος δὲ καὶ ἡ τοῦ πυρὸς [k] ἐμπερίληψις, ἀμφοτέρως μέν, μᾶλλον δ' ἡ κατάσπασις τοῦ ἄνωθεν αἰ-
11 θέρος. Τοῦ τε γὰρ κάτω φέρεσθαι τὸ πεφυκὸς ἄνω δεῖ λέγεσθαι τὴν αἰτίαν, καὶ διὰ τί ποτε τοῦτο γίγνεται κατὰ τὸν οὐρανὸν ὅταν [l] ἐπινέφελον ᾖ μόνον, [m] ἀλλ' οὐ συνεχῶς οὕτως· αἰθρίας δ' οὔσης οὐ γίγνεται. Τοῦτο γὰρ παντάπασιν ἔοικεν
12 εἰρῆσθαι προχείρως. ˙Ὁμοίως δὲ καὶ τὸ τὴν ἀπὸ τῶν ἀκτίνων θερμότητα φάναι τὴν ἀπολαμβανομένην ἐν τοῖς νέφεσιν εἶναι τούτων αἰτίαν οὐ πιθανόν· καὶ γὰρ οὗτος ὁ λόγος ἀπραγμόνως εἴρηται λίαν· ἀποκεκριμένον τε γὰρ ἀναγκαῖον εἶναι τὸ αἴτιον ἀεὶ καὶ ὡρισμένον, [n] τῆς τε βροντῆς καὶ [o] τῆς ἀστραπῆς καὶ τῶν ἄλλων [p] τῶν τοιούτων, καὶ οὕτω γίνεσθαι.
13 Τοῦτο δὲ διαφέρει πλεῖστον· ὅμοιον γὰρ [q] κἂν εἴ τις οἴοιτο τὸ ὕδωρ καὶ τὴν χιόνα καὶ τὴν χάλαζαν ἐνυπάρχοντα πρότερον ὕστερον ἐκκρίνεσθαι καὶ μὴ γίνεσθαι, οἷον ὑπὸ χεῖρα ποι-
14 ούσης ἀεὶ τῆς συγκρίσεως ἕκαστον αὐτῶν. ˙Ὡσαύτως γὰρ ἐκεῖνά τε συγκρίσεις [r] καὶ ταῦτα διακρίσεις ὑποληπτέον εἶναι, ὥστ' εἰ θάτερα τούτων μὴ [s] γίγνεται ἀλλ' ἔστι, περὶ ἀμφο-
15 τέρων [t] ὁ αὐτὸς ἁρμόσει λόγος. Τήν τε [v] ἐναπόληψιν τί ἂν ἀλλοιότερον λέγοι τις ἢ καθάπερ ἐν τοῖς πυκνοτέροις; Καὶ γὰρ τὸ ὕδωρ ὑπὸ τοῦ ἡλίου καὶ τοῦ πυρὸς γίνεται θερμόν· ἀλλ' ὅμως ὅταν πάλιν συνίῃ καὶ ψύχηται τὸ ὕδωρ πηγνύμενον, οὐδεμίαν συμβαίνει γίνεσθαι τοιαύτην ἔκπτωσιν [w] οἵαν
16 ἐκεῖνοι λέγουσιν. Καίτοι γ' ἐχρῆν κατὰ λόγον τοῦ μεγέθους [x] τὴν ζέσιν [y] ποιεῖν τὸ ἐγγινόμενον πνεῦμα ὑπὸ τοῦ πυρός, ἣν οὔτε δυνατὸν ἐνυπάρχειν πρότερον, οὔτ' ἐκεῖνοι [z] τὸν ψόφον ζέσιν ποιοῦσιν ἀλλὰ σίξιν· ἔστι δὲ [a] καὶ ἡ σίξις μικρὰ

[g] καὶ om. N. [h] γιγνόμενα N. [i] οὖσαν τὴν ἀστραπὴν F.H.N.
[k] ἐμπ. καὶ ἀμφ. F. [l] ἐπινέφελον μὲν ᾖ F. [m] ἀλλ' οὐ om. H.N.
[n] τῆς τε] τό τε τῆς F, τῆς H.N. [o] τῆς om. E. [p] τῶν om. E.
[q] κἂν om. E. [r] καὶ ταῦτα διακρίσεις om. pr. E. [s] γίνηται F.
[t] ὁ om. E. [v] ἀπόληψιν E. [w] οἷον F, ὥσπερ E. [x] τὴν] καὶ τὴν F, τὴν δὲ E. [y] ποιεῖ E, ἐμποιεῖν F. [z] τὸν ψόφον margo F, τὸν om. E.
[a] καὶ om. F.

ζέσις· ᾗ γὰρ τὸ προσπῖπτον κρατεῖ σβεννύμενον, ταύτῃ ζέον
ποιεῖ τὸν ψόφον. Εἰσὶ δέ [b] τινες οἳ τὴν ἀστραπήν, ὥσπερ 17
καὶ Κλείδημος, οὐκ εἶναί φασιν ἀλλὰ φαίνεσθαι, παρεικάζον-
τες ὡς τὸ πάθος ὅμοιον ὂν καὶ ὅταν [c] τὴν [d] θάλατταν [e] τις
ῥάβδῳ τύπτῃ· φαίνεται γὰρ τὸ ὕδωρ ἀποστίλβον τῆς νυ-
κτός· οὕτως [f] ἐν τῇ νεφέλῃ ῥαπιζομένου τοῦ ὑγροῦ τὴν φαν-
τασίαν τῆς λαμπρότητος εἶναι τὴν ἀστραπήν. Οὗτοι μὲν 18
οὖν οὔπω συνήθεις ἦσαν ταῖς περὶ τῆς ἀνακλάσεως δόξαις,
ὅπερ αἴτιον [g] δοκεῖ τοῦ τοιούτου πάθους εἶναι· φαίνεται γὰρ
τὸ ὕδωρ στίλβειν τυπτόμενον ἀνακλωμένης [h] ὑπ' αὐτοῦ τῆς
ὄψεως [i] πρός τι τῶν λαμπρῶν. Διὸ καὶ γίνεται [k] τοῦτο μᾶλ-
λον νύκτωρ· τῆς γὰρ ἡμέρας οὐ [l] φαίνεται διὰ τὸ πλέον ὂν τὸ
φέγγος [m] τὸ τῆς ἡμέρας [n] ἀφανίζειν. Τὰ μὲν οὖν λεγόμενα 19
περὶ [o] βροντῆς καὶ ἀστραπῆς [p] παρὰ τῶν ἄλλων ταῦτ' ἐστί,
τῶν μὲν ὅτι ἀνάκλασις ἡ ἀστραπή, τῶν δ' ὅτι πυρὸς μὲν ἡ
ἀστραπὴ διάλαμψις, ἡ δὲ βροντὴ σβέσις, οὐκ ἐγγινομένου
παρ' ἕκαστον πάθος τοῦ πυρὸς ἀλλ' [q] ἐνυπάρχοντος. Ἡμεῖς 20
δέ φαμεν [r] τὴν αὐτὴν εἶναι φύσιν ἐπὶ μὲν τῆς γῆς ἄνεμον, ἐν
δὲ τῇ γῇ σεισμόν, ἐν δὲ τοῖς νέφεσι βροντήν· πάντα γὰρ εἶ-
ναι ταῦτα τὴν οὐσίαν ταὐτόν, ἀναθυμίασιν ξηράν, ἣ ῥέουσα
μέν πως ἄνεμός ἐστιν, ὡδὶ δὲ ποιεῖ τοὺς σεισμούς, ἐν δὲ τοῖς
νέφεσι [s] μεταβάλλουσα [t] ἐκκρινομένη, [v] συνιόντων καὶ συγκρι-
νομένων [w] αὐτῶν εἰς ὕδωρ, βροντάς τε καὶ ἀστραπὰς καὶ πρὸς
τούτοις [x] τἆλλα τὰ τῆς αὐτῆς φύσεως τούτοις ὄντα. Καὶ
περὶ μὲν βροντῆς εἴρηται καὶ ἀστραπῆς.

## Γ.

Περὶ δὲ τῶν ὑπολοίπων εἴπωμεν ἔργων τῆς ἐκκρίσεως ταύ-

[b] τινὲς ante ὥσπερ E. [c] τὴν om. E. [d] θάλασσάν τε F. [e] ῥάβδῳ τις F.H.N. [f] ἐν] καὶ ἐν F. [g] δοκεῖ post εἶναι F. [h] ἀπ' F.N. [i] εἰς τὸ λαμπρόν F. [k] μᾶλλον τοῦτο H.N. [l] γίγνεται F. [m] τὸ om. F. [n] ἀφανίζον F.H. [o] βροντῆς τε καὶ F.H.N. [p] παρὰ] καὶ περὶ H.N. [q] ἐνυπάρχοντος ἢ ἡμεῖς F. [r] εἶναι τὴν αὐτὴν F.H.N. [s] μεταβάλλουσα om. F. [t] διακρινομένη F.N. [v] συνανιόντων F. [w] αὐτῶν ante καὶ συγκρινομένων H, post εἰς τὸ ὕδωρ (ita enim) F. [x] ἄλλα E.

της, τὸν ὑφηγημένον ἤδη τρόπον λέγοντες. Τὸ γὰρ πνεῦμα
τοῦτο ἐκκρινόμενον κατὰ μικρὰ μὲν καὶ σποράδην [y] διαχεόμε-
νον καὶ πολλάκις γιγνόμενον καὶ [z] διαπνέον καὶ λεπτομερέ-
στερον ὂν βροντὰς ποιεῖ καὶ ἀστραπάς· ἂν δ' ἀθρόον καὶ
πυκνότερον, ἧττον δ' ἐκκριθῇ λεπτόν, ἐκνεφίας [a] ἄνεμος γί-
2 νεται. Διὸ καὶ βίαιος· τὸ γὰρ τάχος τῆς ἐκκρίσεως ποιεῖ
τὴν ἰσχύν. Ὅταν [b] μὲν οὖν συνακολουθήσῃ πολλὴ καὶ συνε-
χὴς ἔκκρισις, [c] τὸν αὐτὸν [d] γίνεται τρόπον ὥσπερ ὅταν πάλιν
εἰς τοὐναντίον ὁρμήσῃ· τότε γὰρ ὑετὸς καὶ ὕδατος γίνεται
3 πλῆθος. Ὑπάρχει μὲν οὖν [e] ἄμφω δυνάμει ταῦτα κατὰ τὴν
ὕλην· ὅταν δ' ἀρχὴ γένηται τῆς δυνάμεως ὁποτερασοῦν, ἀκο-
λουθεῖ [f] συνεκκρινόμενον ἐκ τῆς ὕλης, ὁποτέρου [g] ἂν πλῆθος
[h] ἐνυπάρχῃ [i] πλεῖον, [k] καὶ γίνεται τὸ μὲν ὄμβρος, τὸ δὲ τῆς
4 ἑτέρας ἀναθυμιάσεως ἐκνεφίας. Ὅταν δὲ τὸ ἐκκρινόμενον
πνεῦμα τὸ ἐν τῷ νέφει ἑτέρῳ ἀντιτυπήσῃ οὕτως, ὥσπερ ὅταν
ἐξ εὐρέος εἰς στενὸν βιάζηται ὁ ἄνεμος [l] ἐν πύλαις ἢ ὁδοῖς·
συμβαίνει γὰρ πολλάκις ἐν τοῖς τοιούτοις ἀπωσθέντος τοῦ
πρώτου μορίου τοῦ ῥέοντος σώματος διὰ τὸ μὴ ὑπείκειν, ἢ διὰ
στενότητα ἢ διὰ τὸ [m] ἀντιπνεῖν, κύκλον καὶ δίνην γίνεσθαι
τοῦ πνεύματος· τὸ μὲν γὰρ εἰς τὸ πρόσθεν κωλύει προϊέναι,
τὸ δ' ὄπισθεν ἐπωθεῖ, ὥστ' ἀναγκάζεται εἰς [n] τὸ πλάγιον, [o] ᾗ
οὐ κωλύεται, φέρεσθαι, καὶ οὕτως ἀεὶ τὸ ἐχόμενον, [p] ἕως ἂν ἓν
γένηται, τοῦτο δ' ἐστὶ κύκλος· οὗ γὰρ μία φορὰ σχήματος,
5 τοῦτο [q] καὶ αὐτὸ ἀνάγκη [r] κύκλον εἶναι. Ἐπί [s] τε τῆς γῆς
οὖν διὰ ταῦτα γίγνονται [t] οἱ δῖνοι, καὶ ἐν τοῖς νέφεσιν ὁμοίως
κατὰ τὴν ἀρχήν, πλὴν [v] ὅτι, [w] ὥσπερ ὅταν ἐκνεφίας γίγνη-
ται, ἀεὶ [x] τὸ νέφος ἐκκρίνεται καὶ γίνεται [y] συνεχὴς ἄνεμος,

[y] διαχ.] μαχόμενον E. [z] διαπνεόμενον F. [a] γίνεται ἄνεμος F. [b] μὲν om. pr. E. [c] τὸν αὐτὸν om. pr. E, ante τρόπον ponit N. [d] τρόπον γίνεται F. [e] ταῦτα ἄμφω δυνάμει F.H.N. [f] συγκρινόμενον E.F. [g] ἂν] δ' ἂν H.N, δ' ἂν ᾖ F. [h] ἐνυπάρχει E, ἐνυπάρχον F. [i] πλέον E. [k] καὶ om. F. [l] ἐν] ἢ ἐν F. [m] ἀντιτυπεῖν E, et supra posito πνεῖν F. [n] τὸ om. F. [o] ἢ οὗ N. [p] ἕως ἂν ἓν] ἐὰν E. [q] καὶ αὐτὸ om. F. [r] κύκλον] ἓν E.N. [s] τε om. E. [t] αἱ δῖναι H.N. [v] ὅτι ὥσπερ om. F. [w] ὅταν ὥσπερ N. [x] τοῦ νέφους H. [y] συνεχὴς ὁ ἄνεμος H.N.

οὕτως [z] ἐνταῦθα ἀεὶ τὸ συνεχὲς ἀκολουθεῖ τοῦ νέφους. Διὰ 6
δὲ πυκνότητα οὐ δυνάμενον ἐκκριθῆναι τὸ πνεῦμα ἐκ τοῦ νέ-
φους στρέφεται μὲν κύκλῳ τὸ πρῶτον διὰ τὴν εἰρημένην αἰ-
τίαν, [a] φέρεται δὲ κάτω διὰ τὸ ἀεὶ τὰ νέφη πυκνοῦσθαι, ᾗ
ἐκπίπτει τὸ θερμόν. Καλεῖται δ', ἂν ἀχρωμάτιστον ᾖ, τοῦτο
τὸ πάθος τυφών, ἄνεμος ὤν, οἷον ἐκνεφίας ἄπεπτος. [b] Βο- 7
ρείοις δ' οὐ γίγνεται τυφών, οὐδὲ νιφετῶν ὄντων ἐκνεφίας,
διὰ τὸ πάντα [c] ταῦτ' εἶναι [d] πνεύματα, τὸ δὲ πνεῦμα [e] ξηρὰν
εἶναι καὶ θερμὴν ἀναθυμίασιν. Ὁ οὖν πάγος καὶ τὸ ψῦχος
διὰ τὸ κρατεῖν σβέννυσιν [f] εὐθὺς γιγνομένην ἔτι τὴν ἀρχήν.
Ὅτι [g] δὲ κρατεῖ, δῆλον· [h] οὐ γὰρ [i] ἂν ἦν νιφετός, οὐδὲ βόρεια 8
τὰ ὑγρά· ταῦτα γὰρ συμβαίνει [k] κρατούσης εἶναι τῆς ψυ-
χρότητος. Γίγνεται μὲν [l] οὖν τυφών, ὅταν ἐκνεφίας γιγνό-
μενος μὴ δύνηται ἐκκριθῆναι τοῦ νέφους. Ἔστι δὲ διὰ τὴν
ἀντίκρουσιν τῆς δίνης, ὅταν [m] ἐπὶ γῆς φέρηται ἡ ἕλιξ συγ-
κατάγουσα τὸ νέφος, οὐ δυναμένη ἀπολυθῆναι. Ἧι δὲ κατ' 9
[n] εὐθυωρίαν [o] ἐκπνεῖ, ταύτῃ τῷ πνεύματι κινεῖ, καὶ τῇ κύκλῳ
κινήσει στρέφει καὶ ἀναφέρει ᾧ ἂν προσπέσῃ βιαζόμενον.
Ὅταν δὲ κατασπώμενον ἐκπυρωθῇ (τοῦτο [p] δ' ἐστίν, ἂν λε-
πτότερον τὸ πνεῦμα [q] γένηται), καλεῖται πρηστήρ· [r] συνεκ-
πίμπρησι γὰρ τὸν ἀέρα τῇ [s] πυρώσει χρωματίζων. Ἐὰν δ' 10
[t] ἐν αὐτῷ τῷ νέφει πολὺ καὶ λεπτὸν [v] ἐκθλιβῇ πνεῦμα, τοῦτο
γίνεται κεραυνός, [w] ἐὰν μὲν πάνυ λεπτόν, οὐκ [x] ἐπικάων διὰ
λεπτότητα, ὃν οἱ ποιηταὶ ἀργῆτα καλοῦσιν, [y] ἐὰν δ' ἧττον,
[x] ἐπικάων, ὃν ψολόεντα καλοῦσιν· ὁ μὲν [z] γὰρ διὰ [a] τὴν λε-
πτότητα φέρεται, διὰ δὲ τὸ τάχος φθάνει [b] διεξιὼν πρὶν ἐκ-
πυρῶσαι καὶ [c] ἐπιδιατρίψας μελᾶναι· ὁ δὲ [d] βραδύτερος

[z] ἀεὶ ἐνταῦθα F, καὶ ἐνταῦθα ἀεὶ H.N. [a] κάτω δὲ φέρεται F.H.N. [b] βορίοις E, οριοις N. [c] εἶναι ταῦτα F.H.N. [d] πνεύματα] ὑγρὰ καὶ ψυχρὰ F. [e] θερμὴν εἶναι καὶ ξηρὰν N. [f] εὐθὺς om. E. [g] δὲ] γὰρ E.F. [h] οὐδὲ γὰρ H. [i] ἦν νιφετὸς ἂν F. [k] εἶναι κρατούσης F. [l] οὖν] οὖν ὁ F.H. [m] ἐπὶ τῆς γῆς H.N, ἐπὶ γῆν F. [n] εὐθυθεωρίαν E. [o] πνεῖ F. [p] δ' ἐστὶν ἂν om. E. [q] γίνηται N. [r] ἐκπίμπρησι E, συνεμπίμπρησι F. [s] πυκνώσει pr. F. [t] ἐν om. E. [v] ἐκληφθῇ pr. F. [w] ἂν F.H.N. [x] ἐπικᾶον F.H.N. [y] ἂν F. [z] γὰρ om N. [a] τὴν om. H.N. [b] διϊὼν F. [c] ἐπιτρίψας N. [d] βραδ.] διὰ τὴν βραδύτητα F.

11 ἔχρωσε μέν, ἔκαυσε δ' οὔ, ἀλλ' ἔφθασε [e] διιών. Διὸ καὶ τὰ
μὲν ἀντιτυπήσαντα πάσχει τι, τὰ δὲ μὴ οὐθέν, οἷον ἀσπίδος
[f] ἤδη τὸ μὲν χάλκωμα ἐτάκη, τὸ δὲ ξύλον οὐθὲν ἔπαθεν· διὰ
γὰρ μανότητα ἔφθασε τὸ πνεῦμα διηθηθὲν καὶ διελθόν· καὶ
δι' ἱματίων ὁμοίως [g] οὐ κατέκαυσεν, ἀλλ' οἷον τρύχος ἐποί-
ησεν· ὥστε ὅτι γε πνεύματα ταῦτα [h] πάντα, δῆλον [i] καὶ ἐκ
12 τῶν [k] τοιούτων. Ἔστι δ' ἐνίοτε [l] καὶ τοῖς ὄμμασι θεωρεῖν,
οἷον καὶ νῦν [m] συνέβαινε περὶ τὸν ἐν Ἐφέσῳ ναὸν καόμενον·
[n] πολλαχῇ γὰρ [o] ἡ φλὸξ ἐφέρετο συνεχής, ἀποσπωμένη χω-
ρίς. Ὅτι μὲν γὰρ ὅ τε καπνὸς [p] πνεῦμα καὶ [q] κάεται ὁ κα-
πνός, φανερόν, καὶ εἴρηται [r] ἐν ἑτέροις πρότερον· ὅταν δ'
13 ἀθρόον χωρῇ, τότε φανερῶς δοκεῖ πνεῦμα εἶναι. Ὅπερ οὖν
ἐν ταῖς μικραῖς πυρκαϊαῖς φαίνεται, τοῦτο καὶ τότε πολλῆς
ὕλης [s] καομένης [t] ἐγίγνετο πολλῷ ἰσχυρότερον. Ῥηγνυμένων
οὖν τῶν ξύλων, ὅθεν ἡ ἀρχὴ τοῦ πνεύματος ἦν, πολὺ ἐχώρει
ἀθρόον, [v] ᾗ ἐξέπνει, καὶ [w] ἐφέρετο [x] ἄνω [y] πεπυρωμένον, ὥστ'
ἐφαίνετο ἡ φλὸξ φέρεσθαι καὶ [z] εἰσπίπτειν [a] εἰς τὰς οἰκίας.
14 Ἀεὶ γὰρ οἴεσθαι δεῖ [b] συνακολουθεῖν τοῖς κεραυνοῖς πνεῦμα
καὶ προϊέναι· ἀλλ' οὐχ ὁρᾶται διὰ τὸ ἀχρωμάτιστον [c] εἶναι.
Διὸ καὶ ᾗ μέλλει πατάξειν, κινεῖται πρὶν πληγῆναι, ἅτε πρό-
15 τερον προσπίπτουσης τῆς ἀρχῆς τοῦ πνεύματος. Καὶ αἱ
βρονταὶ δὲ [d] καὶ ἀστραπαὶ διιστᾶσιν οὐ τῷ ψόφῳ, ἀλλ' ὅτι
ἅμα συνεκκρίνεται τὸ τὴν πληγὴν ποιῆσαν καὶ τὸν ψόφον
πνεῦμα· ὃ ἐὰν [e] πατάξῃ, διέστησεν, [f] ἐπέκαυσε δ' οὔ. Περὶ
μὲν οὖν βροντῆς καὶ ἀστραπῆς καὶ ἐκνεφίου, ἔτι [g] δὲ πρηστή-
ρων [h] τε καὶ τυφώνων καὶ κεραυνῶν, εἴρηται, καὶ ὅτι ταὐτὸ
πάντα, καὶ τίς ἡ [i] διαφορὰ αὐτῶν.

[e] διιὼν] διελθεῖν N, om. F.H. [f] ἤδη om. F. [g] οὐκ ἔκαυσεν E.H.N. [h] πάντα om. H.N. [i] καὶ om. F. [k] τοιούτων ἐστίν. ἔστι N. [l] καὶ ἐν τοῖς E. [m] συνέβαινε] ἐθεωροῦμεν E.H.N. [n] πολλαχοῦ N. [o] ἐφέρετο ἡ φλὸξ F, ἡ φλὸξ ἐφαίνετο N. [p] πνεύματα F. [q] καίεται F.H.N. [r] ἐν ἄλλοις πρότερον H.N, πρότερον ἐν ἑτέροις F. [s] καιομένης F.H.N. [t] ἐγένετο H.N. [v] ᾗ] καὶ N. [w] ἐφαίνετο N. [x] ἂν pr. E. [y] πυρούμενον F. [z] εἰσέπιπτεν E.N. [a] εἰς om. F. [b] ἐπακολουθεῖν F. [c] εἶναι om. N. [d] καὶ ἀστραπαὶ om. F.N, καὶ αἱ ἀστραπαὶ margo H. [e] παρατάξῃ E. [f] ἔκαυσε H.N. [g] δὲ περὶ πρηστήρων H. [h] τε om. F. [i] διαφορὰ πάντων αὐτῶν E.F.

Περὶ δὲ ἅλω καὶ ἴριδος, τί θ' ἑκάτερον καὶ διὰ τίν' αἰτίαν 2
γίγνεται, λέγωμεν, καὶ περὶ παρηλίων καὶ ῥάβδων· καὶ γὰρ
ταῦτα γίγνεται πάντα διὰ τὰς [k] αὐτὰς αἰτίας ἀλλήλοις.
Πρῶτον δὲ [l] δεῖ λαβεῖν τὰ πάθη καὶ τὰ συμβαίνοντα περὶ
ἕκαστον αὐτῶν. Τῆς μὲν [m] οὖν ἅλω φαίνεται πολλάκις κύ- 2
κλος ὅλος, καὶ γίγνεται περὶ ἥλιον καὶ σελήνην καὶ περὶ τὰ
λαμπρὰ τῶν ἄστρων, ἔτι δ' οὐθὲν ἧττον νυκτὸς ἢ ἡμέρας καὶ
περὶ μεσημβρίαν ἢ δείλην· [n] ἕωθεν δ' [o] ἐλαττονάκις καὶ περὶ
δύσιν. Τῆς δ' ἴριδος οὐδέποτε γίνεται κύκλος οὐδὲ μεῖζον 3
ἡμικυκλίου τμῆμα· καὶ δύνοντος μὲν καὶ ἀνατέλλοντος ἐλα-
χίστου μὲν κύκλου, μεγίστη [p] δ' ἡ ἀψίς, [q] αἰρομένου δὲ μᾶλ-
λον κύκλου μὲν μείζονος, ἐλάττων [p] δ' ἡ ἀψίς· καὶ [r] μετὰ
μὲν τὴν [s] ὀπωρινὴν ἰσημερίαν, [t] ἐν ταῖς [v] βραχυτέραις ἡμέ-
ραις, πᾶσαν ὥραν γίγνεται τῆς ἡμέρας, ἐν δὲ ταῖς θεριναῖς
οὐ γίγνεται περὶ μεσημβρίαν. [w] Οὐδὲ δυοῖν πλείους ἴριδες 4
γίνονται ἅμα. Τούτων δὲ [x] τρίχρως μὲν ἑκατέρα, [y] καὶ τὰ
χρώματα ταὐτὰ καὶ ἴσα τὸν ἀριθμὸν ἔχουσιν ἀλλήλαις, ἀμυ-
δρότερα [z] δ' ἐν τῇ ἐκτὸς καὶ ἐξ ἐναντίας κείμενα κατὰ τὴν
θέσιν. Ἡ μὲν γὰρ ἐντὸς τὴν πρώτην ἔχει περιφέρειαν τὴν
μεγίστην [a] φοινικίαν, ἡ δ' ἔξωθεν τὴν ἐλαχίστην μὲν ἐγγύ-
τατα δὲ πρὸς ταύτην, καὶ τὰς ἄλλας ἀνάλογον. Ἔστι δὲ 5
τὰ χρώματα ταῦτα ἅπερ μόνα σχεδὸν οὐ δύνανται ποιεῖν οἱ
[b] γραφῆς· ἔνια γὰρ αὐτοὶ κεραννύουσι, τὸ δὲ φοινικοῦν καὶ
πράσινον καὶ [c] ἁλουργὸν οὐ γίγνεται [d] κεραννύμενον· ἡ δὲ
ἶρις ταῦτ' ἔχει τὰ χρώματα. Τὸ δὲ μεταξὺ [e] τοῦ φοινικοῦ
[f] καὶ πρασίνου φαίνεται πολλάκις ξανθόν. Παρήλιοι δὲ καὶ 6
ῥάβδοι γίνονται ἐκ πλαγίας ἀεὶ καὶ οὔτ' ἄνωθεν [g] οὔτε πρὸς
[h] τῇ γῇ [i] οὔτ' ἐξ ἐναντίας, [k] οὐδὲ δὴ νύκτωρ, ἀλλ' ἀεὶ περὶ τὸν

[k] αὐτὰς] προειρημένας pr. F. [l] λαβεῖν δεῖ F, δεῖ λαμβάνειν E. [m] οὖν om. N. [n] εἴωθεν E. [o] ἔλαττον F. [p] δ' om. H.N. [q] αἰρουμένου E. [r] μετὰ] περὶ E. [s] μετοπωρινὴν F. [t] ἐν μὲν ταῖς N. [v] βραχυτάταις H. [w] οὐ δὴ δυοῖν N, οὐδὲ δὴ δυεῖν H. [x] τρίχως E. [y] καὶ τὰ] τὰ δὲ F. [z] δὲ τῆς ἐκτὸς καὶ ἀπεναντία F. [a] φοινικείαν F. [b] γραφεῖς F.H.N. et corr. E. [c] ἀλοΰγρον E. [d] κεραννυμένων N. [e] τοῦ om. E. [f] καὶ τοῦ πρ. H.N. [g] οὐδὲ H. [h] τῆς γῆς E. [i] οὐδὲ H N. [k] οὐδὲ δὴ νύκτωρ] νύκτωρ ὁμοίως οὐδαμῶς F.

ἥλιον, ἔτι [l]δ' ἢ αἰρομένου ἢ καταφερομένου· τὰ [m]πλεῖστα δὲ
πρὸς δυσμάς· μεσουρανοῦντος δὲ σπάνιόν [n]τι γέγονεν, οἷον ἐν
Βοσπόρῳ ποτὲ συνέπεσεν· δι' ὅλης γὰρ τῆς ἡμέρας συνανα-
7 σχόντες δύο παρήλιοι διετέλεσαν μέχρι δυσμῶν. Τὰ μὲν οὖν
περὶ ἕκαστον αὐτῶν συμβαίνοντα [o]ταῦτ' ἐστίν, τὸ δ' αἴτιον
τούτων ἁπάντων [p]ταὐτό· πάντα γὰρ ἀνάκλασις ταῦτ' ἐστίν.
Διαφέρουσι δὲ τοῖς τρόποις καὶ ἀφ' ὧν, καὶ ὡς συμβαίνει [q]τὴν
ἀνάκλασιν γίγνεσθαι πρὸς τὸν ἥλιον ἢ πρὸς ἄλλο τι τῶν
8 λαμπρῶν. Καὶ μεθ' ἡμέραν μὲν ἶρις γίγνεται, νύκτωρ δ'
ἀπὸ σελήνης, ὡς μὲν [r]οἱ ἀρχαῖοι [s]ᾤοντο, [t]οὐκ ἐγίγνετο· τοῦ-
το δ' ἔπαθον διὰ τὸ σπάνιον· ἐλάνθανε [v]γὰρ αὐτούς· γίνεται
9 μὲν γάρ, ὀλιγάκις δὲ γίγνεται. Τὸ δ' αἴτιον [w]ὅτι τ' ἐν τῷ
σκότει λανθάνει τὰ χρώματα, καὶ ἄλλα πολλὰ δεῖ συμπε-
σεῖν, καὶ ταῦτα πάντα ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνός· ἐν τῇ παν-
σελήνῳ γὰρ [x]γενέσθαι ἀνάγκη τὸ μέλλον ἔσεσθαι, καὶ τότε
ἀνατελλούσης ἢ δυνούσης. Διόπερ ἐν ἔτεσιν [y]ὑπὲρ τὰ πεν-
10 τήκοντα δὶς [z]ἐνετύχομεν μόνον. Ὅτι μὲν οὖν ἡ ὄψις ἀνα-
κλᾶται, ὥσπερ καὶ [a]ἀφ' ὕδατος, οὕτω καὶ ἀπὸ ἀέρος καὶ
πάντων τῶν ἐχόντων τὴν ἐπιφάνειαν λείαν, ἐκ τῶν [b]περὶ τὴν
ὄψιν δεικνυμένων δεῖ λαμβάνειν τὴν πίστιν, καὶ [c]διότι τῶν
ἐνόπτρων [d]ἐν ἐνίοις [e]μὲν καὶ τὰ σχήματα ἐμφαίνεται, ἐν
11 ἐνίοις δὲ τὰ χρώματα μόνον. Τοιαῦτα δ' ἐστὶν ὅσα μικρὰ
τῶν ἐνόπτρων, καὶ μηδεμίαν αἰσθητὴν ἔχει διαίρεσιν· ἐν γὰρ
τούτοις τὸ μὲν σχῆμα ἀδύνατον ἐμφαίνεσθαι (δόξει [f]γὰρ εἶ-
ναι διαιρετόν· πᾶν γὰρ σχῆμα ἅμα δοκεῖ σχῆμά [g]τε εἶναι
καὶ διαίρεσιν [h]ἔχειν), ἐπεὶ δ' ἐμφαίνεσθαί τι ἀναγκαῖον,
τοῦτο δ' ἀδύνατον, λείπεται τὸ χρῶμα μόνον ἐμφαίνεσθαι.
12 Τὸ δὲ χρῶμα ὁτὲ μὲν [i]λαμπρὸν φαίνεται τῶν λαμπρῶν, ὁτὲ

[l] δ' ἐπαιρομένου ἀεὶ ἢ κατ. F. [m] δὲ πλεῖστα H.N. [n] τι] εἰ H.N, om. F. [o] ταῦτ'] τάδ' E. [p] ταὐτόν N. [q] γίγνεσθαι τὴν ἀνάκλασιν F.H. [r] οἱ μὲν N. [s] οἴονται F. [t] οὐ γίγνεται F, οὐκ ἐγίνετο ἶρις margo H. [v] γὰρ] δὲ E. [w] ὅτι ἐν σκότει F. [x] γίγνεσθαι ἀνάγκη εἰ μέλλει ἔσε-σθαι F. [y] ὑπὲρ τὰ margo F. [z] ἔτυχε F. [a] ἀπὸ τοῦ ὕδατος N. [b] περί τε τὴν F. [c] ὅτι N. [d] ἐν om. H.N. [e] μὲν οὐ μόνον τὰ χρώ-ματα ἀλλὰ καὶ H.N. [f] γὰρ ἂν εἶναι F. [g] τε post ἅμα F. [h] ἔχειν πάντα ἐπεὶ H.N. [i] φαίνεται λαμπρὸν F.

δέ, ἢ τῷ μίγνυσθαι [k] τῷ τοῦ ἐνόπτρου ἢ διὰ τὴν ἀσθένειαν
τῆς ὄψεως, ἄλλου χρώματος ἐμποιεῖ φαντασίαν. [l] Ἔστω
δὲ περὶ [m] τούτων ἡμῖν τεθεωρημένον ἐν τοῖς περὶ τὰς αἰσθή-
σεις δεικνυμένοις· διὸ τὰ μὲν [n] λέγωμεν, τοῖς δ' ὡς ὑπάρχουσι
[o] χρησώμεθα αὐτῶν.

Πρῶτον δὲ περὶ τῆς ἅλω τοῦ σχήματος εἴπωμεν, διότι 3
[p] τε κύκλος γίνεται, καὶ διότι περὶ τὸν ἥλιον ἢ τὴν σελήνην,
ὁμοίως δὲ καὶ περί [q] τι τῶν ἄλλων ἄστρων· ὁ γὰρ αὐτὸς
[r] ἐπὶ πάντων ἁρμόσει λόγος. Γίγνεται μὲν οὖν ἡ ἀνάκλασις 2
τῆς ὄψεως συνισταμένου τοῦ ἀέρος καὶ τῆς ἀτμίδος εἰς νέφος,
ἐὰν [s] ὁμαλὴς καὶ μικρομερὴς [t] συνισταμένη τύχῃ. Διὸ καὶ
σημεῖον ἡ μὲν σύστασις ὕδατός ἐστιν, αἱ μέντοι διασπάσεις
[v] ἢ μαράνσεις, αὗται μὲν εὐδιῶν, αἱ δὲ διασπάσεις πνεύματος.
[w] Ἐὰν μὲν γὰρ μήτε καταμαρανθῇ μήτε διασπασθῇ, ἀλλ' 3
ἐαθῇ τὴν φύσιν [x] ἀπολαμβάνειν [y] τὴν [z] αὑτῆς, ὕδατος [a] εἰκό-
τως σημεῖόν ἐστιν· δηλοῖ [b] γὰρ ἤδη γίγνεσθαι τοιαύτην τὴν
σύστασιν, ἐξ ἧς τὸ συνεχὲς λαμβανούσης τῆς πυκνώσεως
ἀναγκαῖον εἰς ὕδωρ ἐλθεῖν. Διὸ καὶ μέλαιναι γίνονται τὴν 4
χρόαν αὗται μάλιστα τῶν ἄλλων. Ὅταν δὲ διασπασθῇ,
πνεύματος σημεῖον· ἡ γὰρ διαίρεσις ὑπὸ πνεύματος γέγονεν
ἤδη μὲν ὄντος, οὔπω δὲ παρόντος. Σημεῖον δὲ τούτου διότι 5
ἐντεῦθεν γίγνεται ὁ ἄνεμος, ὅθεν ἂν ἡ κυρία [c] γίγνηται [d] διά-
σπασις. Ἀπομαραινομένη δὲ εὐδίας· εἰ γὰρ [e] μὴ ἔχει πως
οὕτως ὁ ἀὴρ ὥστε κρατεῖν τοῦ ἐναπολαμβανομένου θερμοῦ
μηδ' [f] ἔρχεσθαι εἰς πύκνωσιν ὑδατώδη, δῆλον ὡς οὔπω [g] ἡ
ἀτμὶς ἀποκέκριται τῆς [h] ἀναθυμιάσεως τῆς ξηρᾶς καὶ πυρώ-
δους· τοῦτο δ' εὐδίας αἴτιον. [i] Πῶς μὲν οὖν ἔχοντος τοῦ ἀέ- 6
ρος γίγνεται ἡ ἀνάκλασις, εἴρηται. Ἀνακλᾶται δ' ἀπὸ τῆς

[k] τῷ τοῦ] τὸ τοῦ F. [l] ἔστι F. [m] τοῦτο E. [n] λέγομεν H, λέγοιμεν F. [o] χρησόμεθα H.N. [p] τε om. F. [q] τι om E.F, et in lacuna N. [r] ἐπὶ] διὰ F. [s] ὁμαλὸς F.N. [t] ἐπισυνισταμένη H. [v] ἢ] καὶ F. [w] ἐὰν γὰρ μηκέτι κατ. F. [x] ἀπολαβεῖν F. [y] τὴν om. F. [z] ἑαυτῆς H.N. [a] σημεῖον εἰκότως F. [b] γὰρ] δὲ F. [c] γένηται N. [d] διάστασις F. [e] μὴ δὲ διέκειτο (supra posito ἔχει) πως F. [f] ἔρχηται E. [g] ὁ ἀὴρ (supra posito ἡ ἀτμὶς) ἀποκέκριται τῆς ξηρᾶς καὶ πυρώδους ἀναθυμιάσεως F. [h] ἀναθ. ἀπὸ τῆς E.H.N. [i] πῶς] ὡς E.

συνισταμένης ἀχλύος περὶ τὸν ἥλιον ἢ τὴν σελήνην ἡ ὄψις·
διὸ οὐκ ἐξ ἐναντίας ὥσπερ [k] ἡ ἶρις φαίνεται. Πάντοθεν δ'
ὁμοίως ἀνακλωμένης [l] κύκλον ἀναγκαῖον εἶναι ἢ κύκλου μέρος·
ἀπὸ γὰρ τοῦ αὐτοῦ σημείου πρὸς τὸ αὐτὸ σημεῖον αἱ ἴσαι
7 κλασθήσονται ἐπὶ κύκλου [m] γραμμῆς ἀεί. Ἔστω γὰρ ἀπὸ
[n] τοῦ σημείου ἐφ' ᾧ τὸ Α πρὸς τὸ Β κεκλασμένη ἥ τε τὸ
Α Γ Β καὶ ἡ τὸ Α Ζ Β καὶ ἡ τὸ Α Δ Β· ἴσαι δ' αὗταί [o] τε
αἱ Α Γ Α Ζ Α Δ ἀλλήλαις, καὶ αἱ πρὸς [p] τὸ Β ἀλλήλαις,
[q] οἷον αἱ Γ Β Ζ Β Δ Β· καὶ ἐπεζεύχθω [r] ἡ Α Ε Β, ὥστε
τὰ τρίγωνα ἴσα· καὶ γὰρ ἐπ' ἴσης [s] τῆς Α Ε Β ἤχθωσαν [t] δὴ
κάθετοι ἐπὶ τὴν Α Ε Β ἐκ τῶν γωνιῶν, ἀπὸ μὲν τῆς Γ ἡ τὸ
Γ Ε, ἀπὸ δὲ τῆς Ζ ἡ τὸ Ζ Ε, ἀπὸ δὲ τῆς Δ ἡ τὸ Δ [v] Ε.
8 Ἴσαι [w] δὴ αὗται· ἐν ἴσοις γὰρ τριγώνοις καὶ ἐν ἑνὶ ἐπιπέδῳ
πᾶσαι· πρὸς [x] ὀρθὰς γὰρ πᾶσαι τῇ Α Ε Β, καὶ ἐφ' ἓν ση-
μεῖον τὸ Ε συνάπτουσιν. Κύκλος ἄρα [y] ἔσται ἡ [z] γραφο-
μένη, κέντρον δὲ τὸ Ε. Ἔστω [a] δὴ τὸ μὲν Β ὁ ἥλιος, τὸ δὲ
Α ἡ ὄψις, ἡ δὲ περὶ τὸ Γ Ζ Δ περιφέρεια τὸ νέφος ἀφ' οὗ
9 ἀνακλᾶται ἡ ὄψις πρὸς τὸν [b] ἥλιον. Δεῖ [c] δὲ νοεῖν συνεχῆ
τὰ ἔνοπτρα· ἀλλὰ διὰ [d] μικρότητα ἕκαστον μὲν ἀόρατον, τὸ
δ' ἐξ ἁπάντων ἓν εἶναι [e] δοκεῖ διὰ τὸ ἐφεξῆς. Φαίνεται [f] δὲ
τὸ μὲν λευκόν, ὁ ἥλιος, κύκλῳ συνεχῶς ἐν ἑκάστῳ φαινόμενος
τῶν ἐνόπτρων, καὶ μηδεμίαν ἔχων αἰσθητὴν διαίρεσιν, πρὸς
δὲ τῇ γῇ μᾶλλον διὰ [g] τὸ νηνεμώτερον εἶναι· πνεύματος γὰρ
10 ὄντος οὐκ εἶναι στάσιν [h] φανερόν. Παρὰ δὲ τοῦτο μέλαινα
ἡ ἐχομένη περιφέρεια, διὰ τὴν ἐκείνης λευκότητα δοκοῦσα
εἶναι [i] μελαντέρα. Πλεονάκις δὲ [k] γίγνονται αἱ ἅλῳ περὶ
τὴν σελήνην διὰ τὸ τὸν ἥλιον θερμότερον ὄντα θᾶττον δια-
λύειν τὰς συστάσεις τοῦ ἀέρος. Περὶ δὲ τοὺς ἀστέρας [l] γί-

[k] ἡ ante ἶρις om. F. [l] ἀνάγκη κύκλον F, ἀναγκαῖον κύκλον E. [m] γραμμαῖς N. [n] τοῦ αὐτοῦ σημείου F. [o] τε om. E. [p] τὸ] τῷ H. [q] οἷον —Δ Β om. E. [r] ἡ] ἡ τὸ F. [s] τῆς α ε β ἴσης F. [t] δὲ F. [v] Ε post Δ om. N. [w] δὴ] δὲ F.N. [x] ὀρθὴν F. [y] ἐστι F.N. [z] ἀναγραφομένη H.N. [a] δὴ] δὲ F.H. [b] ἥλιον ὧδε E, ubi versus quattuor patent diagrammati. [c] δὲ μὴ ἐννοεῖν F. [d] σμικρότητα F.H.N. [e] δοκεῖν F. [f] δὴ F. [g] τοῦ E. [h] φανεράν F. [i] μελανωτέρα H.N. [k] δείκνυνται F. [l] γίνεται E.N.

*νονται μὲν διὰ τὰς αὐτὰς αἰτίας, οὐ σημειώδεις δ' ὁμοίως, ὅτι
μικρὰς πάμπαν ἐπιδηλοῦσι τὰς συστάσεις καὶ οὔπω γονί-
μους.*

*Ἡ δ' ἶρις ὅτι μέν ἐστιν ἀνάκλασις, εἴρηται πρότερον·* 4
*ποία δέ τις ἀνάκλασις, καὶ πῶς καὶ διὰ τίν' αἰτίαν ἕκαστα
γίγνεται τῶν συμβαινόντων περὶ* [m] *ταύτην, λέγωμεν νῦν.
Ἀνακλωμένη* [n] *μὲν οὖν ἡ ὄψις ἀπὸ πάντων φαίνεται τῶν
λείων, τούτων δ' ἐστὶ καὶ ἀὴρ καὶ ὕδωρ. Γίγνεται δ' ἀπὸ
μὲν ἀέρος, ὅταν τύχῃ συνιστάμενος. Διὰ δὲ τὴν τῆς ὄψεως* 2
*ἀσθένειαν πολλάκις καὶ ἄνευ* [o] *συστάσεως ποιεῖ ἀνάκλασιν,
οἷόν ποτε συνέβαινέ* [p] *τινι πάθος ἠρέμα καὶ οὐκ ὀξὺ βλέ-
ποντι· ἀεὶ γὰρ εἴδωλον ἐδόκει προηγεῖσθαι βαδίζοντι αὐτῷ,
ἐξ ἐναντίας βλέπον πρὸς αὐτόν. Τοῦτο δ' ἔπασχε διὰ τὸ* 3
*τὴν ὄψιν ἀνακλᾶσθαι πρὸς αὐτόν· οὕτω γὰρ ἀσθενὴς ἦν καὶ
λεπτὴ πάμπαν ὑπὸ τῆς ἀρρωστίας, ὥστ' ἔνοπτρον ἐγίνετο
καὶ* [q] *ὁ πλησίον ἀήρ, καὶ οὐκ* [r] *ἐδύνατο ἀπωθεῖν* [s] *ὡς ὁ πόρρω
καὶ πυκνός. Διόπερ αἵ τ' ἄκραι ἀνεσπασμέναι φαίνονται ἐν* 4
*τῇ* [t] *θαλάττῃ, καὶ μείζω τὰ μεγέθη πάντων, ὅταν εὖροι
πνέωσι, καὶ τὰ ἐν ταῖς ἀχλύσιν, οἷον* [v] *καὶ ἥλιος καὶ ἄστρα
ἀνίσχοντα καὶ δύνοντα μᾶλλον ἢ μεσουρανοῦντα. Ἀπὸ δ'* 5
*ὕδατος μάλιστα ἀνακλᾶται, καὶ* [w] *ἀπὸ ἀρχομένου γίνεσθαι
μᾶλλον ἔτι ἢ ἀπ' ἀέρος· ἕκαστον γὰρ τῶν μορίων ἐξ ὧν γί-
νεται* [x] *συνισταμένων ἡ ψακὰς ἔνοπτρον ἀναγκαῖον* [y] *εἶναι
μᾶλλον τῆς ἀχλύος. Ἐπεὶ δὲ καὶ δῆλον καὶ εἴρηται πρό-* 6
*τερον ὅτι ἐν τοῖς τοιούτοις ἐνόπτροις τὸ χρῶμα μόνον ἐμ-
φαίνεται, τὸ δὲ σχῆμα ἄδηλον, ἀναγκαῖον,* [z] *ὅταν ἄρχηται
ὕειν καὶ ἤδη μὲν συνιστῆται εἰς* [a] *ψακάδας ὁ ἐν τοῖς νέφεσιν
ἀήρ, μήπω δ'* [b] *ὕῃ, ἐὰν ἐξ ἐναντίας ᾖ ὁ ἥλιος ἢ ἄλλο τι* [c] *οὕτω
λαμπρὸν ὥστε γίγνεσθαι ἔνοπτρον τὸ νέφος, καὶ τὴν ἀνά-*

[m] *αὐτὴν* F. [n] *μὲν* om. F. [o] *πυκνώσεως* F. [p] *τινι*] *τῳ* F. [q] *ὁ* om. F. [r] *ἠδύνατο* F.H. [s] *ὥσπερ ὁ πόρρω καὶ ὁ π. διὸ* F. [t] *θαλάσσῃ* F. [v] *καὶ*] *ὁ* F, om. cum ipso *ἥλιος* H.N. [w] *ἀπὸ* om. F. [x] *ἡ ψεκὰς συνισταμένων* H.N. *ψεκὰς* etiam F. [y] *μᾶλλον εἶναι* F. [z] *ὅτι* E. [a] *ψεκάδας* F.H.N. [b] *ὕει* F.H. [c] *λαμπρὸν οὕτως* F.

κλασιν γίνεσθαι [d] πρὸς τὸ λαμπρὸν ἐξ ἐναντίας, γίγνεσθαί
7 [e] τε ἔμφασιν χρώματος, [f] οὐ σχήματος. Ἑκάστου δ' [g] ὄντος
τῶν ἐνόπτρων μικροῦ καὶ ἀοράτου, τῆς δ' ἐξ ἁπάντων [h] αὐ-
τῶν συνεχείας [i] τοῦ μεγέθους ὁρωμένης, ἀνάγκη συνεχὲς μέ-
γεθος τοῦ αὐτοῦ φαίνεσθαι χρώματος· ἕκαστον γὰρ τῶν
8 ἐνόπτρων τὸ [k] αὐτὸ ἀποδίδωσι χρῶμα τῷ συνεχεῖ. Ὥστ'
[l] ἐπεὶ ταῦτ' ἐνδέχεται συμβαίνειν, ὅταν τοῦτον [m] ἔχῃ τὸν
τρόπον ὅ τε ἥλιος καὶ τὸ νέφος καὶ ἡμεῖς ὦμεν μεταξὺ αὐ-
τῶν, ἔσται διὰ τὴν ἀνάκλασιν ἔμφασίς τις. Ἀλλὰ μὴν καὶ
φαίνεται τότε καὶ [n] οὐκ ἄλλως ἐχόντων γιγνομένη ἡ ἶρις.
9 Ὅτι μὲν οὖν ἀνάκλασις [o] ἡ ἶρις τῆς ὄψεως πρὸς τὸν ἥλιόν
ἐστι, φανερόν· [p] διὸ καὶ ἐξ ἐναντίας ἀεὶ γίνεται, ἡ δ' [q] ἅλως
περὶ αὐτόν· καίτοι ἄμφω ἀνακλάσεις· ἀλλ' [r] ἥ γε τῶν χρω-
μάτων ποικιλία διαφέρει· ἡ μὲν γὰρ ἀφ' ὕδατος καὶ μέλανος
γίνεται ἀνάκλασις καὶ πόρρωθεν, ἡ δ' ἐγγύθεν καὶ ἀπ' ἀέρος
10 λευκοτέρου τὴν φύσιν. Φαίνεται δὲ τὸ λαμπρὸν διὰ τοῦ
μέλανος ἢ ἐν τῷ μέλανι (διαφέρει [s] γὰρ οὐθέν) [t] φοινικοῦν.
Ὁρᾶν δ' ἔξεστι τό γε τῶν χλωρῶν ξύλων πῦρ, ὡς [v] ἐρυθρὰν
ἔχει τὴν φλόγα διὰ τὸ [w] τῷ καπνῷ πολλῷ μεμῖχθαι τὸ πῦρ
λαμπρὸν ὂν καὶ λευκόν· καὶ δι' ἀχλύος καὶ καπνοῦ ὁ ἥλιος
11 φαίνεται φοινικοῦς. Διὸ ἡ μὲν τῆς ἴριδος ἀνάκλασις, ἡ μὲν
πρώτη τοιαύτην ἔχειν φαίνεται τὴν [x] χρόαν (ἀπὸ ῥανίδων
[y] γὰρ μικρῶν γίνεται ἡ ἀνάκλασις), ἡ δὲ [z] τῆς [a] ἅλω οὔ.
12 Περὶ δὲ τῶν ἄλλων χρωμάτων ὕστερον ἐροῦμεν. Ἔτι δὲ
περὶ αὐτὸν [b] μὲν τὸν ἥλιον οὐ γίνεται διατριβὴ τοιαύτης
συστάσεως, ἀλλ' ἢ ὕει ἢ διαλύεται. Ἐκ δὲ τῶν ἐναντίων ἐν
τῷ μεταξὺ τῆς τοῦ ὕδατος γενέσεως [c] γίνεταί τις χρόνος·

[d] πρὸς—γίγνεσθαι om. pr. E. [e] τε om. F.H.N. [f] οὐ σχήματος om. pr. E. [g] ὄντων E. [h] τούτων F. [i] τοῦ—ἐνόπτρων margo F. [k] αὐτὸ] ἑαυτοῦ H.N. [l] ἐπεὶ] εἰ E. [m] ἔχῃ τοῦτον F.H.N. [n] οὐκ om. H. [o] ἡ om. N. [p] διὸ καὶ] ἀλλ' ἡ μὲν H.N. [q] ἅλως ἀεὶ περὶ H. [r] ἡ μὲν τῇ τῶν H.N. [s] γὰρ om. E. [t] φοινικοῦν post μέλανι F, φοινικοῦ N. [v] ἔχει τὴν φλόγα ἐρυθρὰν H.N. [w] τῷ om. H.N. [x] χροιὰν H.N. [y] γὰρ om. F. [z] τῆς om. E.H.N. [a] ἄλλος N. [b] μὲν om. F. [c] ἐγγίνεται F.

[d] τούτου γὰρ μὴ συμβαίνοντος ἦσαν ἂν κεχρωματισμέναι αἱ
ἅλῳ ὥσπερ ἡ ἶρις. Νῦν δ' ὅλα μὲν οὐ γίγνεται τοιαύτην 13
ἔχοντα τὴν ἔμφασιν, οὐδὲ κύκλῳ, μικρὰ δὲ καὶ κατὰ μόριον,
αἳ καλοῦνται ῥάβδοι, ἐπεὶ εἰ συνίστατο τοιαύτη ἀχλὺς [e] οἵα
γένοιτ' [f] ἂν ὕδατος ἤ τινος ἄλλου μέλανος, καθάπερ [g] ἐλέγο-
μεν, ἐφαίνετο ἂν ἡ ἶρις [h] ὅλη, ὥσπερ ἡ περὶ τοὺς λύχνους.
Περὶ γὰρ τούτους τὰ πλεῖστα νοτίων [i] ὄντων ἶρις γίγνεται 14
τοῦ χειμῶνος, μάλιστα δὲ δήλη γίνεται τοῖς ὑγροὺς ἔχουσι
τοὺς ὀφθαλμούς· τούτων γὰρ ἡ ὄψις ταχὺ δι' ἀσθένειαν ἀνα-
κλᾶται. Γίγνεται δ' ἀπό [k] τε τῆς τοῦ ἀέρος ὑγρότητος καὶ 15
ἀπὸ λιγνύος τῆς ἀπὸ [l] τῆς φλογὸς ἀπορρεούσης [m] καὶ [n] μι-
γνυμένης· τότε γὰρ γίγνεται ἔνοπτρον, [o] καὶ διὰ τὴν μελα-
νίαν· καπνώδης γὰρ ἡ λιγνύς· τὸ δὲ τοῦ [p] λύχνου φῶς οὐ
λευκὸν ἀλλὰ πορφυροῦν φαίνεται κύκλῳ καὶ ἰριῶδες, φοινι-
κοῦν δ' οὔ· ἔστι γὰρ ἥ τε ὄψις ὀλίγη ἡ ἀνακλωμένη, καὶ
μέλαν τὸ ἔνοπτρον. Ἡ δ' ἀπὸ τῶν κωπῶν τῶν [q] ἀναφερο- 16
μένων ἐκ τῆς θαλάττης ἶρις τῇ μὲν θέσει τὸν αὐτὸν γίγνεται
τρόπον τῇ ἐν τῷ οὐρανῷ, [r] τὸ δὲ χρῶμα ὁμοιοτέρα τῇ περὶ
τοὺς λύχνους· οὐ γὰρ [s] φοινικῆν ἀλλὰ πορφυρᾶν ἔχουσα
φαίνεται τὴν χρόαν. Ἡ δ' ἀνάκλασις ἀπὸ τῶν μικροτάτων
μὲν συνεχῶν δὲ γίγνεται ῥανίδων· αὗται δ' ὕδωρ ἀποκεκρι-
μένον εἰσὶν ἤδη παντελῶς. Γίνεται δὲ [t] κἄν τις λεπταῖς ῥα- 17
νίσιν [v] ῥαίνῃ [w] εἴς τι τοιοῦτον χωρίον, ὃ [x] τὴν θέσιν πρὸς
[y] τὸν ἥλιον ἐστραμμένον ἐστί, καὶ τῇ μὲν ὁ ἥλιος [z] ἀνέχει τῇ
δὲ [a] σκιάζει· ἐν τῷ τοιούτῳ γάρ, ἐὰν εἴσω τις ῥαίνῃ, τῷ
ἑστῶτι [b] ἐκτός, [c] ᾗ ἐπαλλάττουσιν αἱ ἀκτῖνες καὶ ποιοῦσι
τὴν σκιάν, φαίνεται ἶρις. Ὁ δὲ τρόπος καὶ ἡ χρόα ὁμοία 18
καὶ τὸ αἴτιον τὸ αὐτὸ τῇ ἀπὸ τῶν κωπῶν· τῇ γὰρ χειρὶ

[d] τούτου—ἅλῳ] ἐπεὶ εἰ μὴ ἐγίγνετο ἦν ἂν κεχρωματισμένη ἡ ἅλως F. [e] οἵα om. E. [f] ἂν] ἀπὸ τοῦ F. [g] λέγομεν E.F.N. [h] ὕλη N. [i] ὄντων ἡ ἶρις N. [k] τε τοῦ ἀέρος δι' ὑγρότητα E. [l] τῆς ante φλ. om. H. [m] καὶ om. E. [n] ῥηγνυμένης pr. F. [o] καὶ om. H. [p] λύχνου καὶ τῆς αὐγῆς φῶς H.N. [q] ἀνακλωμένων pr. F. [r] τῷ δὲ χρώματι H.N. [s] φοινικῇ E, φοινικοῦν N. [t] κἄν τις] καὶ ἐν ταῖς H.N. [v] ῥαίνῃ om. F.H.N. [w] εἰς] ἐὰν N, ἐὰν ᾖ H. [x] τῇ θέσει H.N. [y] τὸν om. F. [z] ἀνέχῃ E. [a] σκιάζῃ E. [b] ἐντὸς E. [c] ᾗ] ὅπου margo F.

κώπῃ χρῆται ὁ ῥαίνων. Ὅτι δὲ τὸ χρῶμα τοιοῦτον, ἅμα
δῆλον ἔσται καὶ περὶ τῶν ἄλλων χρωμάτων τῆς φαντασίας,
19 [d] ἐκ τῶνδε. Δεῖ γὰρ νοήσαντας, ὥσπερ εἴρηται, καὶ ὑποθε-
μένους πρῶτον μὲν ὅτι τὸ λαμπρὸν ἐν τῷ μέλανι ἢ διὰ τοῦ
μέλανος χρῶμα ποιεῖ φοινικοῦν, δεύτερον δ' ὅτι ἡ ὄψις [e] ἐκτει-
νομένη ἀσθενεστέρα γίνεται καὶ ἐλάττων, τρίτον [f] δ' ὅτι τὸ
μέλαν οἷον ἀπόφασίς ἐστιν· τῷ γὰρ [g] ἐκλιπεῖν τὴν ὄψιν
φαίνεται μέλαν, διὸ τὰ πόρρω πάντα μελάντερα φαίνεται,
20 διὰ τὸ μὴ διικνεῖσθαι τὴν ὄψιν. Θεωρείσθω μὲν [h] οὖν ταῦτα
ἐκ τῶν περὶ τὰς αἰσθήσεις συμβαινόντων· ἐκείνων γὰρ ἴδιοι
οἱ περὶ τούτων λόγοι· νῦν δ' ὅσον ἀνάγκη, τοσοῦτον περὶ
αὐτῶν λέγωμεν. Φαίνεται [i] δ' οὖν διὰ ταύτην τὴν αἰτίαν τά
τε πόρρω μελάντερα καὶ ἐλάττω καὶ λειότερα, καὶ τὰ ἐν τοῖς
ἐνόπτροις, καὶ τὰ νέφη [k] μελάντερα βλέπουσιν εἰς τὸ ὕδωρ
21 ἢ εἰς αὐτὰ τὰ νέφη. Καὶ τοῦτο πάνυ ἐπιδήλως· διὰ γὰρ
τὴν ἀνάκλασιν ὀλίγῃ τῇ ὄψει θεωροῦνται. Διαφέρει δ' οὐ-
θὲν τὸ ὁρώμενον μεταβάλλειν ἢ τὴν ὄψιν· ἀμφοτέρως γὰρ
22 ἔσται [l] ταὐτόν. Πρὸς δὲ τούτοις δεῖ μὴ λεληθέναι καὶ τόδε·
συμβαίνει γὰρ ὅταν ᾖ τοῦ ἡλίου νέφος πλησίον, εἰς μὲν αὐτὸ
βλέποντι [m] μηδὲν φαίνεσθαι κεχρωματισμένον ἀλλ' εἶναι
λευκόν, ἐν δὲ τῷ ὕδατι [n] ταὐτὸ τοῦτο θεωροῦντι χρῶμά τι
23 ἔχειν τῆς ἴριδος. Δῆλον τοίνυν ὅτι ἡ ὄψις ὥσπερ καὶ τὸ
μέλαν κλωμένη δι' ἀσθένειαν [o] μελάντερον ποιεῖ φαίνεσθαι,
καὶ τὸ λευκὸν ἧττον λευκόν, καὶ προσάγει πρὸς τὸ μέλαν.
Ἡ μὲν οὖν ἰσχυροτέρα [p] ὄψις εἰς φοινικοῦν χρῶμα μετέβαλεν,
ἡ δ' ἐχομένη εἰς τὸ πράσινον, ἡ δ' ἔτι ἀσθενεστέρα εἰς τὸ
24 ἁλουργόν. [q] Ἐπὶ δὲ τὸ πλεῖον οὐκέτι φαίνεται, ἀλλ' ἐν τοῖς
τρισίν, ὥσπερ καὶ τῶν ἄλλων τὰ πλεῖστα, καὶ τούτων ἔσχε
τέλος· τῶν [r] δ' ἄλλων [s] ἀναίσθητος ἡ μεταβολή. Διὸ καὶ ἡ
25 ἶρις [t] τρίχρως φαίνεται, ἑκατέρα μέν, ἐναντίως δέ. Ἡ μὲν

[d] ἐκ] δῆλον ἐκ N. [e] ἀποτεινομένη F. [f] δ' om. F. [g] ἐκλείπειν F.H.N. [h] οὖν om. F. [i] δ' οὖν] γοῦν N. [k] μελανώτερα N. [l] ταὐτό E.H. [m] μηδὲ F.H. [n] αὐτὸ E.H.N. [o] μελάντερον om. E, post ποιεῖ ponit N. [p] ὄψις margo F. [q] ἐπεὶ F.H. [r] δ' om. E. [s] ἀναίσθητον N. [t] τριχῶς N.

οὖν πρώτη τὴν ἔξω [v] φοινικῆν ἔχει· ἀπὸ μεγίστης γὰρ περι-
φερείας πλείστη προσπίπτει [w] ἡ ὄψις πρὸς τὸν ἥλιον, μεγί-
στη δ' ἡ ἔξω· ἡ δ' ἐχομένη καὶ ἡ τρίτη ἀνάλογον. Ὥστ' εἰ
[x] τὰ περὶ τῶν χρωμάτων τῆς φαντασίας εἴρηται καλῶς,
ἀνάγκη τρίχρων τε εἶναι αὐτὴν καὶ τούτοις τοῖς χρώμασι κε-
χρῶσθαι [y] μόνοις. Τὸ δὲ ξανθὸν φαίνεται διὰ τὸ παρ' ἄλ- 26
ληλα φαίνεσθαι. Τὸ γὰρ φοινικοῦν παρὰ τὸ πράσινον λευ-
κὸν φαίνεται. Σημεῖον δὲ τούτου· ἐν γὰρ τῷ μελαντάτῳ
νέφει μάλιστα ἄκρατος γίνεται [z] ἡ ἶρις· συμβαίνει δὲ τότε
[a] ξανθότατον εἶναι δοκεῖν τὸ φοινικοῦν. Ἔστι δὲ τὸ ξανθὸν
ἐν τῇ ἴριδι χρῶμα μεταξὺ τοῦ τε φοινικοῦ [b] καὶ πρασίνου
χρώματος. Διὰ τὴν μελανίαν [c] οὖν τοῦ κύκλῳ νέφους ὅλον 27
αὐτοῦ φαίνεται τὸ [d] φοινικοῦν λευκόν· ἔστι γὰρ πρὸς [e] ἐκεῖνα
λευκόν. Καὶ πάλιν ἀπομαραινομένης τῆς ἴριδος [f] ἐγγυτάτω,
ὅταν λύηται τὸ φοινικοῦν· ἡ γὰρ νεφέλη λευκὴ οὖσα, προσ-
πίπτουσα παρὰ τὸ πράσινον, μεταβάλλει εἰς τὸ ξανθόν.
Μέγιστον δὲ σημεῖον τούτων ἡ ἀπὸ τῆς σελήνης ἶρις· φαίνε- 28
ται γὰρ λευκὴ πάμπαν. Γίγνεται δὲ τοῦτο, ὅτι ἔν τε τῷ
νέφει ζοφερῷ [g] ὄντι φαίνεται καὶ ἐν νυκτί. Ὥσπερ [h] οὖν πῦρ
ἐπὶ πῦρ, μέλαν παρὰ μέλαν ποιεῖ τὸ ἠρέμα λευκὸν παντελῶς
φαίνεσθαι λευκόν· τοῦτο δ' ἐστὶ τὸ [i] φοινικοῦν. Γίγνεται 29
δὲ τοῦτο [k] τὸ πάθος καταφανὲς καὶ ἐπὶ τῶν ἀνθῶν· ἐν γὰρ
τοῖς ὑφάσμασι καὶ ποικίλμασιν ἀμύθητον διαφέρει τῇ φαν-
τασίᾳ ἄλλα παρ' ἄλλα τιθέμενα [l] ἔνια τῶν χρωμάτων, οἷον
καὶ [m] τὰ πορφυρᾶ ἐν λευκοῖς ἢ μέλασιν ἐρίοις, [n] ἔτι δ' ἐν
αὐγῇ τοιᾳδὶ [o] ἢ τοιᾳδί· διὸ καὶ οἱ ποικιλταί φασι διαμαρτά-
νειν ἐργαζόμενοι πρὸς τὸν λύχνον πολλάκις τῶν [p] ἀνθῶν,
λαμβάνοντες ἕτερα ἀνθ' ἑτέρων. Διότι μὲν οὖν τρίχρως τε, 30

[v] φοινικίαν F. [w] ἡ om. E.H.N. [x] περὶ τὰ N. [y] μόνον E. [z] ἡ om. E.H.N. [a] ξανθότερον F.H.N. [b] καὶ τοῦ πρ. N. [c] οὖν] γὰρ H.N, om. E. [d] φοινικιοῦν E. [e] ἐκεῖνο corr. E. [f] ἐγγύτατα rc. E: pr. enim om. [g] ὄντι om. E.H.N. [h] οὖν πῦρ παρὰ μέλαν ποιεῖ H. et corr. N, οὖν παρὰ μέλαν πῦρ pr. N. vulgatam corr. E. [i] φοινικιοῦν E. [k] τὸ πάθος om. E. [l] ἔνια om. F.H.N. [m] τὰ om. E. [n] ἔστι E.N. [o] ἢ τοιᾳδί om. pr. E. [p] ἀνθῶν καὶ λανθάνειν λαμβ. pr. F.

καὶ ὅτι ἐκ τούτων φαίνεται τῶν χρωμάτων [q] μόνων ἡ ἶρις,
εἴρηται. Διπλῆ δὲ καὶ ἀμαυροτέρα τοῖς χρώμασιν ἡ περιέ-
χουσα, καὶ τῇ θέσει τὰς χρόας ἐξ ἐναντίας ἔχει κειμένας διὰ
31 τὴν αὐτὴν αἰτίαν. [r] Μακροτέραν γὰρ ἀποτεινομένη ἡ ὄψις
ὥσπερ τὸ πορρώτερον [s] ὁρᾷ, καὶ τὸ ἐνταῦθα τὸν αὐτὸν τρό-
πον. Ἀσθενεστέρα οὖν ἀπὸ τῆς ἔξωθεν ἡ ἀνάκλασις γίνεται
διὰ τὸ πορρώτερον ποιεῖσθαι τὴν ἀνάκλασιν, ὥστ' ἐλάττων
προσπίπτουσα τὰ χρώματα ποιεῖ ἀμαυρότερα φαίνεσθαι.
32 Καὶ ἀντεστραμμένως [t] δὴ διὰ τὸ [v] πλεῖον ἀπὸ τῆς ἐλάττονος
καὶ τῆς ἐντὸς περιφερείας προσπίπτειν πρὸς τὸν ἥλιον· ἐγ-
γυτέρω γὰρ τῆς ὄψεως [w] οὖσα ἀνακλᾶται ἀπὸ τῆς ἐγγυτάτω
περιφερείας τῆς πρώτης ἴριδος. Ἐγγυτάτω δ' ἐν τῇ ἔξωθεν
ἴριδι ἡ ἐλαχίστη περιφέρεια, [x] ὥστε [y] αὕτη ἕξει τὸ χρῶμα
33 [z] φοινικοῦν· ἡ δ' ἐχομένη καὶ [a] ἡ τρίτη κατὰ λόγον. Ἡ ἔξω
ἶρις ἐφ' ᾧ [b] τὸ Β, ἡ [c] ἔσω ἐφ' ᾧ τὸ Α· τὰ χρώματα δ', ἐφ'
[d] ᾧ τὸ [e] Γ, [z] φοινικοῦν, ἐφ' ᾧ τὸ [f] Δ, πράσινον, [g] ἐφ' ᾧ [h] Ε,
ἁλουργόν· τὸ [i] ξανθὸν δὲ φαίνεται ἐφ' [k] οὗ [l] τὸ Ζ. Τρεῖς δ'
οὐκέτι γίνονται, οὐδὲ πλείους ἴριδες διὰ τὸ καὶ τὴν δευτέραν
γίγνεσθαι ἀμαυροτέραν, ὥστε καὶ τὴν τρίτην ἀνάκλασιν πάμ-
παν ἀσθενῆ γίγνεσθαι καὶ ἀδυνατεῖν ἀφικνεῖσθαι πρὸς τὸν
ἥλιον.
5 Ὅτι δ' οὔτε κύκλον οἷόν τε [m] γίγνεσθαι τῆς ἴριδος οὔτε
μεῖζον ἡμικυκλίου τμῆμα, καὶ περὶ τῶν ἄλλων [n] τῶν συμβαί-
νόντων περὶ αὐτήν, ἐκ τοῦ διαγράμματος ἔσται θεωροῦσι δῆ-
2 λον. Ἡμισφαιρίου γὰρ ὄντος ἐπὶ τοῦ ὁρίζοντος κύκλου τοῦ
ἐφ' [o] ᾧ τὸ Α, κέντρου δὲ τοῦ Κ, ἄλλου δέ τινος ἀνατέλλοντος
σημείου ἐφ' [p] ᾧ τὸ Η, [q] ἐὰν [r] αἱ ἀπὸ τοῦ Κ γραμμαὶ κατὰ κῶ-

[q] μόνον E, μόνη N, idque post ἶρις. [r] μακροτέρα E.H.N, μακρότερον F. [s] ὁρᾶται E.H.N. [t] δὲ E. [v] πλείω F.H.N. et corr. E. [w] οὖσα om. E. [x] ὥστε om. pr. E. [y] αὐτῆς F. [z] φοινικιοῦν E. [a] ἡ ante τρίτη om. E. [b] τὸ om. F. [c] ἔσω ἡ πρώτη ἐφ' H.N. [d] ὧν F. [e] Γ] ε pr. N. [f] Δ] γ pr. N. [g] ἐφ' ᾧ om. pr. E. [h] Ε] θ F. et pr. N. [i] δὲ ξανθὸν F. [k] ᾧ H.N. [l] τὸ om. F. [m] γενέσθαι H.N. [n] τῶν ante συμβ. om. E. [o] οὗ E. [p] οὗ H. [q] ἂν E. [r] αἱ om. E.H.N.

*νον* [s]*ἐκπίπτουσαι* [t]*ποιῶσιν* [v]*ὥσπερ ἄξονα τὴν ἐφ'* [w]*ᾗ* [x]*ἡ* Η Κ,
[y]*καὶ ἀπὸ τοῦ* Κ *ἐπὶ τὸ* [z]Μ *ἐπιζευχθεῖσαι ἀνακλασθῶσιν ἀπὸ*
*τοῦ ἡμισφαιρίου ἐπὶ τὸ* Η, *ἐπὶ τὴν μείζω γωνίαν πρὸς κύ-*
*κλου περιφέρειαν προσπεσοῦνται* [a]*αἱ ἀπὸ τοῦ* [b]Κ· *καὶ ἐὰν*
*μὲν* [c]*ἐπ' ἀνατολῆς ᾖ ἐπὶ δύσεως τοῦ ἄστρου ἡ ἀνάκλασις γέ-*
*νηται, ἡμικύκλιον ἀπολη φθήσεται τοῦ κύκλου ὑπὸ τοῦ ὁρίζον-*
*τος τὸ ὑπὲρ γῆν γιγνόμενον,* [d]*ἐὰν δ' ἐπάνω,* [e]*ἔλαττον ἀεὶ*
[f]*ἡμικυκλίου.* 'Ἐλάχιστον *δ', ὅταν ἐπὶ τοῦ μεσημβρινοῦ γέ-* 3
*νηται τὸ ἄστρον.* [g]'Ἔστω *γὰρ ἐπ'* [h]*ἀνατολῆς πρῶτον, οὗ*
*τὸ* Η, *καὶ ἀνακεκλάσθω ἡ* Κ Μ *ἐπὶ τὸ* Η, *καὶ* [i]*τὸ ἐπίπεδον*
*ἐκβεβλήσθω* [k]*ἐν ᾧ τὸ* Α, *τὸ ἀπὸ τοῦ τριγώνου ἐν ᾧ τὸ*
Η Κ Μ. Κύκλος *οὖν ἡ τομὴ ἔσται τῆς σφαίρας.* 'Ὁ *μέ-*
*γιστος ἔστω* [l]*ὁ ἐφ' ᾧ* Α· *διοίσει γὰρ οὐθέν, ἂν ὁποιανοῦν*
*τῶν ἐπὶ τῆς* Η Κ *κατὰ τὸ τρίγωνον* [m]*τὸ* Κ Μ Η *ἐκβληθῇ* [n]*τὸ*
*ἐπίπεδον.* Αἱ *οὖν ἀπὸ* [o]*τῶν* [p]Η Κ *ἀναγόμεναι γραμμαὶ ἐν* 4
*τούτῳ τῷ λόγῳ οὐ συσταθήσονται τοῦ ἐφ' ᾧ* Α *ἡμικυκλίου*
*πρὸς ἄλλο καὶ ἄλλο σημεῖον· ἐπεὶ γὰρ τά τε* [q]Η Κ *σημεῖα*
*δέδοται, καὶ ἡ* [r]Κ Η *δεδομένη ἂν εἴη καὶ ἡ* Μ Η, *ὥστε καὶ* [s]*ὁ*
*λόγος τῆς* Μ Η *πρὸς* [t]*τὴν* Μ Κ. Δεδομένης *οὖν περιφε-*
*ρείας ἐφάψεται τὸ* Μ. 'Ἔστω [v]*δὴ αὕτη ἐφ' ἧς* [w]*τὰ* Ν Μ· 5
*ὥστε ἡ τομὴ τῶν περιφερειῶν δέδοται.* Πρὸς *ἄλλῃ δὲ τῇ*
*πρὸς τῇ* Μ Ν *περιφερείᾳ ἀπὸ τῶν* [x]*αὐτῶν σημείων ὁ αὐτὸς*
*λόγος ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὐ συνίσταται.* 'Ἐκκείσθω *οὖν*
*τις γραμμὴ ἡ* Δ Β, *καὶ τετμήσθω ὡς ἡ* Μ Η *πρὸς* Μ Κ, [y]*ἡ*
Δ *πρὸς τὸ* Β. Μείζων *δὲ ἡ* Μ Η *τῆς* [z]Μ Κ, *ἐπείπερ ἐπὶ* 6
*τὴν μείζω γωνίαν ἡ ἀνάκλασις τοῦ κώνου· ὑπὸ γὰρ τὴν μεί-*
*ζω γωνίαν ὑποτείνει* [a]*τὴν τοῦ* [b]Κ Μ Η *τριγώνου.* [c]Μείζων

[s] *ἐκπίπτωσιν* E, *ἐμπίπτουσαι* H.N. [t] *ποιοῦσιν* E. [v] *ὡσπερεὶ* F.H.N. [w] *ᾗ*] *ὧν* E. [x] *ἡ* om. N. [y] *καὶ* om. E. [z] Μ om. in lacuna N. [a] *αἱ* om. N. [b] Κ] *η* N. [c] *ἀπ'* N. [d] *ἂν* H.N. [e] *ἀεὶ ἔλαττον* F.H.N. [f] *ἡμικύκλιον* N. [g] *ἔστω γὰρ* om. pr. E. [h] *ἀνατολῇ* H. [i] *τὸ* post *καὶ* om. N. [k] *ἐν ᾧ τὸ* Α om. H.N. et pr. E. [l] *ὁ* ante *ἐφ'* om. E. [m] *τὸ* Κ Μ Η om. E. [n] *τὸ* om. H. [o] *τῶν*] *τοῦ* N, *τῆς* E. [p] Η Κ] *κέντρου* H. [q] *κ η* E. [r] *η κ* H: E. pr. om. *η*. [s] *ὁ* om. H.N. [t] *τὴν* om. E.F.H N. [v] *δὲ* F. [w] *τὰ*] *τὸ* F. [x] *αὐτῶν* om. E. [y] *ἡ* Δ—Μ Κ om. N. et pr. E. [z] *κ μ* F.H. [a] *τὴν* ante *τοῦ* om. E. [b] *μ κ η* H. [c] *μείζων*—Β margo E.F.

ἄρα καὶ ἡ Δ τῆς Β. Προσπεπορίσθω οὖν πρὸς τὴν Β, ἐφ'
ἧς τὸ Ζ· ὥστ' εἶναι ὅπερ τὴν Δ πρὸς [d]τὴν Β, τὴν ΒΖ πρὸς
7 [e]τὴν Δ. Εἶτα ὅπερ ἡ Ζ πρὸς [f]τὴν ΚΗ, ἡ τὸ Β πρὸς ἄλ-
λην πεποιήσθω τὴν ΚΠ, καὶ ἀπὸ τοῦ Π [g]ἐπὶ τὸ Μ ἐπε-
ζεύχθω ἡ τὸ ΜΠ. Ἔσται οὖν τὸ Π πόλος τοῦ κύκλου,
πρὸς ὃν αἱ ἀπὸ τοῦ Κ γραμμαὶ προσπίπτουσιν· ἔσται γὰρ
ὅπερ ἡ Ζ πρὸς [h]τὴν [i]ΚΗ, καὶ ἡ Β πρὸς [k]τὴν ΚΠ, καὶ ἡ
8 Δ πρὸς [k]τὴν [l]ΠΜ. Μὴ [m]γὰρ ἔστω, ἀλλ' ἢ πρὸς ἐλάττω
ἢ πρὸς μείζω τῆς [n]ΠΜ· [o]οὐθὲν γὰρ διοίσει. [p]Ἔστω
πρὸς ΠΡ. Τὸν αὐτὸν ἄρα λόγον αἱ ΗΚ καὶ ΚΠ καὶ [q]ἡ
ΠΡ πρὸς ἀλλήλας ἕξουσιν ὅνπερ αἱ ΔΒΖ. [r]Αἱ δὲ ΔΒΖ
ἀνάλογον ἦσαν, [s]ὅπερ ἡ Δ πρὸς Β, ἡ ΖΒ πρὸς Δ· ὥστε
ὅπερ ἡ ΠΗ πρὸς [t]τὴν ΠΡ, ἡ [v]τὸ ΠΡ πρὸς [w]τὴν [x]ΠΚ.
9 Ἂν οὖν ἀπὸ τῶν ΚΗ αἱ ΗΡ καὶ ΚΡ ἐπὶ τὸ Ρ ἐπιζευ-
χθῶσιν, αἱ ἐπιζευχθεῖσαι αὗται τὸν αὐτὸν ἕξουσι λόγον ὅνπερ
ἡ [y]ΠΗ πρὸς [z]τὴν ΠΡ· περὶ γὰρ τὴν αὐτὴν γωνίαν τὴν Π
ἀνάλογον αἵ τε τοῦ ΗΠΡ [a]τριγώνου [b]καὶ [c]τοῦ ΚΡΠ.
10 Ὥστε καὶ ἡ [d]ΠΡ πρὸς [e]τὴν [f]ΚΡ τὸν αὐτὸν ἕξει [g]λόγον,
καὶ [h]ἡ ΗΠ πρὸς [e]τὴν ΠΡ. Ἔχει δὲ καὶ ἡ ΜΗ πρὸς
[i]τὴν [k]ΜΚ [l]τὸν αὐτὸν λόγον ὅνπερ ἡ τὸ [m]Δ πρὸς [n]τὸ Β
ἀμφότεραι. Ὥστ' ἀπὸ τῶν ΗΚ σημείων οὐ μόνον πρὸς [o]τῇ
ΜΝ [p]περιφερείᾳ συσταθήσονται τὸν αὐτὸν ἔχουσαι λόγον,
11 ἀλλὰ καὶ ἄλλοθι· ὅπερ ἀδύνατον. Ἐπεὶ οὖν ἡ Δ οὔτε πρὸς
[q]ἐλάττω [r]τῆς [s]ΠΜ οὔτε πρὸς μείζω (ὁμοίως γὰρ [t]δείξο-
μεν), δῆλον ὅτι πρὸς αὐτὴν ἂν εἴη τὴν ἐφ' ᾗ ΜΠ. Ὥστ'

[d] τὴν Β] τὸ β rc. E: pr. enim om. [e] τὴν om. E. [f] τὴν] τὸ F. [g] ἐπὶ μὲν τὸ F.H. [h] τὴν om. E.F. [i] κ η καὶ ἀπὸ τοῦ π καὶ pr. F. [k] τὴν om. E.F.N. [l] μ π F.H. [m] ἔστω γὰρ F. [n] μ π F. [o] οὐδὲ H. [p] ἔστω γὰρ πρὸς H.N. [q] ἡ om. E. [r] αἱ δὲ ΔΒΖ om. E. [s] ὅπερ γρ. F, ὅνπερ E.H.N, ὅνπερ ἄρα F. [t] τὴν om. E. [v] τὸ om. F. [w] τὴν om. E. [x] κ π N. [y] η π F.H. [z] τὴν ante ΠΡ om. E. [a] τριγώνου] □ F. [b] καὶ ante τοῦ om. N. [c] τοῦ] αἱ τοῦ E. [d] Π post ἡ om. E. [e] τὴν utrumque om. E. [f] ΚΡ] π κ N. [g] λόγον ὃν καὶ F. [h] ἡ] ἡ τὸ E.H.N. [i] τὴν om. E.H.N. [k] κ μ F.H.N. [l] τοῦτον τὸν H.N, τοῦτον F. [m] Δ] δ ε κ μ N. [n] τὸ] τὴν F.H.N. [o] τῇ] τὴν F.N. [p] περιφέρειαν H.N. [q] ἔλαττον H.N. [r] τοῦ H. [s] μ π F.H.N. [t] δειχθήσεται F.H.N.

ἔσται ὅπερ ἡ Μ Π πρὸς [v] τὴν [w] Π Κ, ἡ [x] τὸ Π Η πρὸς τὴν
Μ Π, [y] καὶ λοιπὴ ἡ τὸ Μ Η πρὸς Μ Κ. [z] Ἂν οὖν τῷ ἐφ' 12
ᾧ [a] τὸ Π πόλῳ χρώμενος, διαστήματι [b] δὲ τῷ ἐφ' [c] ᾧ Μ Π,
κύκλος γραφῇ, ἁπασῶν ἐφάψεται τῶν γωνιῶν ἃς ἀνακλώμε-
ναι ποιοῦσιν αἱ ἀπὸ τοῦ [d] Μ Η κύκλου· εἰ δὲ μή, ὁμοίως
δειχθήσονται τὸν αὐτὸν ἔχουσαι λόγον [e] αἱ ἄλλοθι καὶ ἄλ-
λοθι τοῦ ἡμικυκλίου συνιστάμεναι, ὅπερ ἦν ἀδύνατον. [f] Ἂν 13
οὖν περιαγάγῃς [g] τὸ ἡμικύκλιον τὸ ἐφ' ᾧ τὸ Α περὶ τὴν ἐφ'
ᾗ Η Κ [h] Π διάμετρον, αἱ ἀπὸ τοῦ Η Κ ἀνακλώμεναι πρὸς τὸ
ἐφ' ᾧ τὸ [i] Μ ἐν πᾶσι τοῖς ἐπιπέδοις ὁμοίως ἕξουσι, καὶ ἴσην
ποιήσουσι γωνίαν τὴν Κ Μ Η. Καὶ ἣν [k] ποιοῦσι δὲ γωνίαν 14
αἱ Η Π καὶ Μ Π ἐπὶ τῆς Η Π, [l] ἀεὶ ἴση ἔσται. Τρίγωνα
οὖν ἐπὶ τῆς Η Π καὶ [m] Κ Π ἴσα τῷ Η Μ Π [n] καὶ Κ Μ Π
συνεστήκασιν. Τούτων δ' αἱ κάθετοι ἐπὶ τὸ αὐτὸ σημεῖον
πεσοῦνται τῆς Η Π καὶ ἴσαι ἔσονται. Πιπτέτωσαν ἐπὶ τὸ
Ο. Κέντρον ἄρα τοῦ κύκλου τὸ Ο, ἡμικύκλιον δὲ τὸ περὶ τὴν 15
Μ Ν ἀφῄρηται [o] ἀπὸ τοῦ ὁρίζοντος· [p] τῶν μὲν γὰρ ἄνω τὸν
ἥλιον οὐ κρατεῖν, τῶν δὲ [q] πρὸς τῇ γῇ στηριζομένων κρατεῖν,
καὶ διαχεῖν τὸν ἀέρα. Καὶ διὰ τοῦτο τὴν ἶριν οὐ συμβάλ-
λειν τὸν κύκλον. Γίνεσθαι δὲ καὶ νύκτωρ ἀπὸ τῆς σελήνης 16
ὀλιγάκις· οὔτε γὰρ ἀεὶ πλήρης, ἀσθενεστέρα τε τὴν φύσιν
ὥστε κρατεῖν τοῦ ἀέρος. Μάλιστα δ' ἵστασθαι τὴν ἶριν,
ὅπου μάλιστα κρατεῖται ὁ ἥλιος· πλείστη γὰρ ἐν [r] αὐτῇ
ἰκμὰς [s] ἐνέμεινεν. Πάλιν ἔστω [t] ὁ ὁρίζων μὲν ἐφ' οὗ [v] τὸ 17
Α Β Γ, ἐπανατεταλκέτω δὲ τὸ Η, ὁ δ' ἄξων ἔστω νῦν ἐφ' [w] ᾧ
τὸ Η Π. Τὰ μὲν οὖν ἄλλα πάντα ὁμοίως δειχθήσεται ὡς

[v] τὴν om. E.F. [w] κ π N. [x] τὸ om. F.H.N. [y] καὶ λοιπὴ— Μ Κ om. E.F.N. [z] ἐὰν N. [a] τὸ om. E. [b] δὲ om. F. [c] ᾧ] ἧς τὸ E. [d] μ α E.H, om. N. [e] αἱ om. E. [f] ἐὰν N. [g] τὸ ἡμικ.] τε ὡς (supra posito τὸ) ἡμικ. F. [h] Π om. N. [i] Μ] γ corr. N. [k] ποιήσουσι F.H.N. [l] ἀεὶ—Η Π om. pr. E. [m] Κ Π] η π E. [n] καὶ om. N, καὶ Κ Μ Π om. pr. E. [o] ὑπὸ N. [p] τῶν] τὰ N. τῶν μὲν — ἰκμὰς ἐνέμεινεν rc. margo E. [q] πρὸς τῇ γῇ στηριζομένων γρ. E, προσπεριζομένων F. et rc. E, περιζομένων H.N, διασκορπιζομένων margo H. [r] αὐτῇ ἡ ἰκμὰς F. [s] ἐνέμεινεν om. H.N. [t] ὁ om. F.N. [v] τὸ post οὗ om. E. [w] οὗ F.H.N.

*καὶ πρότερον, ὁ δὲ πόλος* [x] *τοῦ κύκλου* [y] *ὁ ἐφ' ᾧ* Π *κάτω*
*ἔσται τοῦ ὁρίζοντος τοῦ ἐφ' ᾧ τὸ* ΑΓ, *ἀρθέντος τοῦ ἐφ'* [z] *ᾧ*
18 *τὸ* Η *σημείου. Ἐπὶ δὲ τῆς αὐτῆς ὅ τε πόλος καὶ τὸ κέν-*
*τρον τοῦ κύκλου καὶ τὸ τοῦ ὁρίζοντος νῦν τὴν ἀνατολήν·*
*ἔστι γὰρ* [a] *οὗτος ἐφ' ᾧ τὸ* ΗΠ. *Ἐπεὶ δὲ τῆς διαμέτρου*
*τῆς* ΑΓ *τὸ* ΚΗ *ἐπάνω, τὸ κέντρον εἴη ἂν* [b] *ὑποκάτω τοῦ*
*ὁρίζοντος πρότερον τοῦ ἐφ' ᾧ τὸ* ΑΓ, *ἐπὶ τῆς* ΚΠ *γραμ-*
19 *μῆς, ἐφ' οὗ τὸ* Ο. *Ὥστ' ἔλαττον ἔσται τὸ ἐπάνω τμῆμα*
*ἡμικυκλίου* [c] *τὸ ἐφ' ᾧ* Ψ [d] ΥΩ· *τὸ* [e] *γαρ* [f] ΨΥΩ *ἡμικύκλιον*
*ἦν, νῦν δ' ἀποτέτμηται* [g] *ἀπὸ τοῦ* ΑΓ *ὁρίζοντος. Τὸ δὴ*
[h] ΥΩ *ἀφανὲς ἔσται ἐπαρθέντος* [i] *αὐτοῦ τοῦ* [k] *ἡλίου, ἐλάχιστον*
*δ', ὅταν ἐπὶ* [l] *μεσημβρίαν·* [m] *ὅσῳ γὰρ ἀνώτερον τὸ* Η, *κατώ-*
20 *τερος ὅ τε πόλος καὶ τὸ κέντρον τοῦ κύκλου* [n] *ἔσται. Ὅτι*
*δ' ἐν μὲν ταῖς ἐλάττοσιν ἡμέραις ταῖς μετ' ἰσημερίαν* [o] *τὴν*
*μετοπωρινὴν ἐνδέχεται* [p] *ἀεὶ γίγνεσθαι ἶριν, ἐν δὲ ταῖς μα-*
*κροτέραις ἡμέραις ταῖς ἀπὸ ἰσημερίας* [q] *τῆς ἑτέρας ἐπὶ τὴν*
[r] *ἰσημερίαν* [s] *τὴν ἑτέραν* [t] *περὶ μεσημβρίαν οὐ γίγνεται ἶρις,*
[v] *αἴτιον ὅτι τὰ μὲν πρὸς ἄρκτον τμήματα πάντα μείζω*
*ἡμικυκλίου καὶ* [w] *ἀεὶ ἐπὶ μείζω* [x] *ἡμικυκλίου, τὸ δ' ἀφανὲς*
*μικρόν, τὰ δὲ πρὸς μεσημβρίαν τμήματα τοῦ ἰσημερινοῦ, τὸ*
21 *μὲν ἄνω τμῆμα μικρόν, τὸ δ' ὑπὸ γῆν μέγα. Καὶ ἀεὶ δὴ*
[y] *τὰ πορρωτέρω μείζω· ὥστ' ἐν μὲν ταῖς πρὸς* [z] *τὰς θερινὰς*
*τροπὰς ἡμέραις διὰ τὸ μέγεθος τοῦ τμήματος, πρὶν ἐπὶ τὸ*
*μέσον ἐλθεῖν τοῦ τμήματος καὶ ἐπὶ* [a] *τὸ μεσημβρινὸν τὴν τὸ*
Η, *κάτω ἤδη* [b] *παντελῶς γίνεται* [c] *τὸ* Π, *διὰ τὸ πόρρω*
*ἀφεστάναι τῆς γῆς τὴν μεσημβρίαν διὰ τὸ* [d] *μέγεθος τοῦ*

[x] *τοῦ κύκλου* om. H.N. [y] *ὁ* om. N. [z] *οὗ* F. [a] *αὐτὸς* E. [b] *ὑπὸ τοῦ κάτω* N. [c] *τὸ*] *τοῦ* E.H. [d] ΥΩ om. F, Ω om. E.H.N. [e] *γὰρ*] *γ* N. [f] *ψυον* E. [g] *ὑπὸ* H.N. [h] ΥΩ] *ου* F.H.N. [i] *αὐτοῦ* om. F, ante *ἐπαρθέντος* ponunt H.N. [k] *ἡλίου ἐπὶ ἐλάχιστον* E. [l] *μεσημβρίας* N. [m] *ὅσον* H. [n] *ἔσται* om. E. [o] *τὴν* om. E. [p] *ἀεὶ* om. E. [q] *τῆς ἑτέρας* om. H.N. [r] *ἰσημερίαν* om. E. [s] *τὴν* om. E.N. [t] *περὶ*] *πρὸς* H.N, om. cum ipso *μεσημβρίαν* E. [v] *αἴτιον δ' ὅτι* E. [w] *αἰεὶ* F.H, om. E. [x] *ἡμικυκλίου* om. E. [y] *τὰ πορρωτερον μείζω* E, *μείζω τὰ πορρωτέρω* F, *μείζω τὰ πορρώτερα* H.N. [z] *τὰς* om. E.F. [a] *τὸν μεσ.* N. [b] *τελέως* F.H.N. [c] *τὸ*] *ἢ τὸ* F.H.N. [d] *μέγεθος*] *μέρος* N.

*τμήματος. Ἐν δὲ ταῖς πρὸς τὰς χειμερινὰς τροπὰς ἡμέραις,* 22
*διὰ τὸ μὴ πολὺ ὑπὲρ γῆς εἶναι τὰ τμήματα τῶν κύκλων,*
*τοὐναντίον ἀναγκαῖον γίγνεσθαι· βραχὺ γὰρ ἀρθείσης* [e]*τῆς*
*ἐφ' ᾧ τὸ* Η, *ἐπὶ τῆς μεσημβρίας γίγνεται ὁ ἥλιος.*

*Τὰς δ' αὐτὰς αἰτίας ὑπολητπτέον καὶ* [f]*περὶ* [g]*παρηλίου* 6
*καὶ ῥάβδων* [h]*ταῖς εἰρημέναις. Γίνεται γὰρ παρήλιος μὲν*
*ἀνακλωμένης τῆς ὄψεως πρὸς τὸν* [i]*ἥλιον, ῥάβδοι δὲ διὰ τὸ*
*προσπίπτειν τοιαύτην οὖσαν* [k]*τὴν ὄψιν, οἵαν εἴπομεν* [l]*ἀεὶ*
*γίγνεσθαι, ὅταν πλησίον ὄντων τοῦ ἡλίου νεφῶν ἀπό τινος*
*ἀνακλασθῇ τῶν ὑγρῶν πρὸς τὸ νέφος· φαίνεται γὰρ αὐτὰ*
*μὲν ἀχρωμάτιστα τὰ νέφη κατ' εὐθυωρίαν εἰσβλέπουσιν, ἐν*
*δὲ τῷ ὕδατι ῥάβδων μεστὸν τὸ νέφος· πλὴν τότε μὲν ἐν τῷ*
*ὕδατι δοκεῖ τὸ χρῶμα τοῦ νέφους εἶναι, ἐν δὲ ταῖς ῥάβδοις*
*ἐπ' αὐτοῦ τοῦ νέφους. Γίγνεται δὲ τοῦτο, ὅταν ἀνώμαλος* 2
[m]*ἡ τοῦ νέφους* [n]*ᾖ σύστασις, καὶ τῇ μὲν* [o]*πυκνὸν τῇ δὲ μανόν,*
*καὶ τῇ μὲν ὑδατωδέστερον τῇ δ' ἧττον· ἀνακλασθείσης γὰρ*
*τῆς ὄψεως πρὸς τὸν ἥλιον, τὸ σχῆμα μὲν* [p]*τοῦ ἡλίου οὐχ*
*ὁρᾶται* [q]*διὰ μικρότητα τῶν ἐνόπτρων, τὸ δὲ χρῶμα* [r]*διὰ τὸ*
[s]*ἐν ἀνωμάλῳ φαίνεσθαι λαμπρὸν καὶ λευκὸν τὸν ἥλιον, πρὸς*
*ὃν ἀνεκλάσθη ἡ ὄψις, τὸ μὲν* [t]*φοινικοῦν φαίνεται, τὸ δὲ*
*πράσινον ἢ ξανθόν. Διαφέρει γὰρ οὐθὲν διὰ τοιούτων* [v]*ὁρᾶν* 3
*ἢ ἀπὸ τοιούτων ἀνακλωμένην· ἀμφοτέρως γὰρ φαίνεται τὴν*
*χρόαν ὅμοιον, ὥστ' εἰ κἀκείνως* [t]*φοινικοῦν, καὶ οὕτως. Αἱ*
*μὲν οὖν ῥάβδοι γίγνονται δι' ἀνωμαλίαν τοῦ ἐνόπτρου οὐ τῷ*
*σχήματι ἀλλὰ τῷ χρώματι, ὁ δὲ παρήλιος, ὅταν ὅτι μά-*
*λιστα ὁμαλὸς ᾖ ὁ ἀὴρ καὶ πυκνὸς ὁμοίως· διὸ φαίνεται λευ-*
*κός. Ἡ μὲν γὰρ ὁμαλότης τοῦ ἐνόπτρου ποιεῖ χρόαν μίαν* 4
*τῆς ἐμφάσεως· ἡ δ' ἀνάκλασις ἀθρόας τῆς ὄψεως, διὰ τὸ*

[e] *τῆς ἐφ'*] *τῆς τε ἐφ'* F, *τῆς γῆς ἐφ'* E. [f] *περὶ* om. N. [g] *παρηλίων* F.H, *παρ' ἡλίων* N. [h] *τὰς εἰρημένας* E. [i] *ἥλιον ἀπό τινος ὑποκειμένου νέφους ῥ.* rc. E. [k] *τὴν ὄψιν τοιαύτην*, omisso *οὖσαν*, N. [l] *γίγνεσθαι ἀεὶ* N. [m] *ᾖ τοῦ νέφους ἡ* F. [n] *σύστασις ᾖ* H.N. [o] *πυκνότερον* F.H.N. [p] *τοῦ ἡλίου* om. E.F. [q] *διὰ—ἐνόπτρων* om. E.F, *τῶν ἐνόπτρων ὄντων μικρῶν* margo F. [r] *διὰ δὲ τὸ* F.H.N. [s] *ἐν* om. E. [t] *φοινικιοῦν* E. [v] *ὁρᾶν ἢ ἀπὸ τοιούτων* om. pr. E.

*ἅμα προσπίπτειν πρὸς* [w]*τὸν ἥλιον ἀπὸ πυκνῆς οὔσης τῆς
ἀχλύος, καὶ οὔπω μὲν οὔσης ὕδωρ ἐγγὺς δ' ὕδατος,* [x]*τὸ ὑπάρ-
χον τῷ ἡλίῳ ἐμφαίνεσθαι χρῶμα ποιεῖ, ὥσπερ ἀπὸ χαλκοῦ*
5 *λείου* [y]*κλωμένης διὰ τὴν πυκνότητα. Ὥστ' ἐπεὶ τὸ χρῶμα
τοῦ ἡλίου λευκόν, καὶ ὁ παρήλιος φαίνεται λευκός. Διὰ δὲ
τὸ αὐτὸ τοῦτο μᾶλλον ὕδατος σημεῖον ὁ παρήλιος τῶν
ῥάβδων· μᾶλλον γὰρ συμβαίνει τὸν ἀέρα* [z]*εὐεργῶς ἔχειν
πρὸς γένεσιν ὕδατος. Ὁ δὲ νότιος τοῦ βορείου μᾶλλον, ὅτι
μᾶλλον ὁ νότιος ἀὴρ εἰς ὕδωρ μεταβάλλει τοῦ πρὸς ἄρκτον.*
6 *Γίγνονται δ' ὥσπερ εἴπομεν, περί τε* [a]*τὰς δυσμὰς καὶ* [b]*περὶ
τὰς ἀνατολάς, καὶ οὔτ' ἄνωθεν οὔτε κάτωθεν, ἀλλ' ἐκ τῶν
πλαγίων καὶ ῥάβδοι καὶ παρήλιοι· καὶ οὔτ'* [c]*ἐγγὺς τοῦ
ἡλίου λίαν οὔτε πόρρω παντελῶς· ἐγγὺς μὲν γὰρ οὖσαν ὁ
ἥλιος* [d]*διαλύει τὴν σύστασιν, πόρρω δ' οὔσης ἡ ὄψις οὐκ
ἀνακλασθήσεται· ἀπὸ* [e]*γὰρ μικροῦ ἐνόπτρου πόρρω ἀπο-*
7 *τεινομένη ἀσθενὴς γίγνεται. Διὸ καὶ αἱ* [f]*ἅλῳ οὐ γίγνονται
ἐξ ἐναντίας τοῦ ἡλίου. Ἄνω μὲν οὖν ἐὰν γίγνηται καὶ
ἐγγύς, διαλύσει ὁ ἥλιος· ἐὰν δὲ πόρρω, ἐλάττων ἡ ὄψις*
8 [g]*οὖσα ἢ ὥστε ποιεῖν ἀνάκλασιν οὐ προσπεσεῖται. Ἐν δὲ
τῷ πλαγίῳ* [h]*ὑπὸ τὸν ἥλιόν ἐστι τοσοῦτον* [i]*ἀποστῆναι τὸ
ἔνοπτρον, ὥστε μήτε τὸν ἥλιον διαλῦσαι, τήν τε ὄψιν
ἀθρόαν* [k]*ἐλθεῖν, διὰ τὸ πρὸς τὴν γῆν φερομένην μὴ* [l]*δικνεῖ-
σθαι ὥσπερ δι' ἀχανοῦς φερομένην. Ὑπὸ δὲ τὸν ἥλιον οὐ
γίγνεται διὰ τὸ πλησίον μὲν τῆς γῆς διαλύεσθαι* [m]*ἂν ὑπὸ
τοῦ ἡλίου, ἄνω δὲ μεσουρανίου* [n]*ὄντος τὴν ὄψιν διασπᾶσθαι.*
9 *Καὶ ὅλως οὐδ' ἐκ* [o]*πλαγίας μεσουρανίου γίγνεται· ἡ γὰρ
ὄψις οὐχ ὑπὸ τὴν γῆν φέρεται, ὥστ' ὀλίγη ἀφικνεῖται πρὸς
τὸ ἔνοπτρον, καὶ ἡ ἀνακλωμένη γίγνεται πάμπαν ἀσθενής.*

[w] *τὸν ἥλιον*] *τὴν ἀχλὺν* E.F, *τὸν ἥλιον τὴν ἀχλὺν* H. [x] *τὸ*] *διὰ τὸ* E.F. [y] *ἀνακλωμένης* margo F. [z] *ἐναργῶς* pr. F. [a] *τὰς* post *τε* om. E.H.N. [b] *περὶ* om. E. [c] *ἐγγὺς*] *εὐθὺς* E. [d] *διαλύσει* E. [e] *γὰρ* om. E, post *μικροῦ* ponit F. [f] *ἅλως* N. [g] *οὖσα* ante *ἡ* N, om. H. [h] *ὑπὸ τὸν ἥλιον* om. F.H.N. [i] *ἀπωσθῆναι* N. [k] *διελθεῖν* E. [l] *διασπᾶσθαι* E, *δύνασθαι δικνεῖσθαι* rc. F.H, *δύνασθαι ἀφικνεῖσθαι* N. et pr. H. [m] *ἂν* om. E. [n] *ὄντος*] *διὰ τὸ* H.N, om. F. [o] *πλαγίου* F.H.N.

ˈὍσα μὲν οὖν ἔργα συμβαίνει παρέχεσθαι τὴν ἔκκρισιν ἐν
τοῖς τόποις τοῖς ὑπὲρ [p] τῆς γῆς, σχεδόν ἐστι τοσαῦτα καὶ
τοιαῦτα.

ˈὍσα δ' ἐν αὐτῇ τῇ γῇ, [q] ἐγκατακλειομένη [r] τοῖς τῆς 10
γῆς [s] μέρεσιν, ἀπεργάζεται, λεκτέον. Ποιεῖ γὰρ δύο δια-
φορὰς σωμάτων [t] διὰ τὸ διπλῆ πεφυκέναι καὶ αὐτή, καθά-
περ καὶ ἐν τῷ μετεώρῳ· δύο μὲν γὰρ [v] αἱ ἀναθυμιάσεις, ἡ
μὲν ἀτμιδώδης ἡ δὲ καπνώδης, ὥς φαμεν, [w] εἰσίν· δύο δὲ
[x] καὶ τὰ εἴδη τῶν [y] ἐν τῇ γῇ γινομένων, τὰ μὲν ὀρυκτὰ τὰ
[z] δὲ μεταλλευτά. ˈΗ μὲν οὖν ξηρὰ ἀναθυμίασίς [a] ἐστιν ἥ τις 11
ἐκπυροῦσα ποιεῖ τὰ ὀρυκτὰ πάντα, οἷον λίθων τε γένη τὰ
ἄτηκτα καὶ [b] σανδαράκην καὶ [c] ὤχραν καὶ μίλθον καὶ θεῖον
καὶ τἆλλα τὰ τοιαῦτα. Τὰ δὲ πλεῖστα τῶν ὀρυκτῶν ἐστὶ
τὰ μὲν κονία [d] κεχρωματισμένη, τὰ δὲ λίθος ἐκ τοιαύτης
[e] γεγονὼς συστάσεως, οἷον [f] τὸ [g] κιννάβαρι. Τῆς δ' ἀναθυ- 12
μιάσεως τῆς [h] ἀτμιδώδους, ὅσα μεταλλεύεται, καί ἐστιν ἢ
χυτὰ ἢ ἐλατά, οἷον σίδηρος, [i] χαλκός, χρυσός. Ποιεῖ δὲ
ταῦτα [k] πάντα ἡ ἀναθυμίασις ἡ ἀτμιδώδης ἐγκατακλειομένη,
καὶ μάλιστα ἐν τοῖς [l] λίθοις, διὰ ξηρότητα εἰς ἓν συνθλιβο-
μένη καὶ πηγνυμένη, [m] οἷον δρόσος ἢ πάχνη, [n] ὅταν ἀποκρι-
θῇ. ˈΕνταῦθα δὲ πρὶν ἀποκριθῆναι γεννᾶται ταῦτα. Διὸ 13
[o] ἔστι μὲν ὡς ὕδωρ ταῦτα, ἔστι δ' ὡς οὔ· δυνάμει μὲν γὰρ
ἡ ὕλη ὕδατος ἦν, ἔστι δ' οὐκέτι, οὐδ' ἐξ ὕδατος [p] γενομένου
διά [q] τι πάθος, ὥσπερ οἱ χυμοί. [r] Οὐ γὰρ οὕτω γίνεται τὸ
μὲν χαλκὸς τὸ δὲ χρυσός, ἀλλὰ πρὶν γενέσθαι παγείσης τῆς
ἀναθυμιάσεως ἕκαστα τούτων ἐστίν. Διὸ καὶ πυροῦται 14
πάντα καὶ γῆν ἔχει· ξηρὰν γὰρ ἔχει ἀναθυμίασιν· ὁ δὲ

[p] τὴν γῆν F. [q] ἐγκατακλειομένης F.H. [r] τοῖς om. N. [s] μέρος N. [t] διὰ τὸ] τῷ H.N. [v] αἱ om. E.H.N. [w] ἐστι H, om. F. [x] καὶ om. F. [y] ἐν τῇ γῇ γιγνομένων] εἰρημένων E. [z] δὲ om. E. [a] ἐστιν ἥ τις om. E. [b] σανδαράχην F. [c] ὄχραν N. [d] κεχρωματισμένα N. [e] συστάσεως γεγονὼς F.N. [f] τὸ om. E. [g] κινάβαρι H.N. [h] ἀτμ. καὶ ὅσα N. [i] χρυσὸς χαλκὸς F.H.N. [k] πάντα ἡ ἀτμ. ἀναθ. ἐγκ. N. [l] λίθοις] χλίοις pr. E. [m] οἷον ἢ δρ. H.N. [n] ὅταν δ' ἀπ. E. [o] ἐστι μὲν ταῦτα ἔστιν ὡς ὕδωρ E, ταῦτα ἐστὶ μὲν ὡς ὕδωρ F. [p] γινομένου N. [q] τι] τὸ E. [r] οὔτε γὰρ F.H.N.

χρυσὸς μόνος οὐ πυροῦται. Κοινῇ μὲν οὖν εἴρηται περὶ [s]πάντων αὐτῶν, ἰδίᾳ δ' [t]ἐπισκεπτέον προχειριζομένοις περὶ [v]ἕκαστον γένος.

## Δ.

Ἐπεὶ δὲ τέτταρα [w]διώρισται αἴτια τῶν στοιχείων, τούτων δὲ κατὰ [x]τὰς [y]συζυγίας καὶ τὰ στοιχεῖα τέτταρα συμβέβηκεν εἶναι, ὧν τὰ μὲν δύο ποιητικά, τὸ θερμὸν καὶ τὸ ψυχρόν, τὰ δὲ δύο [z]παθητικά, τὸ ξηρὸν καὶ τὸ ὑγρόν· ἡ δὲ πίστις τούτων ἐκ τῆς ἐπαγωγῆς· φαίνεται γὰρ ἐν πᾶσιν ἡ μὲν θερμότης καὶ ψυχρότης ὁρίζουσαι καὶ συμφύουσαι καὶ μεταβάλλουσαι [a]τὰ ὁμογενῆ [b]καὶ τὰ μὴ ὁμογενῆ, καὶ ὑγραίνουσαι καὶ ξηραίνουσαι καὶ [c]σκληρύνουσαι καὶ μαλάττουσαι, τὰ δὲ ξηρὰ καὶ ὑγρὰ ὁριζόμενα καὶ τἆλλα τὰ εἰρημένα πάθη πάσχοντα αὐτά τε καθ' αὐτὰ καὶ ὅσα κοινὰ ἐξ
2 ἀμφοῖν σώματα συνέστηκεν. [d]Ἔτι δ' ἐκ τῶν λόγων δῆλον, οἷς ὁριζόμεθα τὰς φύσεις αὐτῶν· τὸ μὲν γὰρ θερμὸν [e]καὶ ψυχρὸν ὡς ποιητικὰ λέγομεν ([f]τὸ γὰρ συγκριτικὸν [g]ὥσπερ ποιητικόν [h]τι ἐστί), τὸ δὲ ὑγρὸν καὶ ξηρὸν [i]παθητικόν (τὸ γὰρ εὐόριστον [k]καὶ δυσόριστον [l]τῷ πάσχειν τι
3 λέγεται τὴν φύσιν αὐτῶν). Ὅτι μὲν οὖν τὰ μὲν ποιητικὰ τὰ δὲ παθητικά, φανερόν· διωρισμένων δὲ τούτων ληπτέον ἂν εἴη τὰς ἐργασίας αὐτῶν, [m]αἷς ἐργάζονται τὰ ποιητικά, καὶ τῶν παθητικῶν τὰ εἴδη. Πρῶτον μὲν οὖν καθόλου ἡ ἁπλῆ γένεσις καὶ ἡ φυσικὴ μεταβολὴ τούτων τῶν δυνάμεών ἐστιν
4 ἔργον, καὶ ἡ ἀντικειμένη [n]φθορὰ κατὰ φύσιν. Αὗται μὲν οὖν τοῖς τε φυτοῖς ὑπάρχουσι [o]καὶ ζῴοις καὶ τοῖς μέρεσιν αὐτῶν. Ἔστι δ' ἡ ἁπλῆ [p]καὶ φυσικὴ γένεσις [q]μεταβολὴ ὑπὸ τούτων τῶν δυνάμεων, ὅταν ἔχωσι λόγον ἐκ τῆς ὑποκει-

[s] αὐτῶν ἁπάντων F.N. αὐτῶν om. E. [t] σκεπτέον F.N. [v] ἑκάστου γένους N. [w] ὥρισται αἴτια E, αἴτια διώρισται F.H.N. [x] τὰς om. FHN. [y] συζυγίαν H.N. [z] παθητικὰ καὶ τὸ E. [a] τά θ' ὁμογενῆ H.N. [b] καὶ τὰ μὴ ὁμογενῆ om. E. [c] σκληραίνονται F. [d] ἔτι] ὅτι N. [e] καὶ τὸ ψ. H.N. [f] τὸ μὲν γὰρ H. [g] ὅπερ E. [h] τι om. F. [i] παθητικὰ H.N. [k] καὶ δυσόριστον om. E. [l] τῷ] τὸ N. [m] ἃς H.N. [n] φορὰ E. [o] καὶ τοῖς ζώοις H. [p] καὶ ἡ φυσικὴ H.N. [q] μεταβολὴ om. E.

μένης ὕλης ἑκάστῃ φύσει· αὗται δ' εἰσὶν αἱ εἰρημέναι δυνάμεις
παθητικαί. Γεννῶσι δὲ τὸ θερμὸν [r] καὶ ψυχρὸν κρατοῦντα 5
τῆς ὕλης· ὅταν δὲ μὴ κρατῇ, κατὰ μέρος μὲν [s] μώλυσις καὶ
ἀπεψία γίγνεται. Τῇ δ' ἁπλῇ γενέσει ἐναντίον μάλιστα
κοινὸν σῆψις· πᾶσα γὰρ ἡ κατὰ φύσιν φθορὰ [t] εἰς τοῦθ'
ὁδός ἐστιν, οἷον γῆρας καὶ αὔανσις. Τέλος [v] δὲ [w] τῶν ἄλλων 6
ἁπάντων σαπρότης, [x] ἂν μή [y] τι βίᾳ φθαρῇ τῶν φύσει συνε-
στώτων· ἔστι γὰρ καὶ σάρκα καὶ ὀστοῦν καὶ ὁτιοῦν κατα-
καῦσαι, ὧν τὸ τέλος τῆς κατὰ φύσιν φθορᾶς [z] σῆψίς ἐστιν.
Διὸ ὑγρὰ πρῶτον, εἶτα ξηρὰ τέλος γίγνεται τὰ σηπόμενα·
ἐκ τούτων γὰρ ἐγένετο, καὶ ὡρίσθη τῷ ὑγρῷ τὸ ξηρὸν ἐργα-
ζομένων τῶν ποιητικῶν. Γίγνεται δ' ἡ φθορά, ὅταν κρατῇ 7
τοῦ ὁρίζοντος τὸ ὁριζόμενον διὰ τὸ περιέχον. Οὐ μὴν ἀλλ'
ἰδίως λέγεται σῆψις ἐπὶ τῶν κατὰ μέρος φθειρομένων, ὅταν
χωρισθῇ τῆς φύσεως. Διὸ καὶ σήπεται [a] πάντα τἆλλα
πλὴν πυρός· καὶ γὰρ [b] γῆ καὶ ὕδωρ καὶ ἀὴρ σήπεται· πάντα
γὰρ ὕλη τῷ πυρί ἐστι ταῦτα. Σῆψις δ' ἐστὶ φθορὰ [c] τῆς 8
ἐν ἑκάστῳ ὑγρῷ οἰκείας καὶ κατὰ φύσιν θερμότητος ὑπ'
ἀλλοτρίας θερμότητος· αὕτη δ' ἐστὶν ἡ τοῦ περιέχοντος.
Ὥστ' ἐπεὶ κατ' ἔνδειαν πάσχει θερμοῦ, [d] τὸ δὲ ἐνδεὲς τοιαύ-
της δυνάμεως ψυχρὸν πᾶν, ἄμφω ἂν αἴτια εἴη, καὶ κοινὸν
τὸ πάθος ἡ σῆψις, ψυχρότητός τε οἰκείας καὶ θερμότητος
ἀλλοτρίας. Διὰ [e] τοῦτο γὰρ καὶ ξηρότερα γίνεται τὰ ση- 9
πόμενα πάντα, καὶ τέλος γῆ καὶ κόπρος· ἐξιόντος γὰρ τοῦ
οἰκείου θερμοῦ [f] συνεξατμίζει τὸ κατὰ φύσιν ὑγρόν, καὶ τὸ
[g] σπῶν τὴν ὑγρότητα [h] οὐκέτ' [i] ἔστιν· ἐπάγει γὰρ ἕλκουσα
ἡ οἰκεία θερμότης. Καὶ ἐν τοῖς ψύχεσι δ' ἧττον σήπεται 10
ἢ ἐν ταῖς ἀλέαις· ἐν μὲν γὰρ τῷ χειμῶνι ὀλίγον ἐν τῷ
περιέχοντι [k] ἀέρι καὶ ὕδατι τὸ θερμόν, ὥστ' οὐδὲν ἰσχύει, ἐν

[r] καὶ τὸ ψ. F. [s] μόλυνσις F.H.N. [t] εἰς—ἐστιν post αὔανσις N.
[v] δὲ] γὰρ E. [w] πάντων τῶν ἄλλων τούτων σ. F.H.N. [x] ἐὰν N.
[y] τι] τε F.H, om. E. [z] ἐστι σῆψις F. [a] τἆλλα πάντα F.H.N.
[b] γῆ] δὴ E. [c] τῆς] τι F.H. [d] τὸ ἐνδεὲς δὲ ὂν τ. H. et omisso τὸ F.N: η δὲ ἐνδεὲς E. [e] γὰρ τοῦτο N. [f] συνεξατμίζεται F.H.N.
[g] σπῶν] ἐπάξον E. [h] οὐκ F.H.N. [i] ἔσται F. [k] ἀέρι om. E.

11 δὲ τῷ θέρει [l] πλέον. Καὶ οὔτε τὸ πεπηγός (μᾶλλον γὰρ
ψυχρὸν ἢ ὁ ἀὴρ [m] θερμός· οὔκουν [n] κρατεῖται, τὸ δὲ κινοῦν
κρατεῖ) οὔτε [o] τὸ ζέον ἢ θερμόν· ἐλάττων γὰρ ἡ ἐν τῷ ἀέρι
θερμότης τῆς ἐν τῷ πράγματι, ὥστ' [p] οὐ κρατεῖ οὐδὲ ποιεῖ
12 μεταβολὴν [q] οὐδεμίαν. Ὁμοίως δὲ [r] καὶ τὸ κινούμενον [s] καὶ
ῥέον ἧττον σήπεται τοῦ ἀκινητίζοντος· ἀσθενεστέρα γὰρ
γίνεται ἡ ὑπὸ τῆς ἐν τῷ ἀέρι θερμότητος κίνησις τῆς ἐν τῷ
πράγματι προϋπαρχούσης, ὥστε οὐθὲν ποιεῖ μεταβάλλειν.
13 Ἡ δ' αὐτὴ αἰτία καὶ τοῦ τὸ πολὺ ἧττον τοῦ ὀλίγου σήπεσθαι·
ἐν γὰρ τῷ πλείονι πλεῖόν ἐστι πῦρ οἰκεῖον καὶ ψυχρὸν [t] ἢ
ὥστε [v] κρατεῖν τὰς ἐν τῷ [w] περιεστῶτι δυνάμεις. Διὸ [x] καὶ
ἡ [y] θάλασσα κατὰ μέρος μὲν [z] διαιρουμένη ταχὺ σήπεται,
14 ἅπασα δ' οὔ, καὶ τἆλλα ὕδατα ὡσαύτως. Καὶ ζῷα ἐγγίνε-
ται τοῖς σηπομένοις διὰ τὸ τὴν ἀποκεκριμένην θερμότητα
φυσικὴν οὖσαν [a] συνιστάναι τὰ ἐκκριθέντα. Τί μὲν οὖν [b] ἐστὶ
[c] γένεσις καὶ [d] τί φθορά, εἴρηται.

2 Λοιπὸν δ' εἰπεῖν τὰ ἐχόμενα εἴδη, ὅσα αἱ εἰρημέναι δυνά-
μεις ἐργάζονται ἐξ ὑποκειμένων τῶν φύσει συνεστώτων ἤδη.
Ἔστι [e] δὴ θερμοῦ μὲν πέψις, πέψεως δὲ πέπανσις, ἕψησις,
[f] ἔτι ὄπτησις· ψυχρότητος [g] δὲ ἀπεψία, ταύτης δὲ ὠμότης,
2 [h] μώλυσις, στάτευσις. Δεῖ [i] δ' ὑπολαμβάνειν μὴ κυρίως
ταῦτα λέγεσθαι τὰ ὀνόματα τοῖς πράγμασιν, [k] ἀλλ' οὐ κεῖ-
ται καθόλου τοῖς ὁμοίοις, ὥστε οὐ ταῦτα ἀλλὰ τοιαῦτα δεῖ
νομίζειν εἶναι τὰ εἰρημένα εἴδη. [l] Εἴπωμεν δ' αὐτῶν ἕκαστον
3 τί ἐστιν. [m] Πέψις μὲν οὖν ἐστὶ τελείωσις ὑπὸ τοῦ φυσικοῦ
καὶ οἰκείου θερμοῦ ἐκ τῶν ἀντικειμένων παθητικῶν· ταῦτα
δ' ἐστὶν ἡ [n] οἰκεία ἑκάστη ὕλη. Ὅταν γὰρ πεφθῇ, τετε-
λείωταί τε καὶ γέγονεν. Καὶ ἡ ἀρχὴ τῆς [o] τελειώσεως ὑπὸ

[l] πλεῖον F.H.N. [m] θερμόν E.H. [n] κρατεῖται τὸ δὲ κινοῦν om. pr. E. [o] τὸ om. pr. E. [p] οὐ] οὐδὲ N. [q] μίαν E. [r] καὶ om. N. [s] καὶ τὸ ῥέον H. [t] ἢ om. E. [v] κρατεῖ E. [w] περιέχοντι H.N. [x] καὶ om. E.H.N. [y] θάλαττα F.H. [z] διαιρουμένη om. E. [a] συνεστάναι F.H.N. [b] ἐστι om. H.N. [c] γένος N. [d] τι om. H.N. [e] δὴ om. E. [f] ἔτι om. E. [g] δὲ ante ἀπ. om. N. [h] μόλυνσις F.H.N. [i] δ' om. E. [k] ἀλλ' οὐ] οὐ γὰρ H.N. [l] εἴπομεν N. [m] ἡ μὲν πέψις ἐστὶ F. [n] οἰκεία ἐν ἑκάστῳ H.N. [o] τελειότητος H.N.

*θερμότητος [p] τῆς οἰκείας συμβαίνει, κἂν διά τινος τῶν ἐκτὸς
βοηθείας συνεπιτελεσθῇ, οἷον ἡ τροφὴ [q] συμπέττεται διὰ
λουτρῶν καὶ ἄλλων τοιούτων· ἀλλ' ἥ γε ἀρχὴ ἡ ἐν αὐτῷ
θερμότης ἐστίν. Τὸ δὲ τέλος τοῖς μὲν ἡ φύσις ἐστί, φύσις* 4
*δὲ ἣν λέγομεν ὡς εἶδος καὶ [r] οὐσίαν· τοῖς δ' εἰς ὑποκειμένην
τινὰ [s] μορφὴν τὸ τέλος ἐστὶ τῆς πέψεως, ὅταν [t] τοιονδὶ
γένηται καὶ τοσονδὶ τὸ ὑγρὸν ἢ [v] ὀπτώμενον ἢ ἑψόμενον ἢ
σηπόμενον ἢ ἄλλως πως θερμαινόμενον· τότε γὰρ χρήσιμόν
ἐστι καὶ πεπέφθαι [w] φαμέν, ὥσπερ τὸ γλεῦκος καὶ τὰ ἐν τοῖς
φύμασι συνιστάμενα, ὅταν γένηται πῦον, καὶ τὸ δάκρυον,
ὅταν γένηται λήμη. ˈὉμοίως δὲ καὶ τἆλλα. Συμβαίνει δὲ* 5
*τοῦτο πάσχειν ἅπασιν, ὅταν κρατηθῇ ἡ ὕλη καὶ ἡ ὑγρότης·
αὕτη γάρ ἐστιν ἡ ὁριζομένη ὑπὸ τῆς ἐν τῇ φύσει θερμότη-
τος. ˈἝως γὰρ ἂν ἐνῇ ἐν αὐτῇ ὁ λόγος, φύσις τοῦτ' ἔστιν.
Διὸ καὶ ὑγιείας σημεῖα τὰ τοιαῦτα, καὶ οὖρα καὶ ὑποχωρή-
σεις καὶ ὅλως τὰ περιττώματα. [x] Καὶ λέγεται [y] πεπέφθαι,* 6
*ὅτι δηλοῖ κρατεῖν τὴν θερμότητα τὴν οἰκείαν τοῦ ἀορίστου.
ˈἈνάγκη δὲ τὰ [z] πεττόμενα παχύτερα καὶ [a] θερμότερα [b] εἶναι·
τοιοῦτον γὰρ ἀποτελεῖ τὸ θερμόν, εὐογκότερον καὶ παχύ-
τερον καὶ ξηρότερον. Πέψις μὲν [c] οὖν τοῦτ' ἐστίν, ἀπεψία* 7
*δὲ ἀτέλεια δι' ἔνδειαν τῆς οἰκείας θερμότητος· [d] ἡ δ' ἔνδεια
τῆς θερμότητος ψυχρότης ἐστίν· ἡ δ' ἀτέλεια ἐστὶ τῶν
ἀντικειμένων παθητικῶν, ἥπερ [e] ἐστὶν ἑκάστῳ [f] φύσει ὕλη.
Πέψις μὲν οὖν καὶ ἀπεψία διωρίσθω τοῦτον τὸν τρόπον.*

*Πέπανσις [g] δ' ἐστὶ πέψις τις· ἡ γὰρ τῆς ἐν τοῖς περι-* 3
*καρπίοις τροφῆς πέψις πέπανσις λέγεται. ˈἘπεὶ δ' ἡ πέ-
ψις τελείωσίς [h] τις, τότε ἡ πέπανσις τελεία ἐστίν, ὅταν τὰ
ἐν τῷ περικαρπίῳ σπέρματα δύνηται ἀποτελεῖν τοιοῦτον*

[p] *τῆς* om. F. [q] *συμπ. καὶ διὰ λ. καὶ δι' ἄλλων* F.H.N. [r] *οὐσία* N. [s] *μορφὴν*] *φύσιν* F. [t] *τοιόνδε* H.N, *τοιοῦτον δὴ* F. [v] *ὀπτόμενον* F. [w] *φαμὲν*] *μὲν* F. [x] *καὶ λέγεται* om. F. [y] *πεπέφθαι* om. E. [z] *πεπτόμενα* E, *περιττώματα* pr. F. [a] *θερμότερα*] *ξηρότερα* F. [b] *εἶναι—ξηρότερον* margo F. [c] *οὖν* om. E. [d] *ἡ δ' ἔνδεια τῆς θερμότητος*] ὃ E. [e] *ἐστίν* om. F. [f] *ὕλη φύσει* N. [g] *δὲ πέψις ἐστίν. ἡ γὰρ ἐν τοῖς περικαρπίοις τῆς* F. [h] *τις* om. F.

ἕτερον οἷον αὐτό· καὶ γὰρ ἐπὶ τῶν ἄλλων τὸ [i]τέλειον [k]οὕτω
2 λέγομεν. Περικαρπίου μὲν οὖν αὕτη πέπανσις, λέγεται δὲ [l]καὶ ἄλλα πολλὰ πέπονα τῶν [m]πεπεμμένων, κατὰ μὲν τὴν αὐτὴν ἰδέαν, [n]μεταφορᾷ δέ, διὰ τὸ μὴ κεῖσθαι, καθάπερ εἴρηται καὶ πρότερον, ὀνόματα καθ' ἑκάστην τελείωσιν περὶ τὰ ὁριζόμενα ὑπὸ τῆς φυσικῆς θερμότητος [o]καὶ
3 ψυχρότητος. [p]Ἔστι δὲ ἡ φυμάτων καὶ φλέγματος καὶ τῶν τοιούτων πέπανσις ἡ ὑπὸ τοῦ φυσικοῦ θερμοῦ τοῦ ἐνόντος ὑγροῦ πέψις· ἀδύνατον γὰρ ὁρίζειν μὴ κρατοῦν. Ἐκ μὲν οὖν [q]τῶν πνευματικῶν ὑδατώδη, ἐκ δὲ τῶν τοιούτων τὰ γεηρὰ συνίσταται, καὶ ἐκ λεπτῶν ἀεὶ παχύτερα γίγνεται
4 πεπαινόμενα πάντα. Καὶ τὰ μὲν εἰς αὐτὴν ἡ φύσις [r]ἄγει κατὰ τοῦτο, τὰ δ' ἐκβάλλει. Πέπανσις μὲν οὖν [s]εἴρηται τί ἐστιν, ὠμότης δ' ἐστὶ τὸ ἐναντίον· ἐναντίον δὲ πεπάνσει ἀπεψία τῆς ἐν τῷ περικαρπίῳ τροφῆς· αὕτη δ' ἐστὶν ἡ ἀόριστος ὑγρότης. Διὸ ἢ πνευματικὴ ἢ ὑδατώδης ἢ τῶν [t]ἐξ ἀμφοῖν
5 ἐστὶν ἡ ὠμότης. Ἐπεὶ δ' ἡ πέπανσις τελείωσίς τις ἐστίν, ἡ ὠμότης ἀτέλεια ἔσται. Γίγνεται [v]δ' ἀτέλεια δι' ἔνδειαν τοῦ φυσικοῦ θερμοῦ καὶ ἀσυμμετρίαν πρὸς τὸ ὑγρὸν τὸ πεπαινόμενον. Οὐδὲν [w]δ' ὑγρὸν αὐτὸ καθ' αὐτὸ πεπαίνεται ἄνευ ξηροῦ· ὕδωρ γὰρ [x]οὐ παχύνεται [y]μόνον τῶν ὑγρῶν.
6 Συμβαίνει δὲ τοῦτο ἢ τῷ [z]τὸ θερμὸν ὀλίγον εἶναι ἢ [a]τῷ τὸ ὁριζόμενον πολύ· [b]διὸ καὶ λεπτοὶ οἱ χυμοὶ τῶν ὠμῶν, καὶ ψυχροὶ μᾶλλον ἢ θερμοί, καὶ ἄβρωτοι καὶ ἄποτοι. Λέγεται
7 δὲ [c]καὶ ἡ ὠμότης ὥσπερ καὶ ἡ πέπανσις, πολλαχῶς. Ὅθεν καὶ οὖρα καὶ ὑποχωρήσεις καὶ κατάρροι ὠμοὶ λέγονται διὰ τὸ [d]αὐτὸ αἴτιον· τῷ γὰρ μὴ κεκρατῆσθαι ὑπὸ τῆς θερμότητος μηδὲ [e]συνεστάναι ὠμὰ πάντα προσαγορεύεται. Πόρρω

[i] τέλεον N. [k] οὕτω] τοιοῦτον F. [l] πέπονα καὶ ἄλλα πολλὰ F.H.N. [m] πεπαμμένων E. [n] μεταφοραῖς E.N. [o] καὶ ψυχρότητος om. E. [p] ἔτι δὲ ἔστιν ἡ F. [q] τῶν om. E. [r] ἄγει ὅταν τρέφηται κατὰ F. [s] τί ἐστιν εἴρηται H.N. [t] ἐξ om. E. [v] δ' ἡ ἀτ. F.H.N. [w] δ'] γὰρ F. [x] οὐ παχύνεται om. N. [y] μόνων N. [z] τὸ om. F.H.N. [a] τῷ om. F. [b] διὸ καὶ] καὶ γὰρ διὰ τοῦτο F. [c] καὶ post δὲ om. N. [d] αὐτὸ om. E. [e] συνιστάναι N.

δὲ προϊόντων καὶ κέραμος ὠμὸς καὶ γάλα ὠμὸν καὶ ἄλλα
πολλὰ λέγεται, ἐὰν δυνάμενα μεταβάλλειν καὶ συνίστασθαι
ὑπὸ θερμότητος ἀπαθῆ ᾖ. Διὸ τὸ ὕδωρ ἑφθὸν μὲν λέγε- 8
ται, ὠμὸν δ' οὔ, ὅτι οὐ [f] παχύνεται. Πέπανσις μὲν οὖν καὶ
ὠμότης εἴρηται τί ἐστι, καὶ διὰ τί [g] ἐστιν ἑκάτερον αὐτῶν·
[h] ἕψησις δ' ἐστὶ τὸ μὲν ὅλον πέψις ὑπὸ θερμότητος ὑγρᾶς
τοῦ ἐνυπάρχοντος ἀορίστου ἐν τῷ ὑγρῷ, λέγεται δὲ τοὔνομα
κυρίως [i] μόνον ἐπὶ τῶν ἑψομένων. Τοῦτο δ' ἂν [k] εἴη, ὥσπερ 9
εἴρηται, πνευματῶδες [l] ἢ ὑδατῶδες. Ἡ δὲ πέψις γίνεται
ἀπὸ τοῦ ἐν τῷ ὑγρῷ πυρός· [m] τὸ γὰρ ἐπὶ τῶν τηγάνων
ὀπτᾶται· ὑπὸ γὰρ τοῦ [n] ἔξωθεν [o] θερμοῦ πάσχει, ἐν ᾧ δ'
ἐστὶν ὑγρῷ, ποιεῖ ἐκεῖνο μᾶλλον [p] ξηρόν, εἰς αὐτὸ ἀναλαμ-
βάνον. Τὸ δ' ἑψόμενον τοὐναντίον ποιεῖ· ἐκκρίνεται γὰρ 10
ἐξ αὐτοῦ τὸ ὑγρὸν ὑπὸ τῆς ἐν τῷ ἔξω ὑγρῷ θερμασίας. Διὸ
ξηρότερα τὰ [q] ἑφθὰ τῶν ὀπτῶν· οὐ γὰρ ἀνασπᾷ εἰς [r] αὑτὰ
τὸ ὑγρὸν τὰ ἑψόμενα· κρατεῖ γὰρ ἡ ἔξωθεν θερμότης τῆς
ἐντός· εἰ δ' ἐκράτει ἡ ἐντός, εἷλκεν ἂν εἰς ἑαυτήν. Ἔστι δ' 11
οὐ πᾶν σῶμα ἑψητόν· οὔτε γὰρ ἐν ᾧ μηθέν ἐστιν ὑγρόν,
οἷον [s] ἐν λίθοις, οὔτ' ἐν οἷς [t] ἔνεστι μέν, ἀλλ' ἀδύνατον κρα-
τηθῆναι διὰ πυκνότητα, οἷον ἐν [v] τοῖς ξύλοις· ἀλλ' ὅσα τῶν
σωμάτων ἔχει ὑγρότητα παθητικὴν ὑπὸ τῆς ἐν τῷ ὑγρῷ
πυρώσεως. Λέγεται δὲ καὶ χρυσὸς ἕψεσθαι καὶ ξύλον καὶ 12
ἄλλα πολλά, [w] κατὰ μὲν τὴν ἰδέαν [x] οὐ τὴν αὐτήν, [y] μετα-
φορᾷ δέ· οὐ γὰρ [z] κεῖται [a] ὀνόματα ταῖς διαφοραῖς. Καὶ 13
τὰ ὑγρὰ δὲ ἕψεσθαι λέγομεν, οἷον γάλα καὶ γλεῦκος, ὅταν
[b] ὁ ἐν τῷ ὑγρῷ χυμὸς εἰς εἶδός τι μεταβάλλῃ ὑπὸ τοῦ κύκλῳ
καὶ ἔξωθεν πυρὸς θερμαίνοντος, ὥστε τρόπον τινὰ παραπλή-
σιον τῇ εἰρημένῃ ἑψήσει ποιεῖ. Τέλος δ' οὐ [c] ταὐτὸ πᾶσιν, 14

[f] παχύνεται] παχύνεται ἑκάτερον αὐτῶν, in margine positis πέπανσις—αὐτῶν F. [g] ἐστιν om. H.N. [h] ἡ ἕψησις F. [i] ἐπὶ τῶν ἑψ. μόνον H, ἐπὶ τῶν ἑψ. μόνων N. [k] ἦν N. [l] ἢ ὑδατῶδες om. E. [m] τὰ E. [n] ἔξω E. [o] θερμοῦ] πυρὸς F. [p] εἰς ἑαυτὸ ἀναλ. ξηρὸν F. [q] ὀπτὰ τῶν ἑφθῶν E. [r] ἑαυτὰ F.H.N. [s] ἐν post οἷον om. E. [t] ἔστι E. [v] τοῖς om. F. [w] κατὰ] καὶ τὰ pr. F. [x] οὐ om. pr. E. [y] μεταφοραῖς pr. F, διαφοραῖς rc. [z] κεῖται] κρατεῖται τὰ pr. E. [a] ὄνομα H.N. [b] ἐν τῷ ὑγρῷ ὁ E.F.N. [c] ταὐτὸ] τὸ F.

οὔτε ἑψομένοις οὔτε πεττομένοις, ἀλλὰ τοῖς μὲν πρὸς ἐδω-
δήν, τοῖς δὲ πρὸς ῥόφησιν, τοῖς δὲ πρὸς ἄλλην χρείαν, ἐπεὶ
15 καὶ τὰ φάρμακα [c] ἕψειν λέγομεν. Ὥστε ὅσα παχύτερα δύ-
ναται γίγνεσθαι ἢ ἐλάττω ἢ βαρύτερα, ἢ τὰ μὲν αὐτῶν τοι-
αῦτα τὰ δ' ἐναντία, διὰ τὸ διακρινόμενα τὰ μὲν παχύνεσθαι
τὰ δὲ λεπτύνεσθαι, ὥσπερ τὸ γάλα [d] εἰς ὀρρὸν καὶ [e] πυτίαν,
πάντα ἑψητά [f] ἐστιν. Τὸ δ' ἔλαιον οὐχ ἕψεται αὐτὸ καθ'
16 αὑτό, ὅτι τούτων οὐθὲν πάσχει. Ἡ μὲν οὖν κατὰ τὴν
ἕψησιν λεγομένη πέψις τοῦτ' ἐστίν· καὶ οὐδὲν διαφέρει ἐν
ὀργάνοις [g] τεχνικοῖς ἢ φυσικοῖς, [h] ἐὰν [i] γίγνηται· διὰ τὴν
αὐτὴν γὰρ αἰτίαν [k] πάντα ἔσται. [l] Μώλυσις δ' ἀπεψία
[m] μὲν [n] ἡ [o] ἐναντία ἑψήσει· εἴη δ' [p] ἂν ἐναντία ἥ τε πρώτη
λεχθεῖσα ἀπεψία [q] τοῦ ἐν τῷ σώματι ἀορίστου δι' ἔνδειαν
17 τῆς ἐν τῷ ὑγρῷ [r] τῷ πέριξ θερμότητος. Ἡ δ' ἔνδεια μετὰ
ψυχρότητος ὅτι ἐστίν, εἴρηται· γίγνεται δὲ διὰ κίνησιν ἄλ-
λην· [s] ἐκκρούεται γὰρ ἡ πέττουσα, καὶ ἡ ἔνδεια δὲ ἢ διὰ τὸ
πλῆθος τῆς ἐν τῷ ὑγρῷ ψυχρότητος, ἢ διὰ τὸ ἐν τῷ ἑψο-
μένῳ πλῆθος· τότε γὰρ συμβαίνει τὴν ἐν τῷ ὑγρῷ θερμό-
τητα πλείω μὲν εἶναι ἢ ὥστε [t] μὴ κινῆσαι, ἐλάττω δὲ ἢ ὥστε
18 ὁμαλῦναι καὶ συμπέψαι. Διὸ σκληρότερα μὲν τὰ [v] μεμω-
λυσμένα γίγνεται τῶν ἑφθῶν, τὰ δ' ὑγρὰ διωρισμένα μᾶλ-
λον. Ἕψησις μὲν οὖν [w] καὶ μώλυσις εἴρηται, καὶ τί ἐστι
καὶ διὰ τί [x] ἐστιν· ὄπτησις δ' ἐστὶ πέψις ὑπὸ θερμότητος
19 ξηρᾶς καὶ ἀλλοτρίας. Διὰ τοῦτο [y] κἂν ἕψων τις [z] ποιῇ
μεταβάλλειν καὶ πέττεσθαι, μὴ ὑπὸ τῆς [a] τοῦ ὑγροῦ θερμό-
τητος ἀλλ' ὑπὸ τῆς τοῦ πυρός, ὅταν [b] τελεσθῇ, ὀπτὸν γί-
νεται καὶ οὐχ [c] ἑφθόν, καὶ τῇ ὑπερβολῇ [d] προσκεκαῦσθαι

[c] ἕψειν μὲν λέγομεν H. [d] εἰς] εἴς τε F.H.N. [e] πυετίαν N, πυτνίαν F. [f] εἶσιν F. [g] τεχν. καὶ φυσ. H, καὶ τ. καὶ φ. N, φ. καὶ τ. F. [h] ἐάν τι H.N. [i] γένηται N. [k] ἅπαντα H.N. [l] μόλυνσις F.H.N. [m] μὲν om. E. [n] ἡ om. F. [o] ἐναντία δ' ἑψήσει F. [p] ἂν om. F.H.N. [q] τοῦ] τῷ E. [r] τῷ π.] τὸ π. N. [s] ἐκκρούεται γὰρ πέττουσα E, ἡ γὰρ πέττουσα ἐκκρούεται F. [t] μὴ om. F. [v] μεμολυσμένα H.N. [w] καὶ μόλυνσις εἴρηται F, εἴρηται καὶ μόλυνσις H.N. [x] ἐστίν om. N. [y] κἂν] καὶ N. [z] ποιεῖ E.N. [a] τοῦ om. E. [b] τελευτηθῇ F. [c] ἑφθὲν N. [d] προσκεκλύσθαι E.

λέγεται· ὑπὸ ξηρᾶς δὲ θερμότητος γίνεται, [e] ὅταν ξηρό-
τερον γίγνηται ἐπιτελεσθέν. Διὸ καὶ τὰ ἐκτὸς ξηρότερα 20
τῶν ἐντός· τὰ δ' ἑφθὰ τοὐναντίον. Καὶ ἔργον ἐπὶ τῶν
[f] χειροκμήτων τὸ ὀπτῆσαι [g] μεῖζον ἢ ἑψῆσαι· χαλεπὸν [h] γὰρ
τὰ [i] ἐντὸς καὶ τὰ ἐκτὸς ὁμαλῶς θερμαίνειν. Ἀεὶ γὰρ τὰ
[k] ἐγγύτερον τοῦ πυρὸς [l] ξηραίνεται θᾶττον, ὥστε καὶ μᾶλ-
λον. Συνιόντων οὖν τῶν ἔξω πόρων οὐ δύναται ἐκκρίνεσθαι
τὸ ἐνυπάρχον [m] ὑγρόν, ἀλλ' ἐγκατακλείεται, ὅταν οἱ πόροι
μύσωσιν. Ὄπτησις μὲν οὖν καὶ ἕψησις γίγνονται μὲν τέχνῃ, 21
ἔστι δ', ὥσπερ λέγομεν, τὰ εἴδη [n] καθόλου ταὐτὰ καὶ φύσει·
ὅμοια γὰρ τὰ γιγνόμενα πάθη, ἀλλ' ἀνώνυμα· μιμεῖται γὰρ
ἡ τέχνη τὴν φύσιν, ἐπεὶ καὶ ἡ τῆς τροφῆς ἐν [o] τῷ σώματι
πέψις ὁμοία [p] ἑψήσει ἐστίν· καὶ γὰρ [q] ἐν ὑγρῷ [r] καὶ θερμῷ
ὑπὸ τῆς τοῦ σώματος [s] θερμότητος [t] γίγνεται. Καὶ ἀπε-
ψίαι ἔνιαι ὅμοιαι τῇ [v] μωλύσει. Καὶ ζῷον οὐκ ἐγγίνεται ἐν 22
τῇ [w] πέψει, ὥσπερ τινές φασιν, ἀλλ' [x] ἐν τῇ ἀποκρίσει ση-
πομένῃ ἐν τῇ κάτω κοιλίᾳ, [y] εἶτ' ἐπανέρχεται ἄνω· [z] πέττε-
ται μὲν γὰρ ἐν τῇ ἄνω κοιλίᾳ, σήπεται δ' ἐν τῇ κάτω τὸ
ἀποκριθέν· δι' ἣν δ' αἰτίαν, [a] εἴρηται ἐν ἑτέροις. Ἡ μὲν
οὖν μόλυνσις τῇ ἑψήσει ἐναντίον· τῇ δὲ [b] ὡς ὀπτήσει λεγο-
μένῃ πέψει ἔστι μέν τι ἀντικείμενον [c] ὁμοίως, ἀνωνυμώτερον
δέ. Εἴη δ' ἂν [d] ὅμοιον, εἰ γένοιτο [e] στάτευσις ἀλλὰ μὴ 23
ὄπτησις δι' ἔνδειαν θερμότητος, ἢ συμβαίη ἂν ἢ δι' ὀλιγό-
τητα τοῦ ἔξω πυρὸς ἢ διὰ [f] τὸ πλῆθος τοῦ ἐν τῷ [g] ὀπτωμένῳ
ὕδατος· τότε γὰρ [h] πλείων μέν ἐστιν ἢ ὥστε μὴ κινῆσαι,
[i] ἐλάττων δ' ἢ ὥστε πέψαι. Τί μὲν οὖν ἐστὶ πέψις καὶ

[e] ὅταν ξ. γίγνηται om. F. [f] χειροτμήτων E. [g] μεῖζον] μᾶλλον H.N, om. F. [h] γὰρ καὶ τὰ F. [i] ἐκτὸς καὶ τὰ ἐντὸς F.H.N. [k] ἐγγύτερα N. [l] θερμαίνεται E. [m] ὑγρόν om. E. [n] ταυτὰ καθόλου F, καθόλου ταῦτα H. [o] τῷ om. F. [p] ἐστὶν ἑψήσει F. [q] ἐν τῷ ὑγρῷ H.N. [r] καὶ om. F. [s] θερμότητος margo F. [t] γίνονται H.N. [v] μωλύνσει E, μολύνσει F.H.N. [w] ἑψήσει F. [x] ἐν om. F. [y] εἶτ' om. E. [z] πεπέφθαι H.N. [a] ἐν ἑτέροις εἴρηται F. [b] ὡς om. F.H. et pr. N. [c] ὅμοιον N, ὁμογενῶς F. [d] ὅμοιον] οἷον F.H.N. [e] σάτευσις N. [f] τὸ om. H.N. [g] ἐπτομένῳ N. [h] πλείω E, πλεῖον F. [i] ἐλάττω E.N.

*ἀπεψία, καὶ πέπανσις καὶ ὠμότης, καὶ ἕψησις καὶ ὄπτησις
καὶ τἀναντία τούτοις, εἴρηται.*

4 *Τῶν δὲ παθητικῶν, τοῦ ὑγροῦ καὶ τοῦ ξηροῦ, λεκτέον τὰ
εἴδη. Εἰσὶ δ' αἱ μὲν ἀρχαὶ τῶν σωμάτων αἱ παθητικαὶ
[k]ὑγρὸν καὶ ξηρόν, τὰ δ' ἄλλα μικτὰ μὲν ἐκ τούτων, ὁπο-
τέρου [l]δὲ μᾶλλον, [m]τούτου [n]μᾶλλον τὴν [o]φύσιν ἐστίν, οἷον
τὰ μὲν ξηροῦ μᾶλλον τὰ δ' ὑγροῦ. Πάντα δὲ τὰ μὲν ἐντε-
λεχείᾳ [p]ἔσται, τὰ δ' ἐν τῷ ἀντικειμένῳ· ἔχει δ' οὕτω τῆξις*
2 *[q]πρὸς [r]τὸ [s]τηκτόν. Ἐπεὶ δ' ἐστὶ τὸ μὲν ὑγρὸν εὐόρι-
στον, τὸ δὲ ξηρὸν δυσόριστον, ὅμοιόν τι τῷ ὄψῳ καὶ τοῖς
ἡδύσμασι πρὸς ἄλληλα πάσχουσιν· τὸ γὰρ ὑγρὸν [t]τῷ ξηρῷ
αἴτιον τοῦ ὁρίζεσθαι, καὶ ἑκάτερον ἑκατέρῳ οἷον [v]κόλλα
γίγνεται, ὥσπερ [w]καὶ Ἐμπεδοκλῆς ἐποίησεν ἐν τοῖς [x]φυσι-
κοῖς*

Ἄλφιτον ὕδατι κολλήσας.

3 *Καὶ διὰ τοῦτο ἐξ ἀμφοῖν ἐστὶ τὸ ὡρισμένον σῶμα. Λέ-
γεται δὲ [y]τῶν στοιχείων [z]ἰδιαίτατα [a]ξηροῦ μὲν γῆ, [b]ὑγροῦ
[c]δὲ ὕδωρ. [d]Διὰ τοῦτο [e]ἅπαντα τὰ ὡρισμένα σώματα ἐν-
ταῦθα οὐκ ἄνευ γῆς καὶ ὕδατος· [f]ὁποτέρου [g]δὲ πλεῖον, κατὰ*
4 *[h]τὴν δύναμιν τούτου ἕκαστον φαίνεται. Καὶ ἐν γῇ καὶ ἐν
ὕδατι ζῷα μόνον ἐστίν, [i]ἐν ἀέρι δὲ καὶ πυρὶ οὐκ ἔστιν, ὅτι
τῶν σωμάτων ὕλη ταῦτα. [k]Τῶν δὲ σωματικῶν παθημάτων
ταῦτα πρῶτα [l]ἀνάγκη ὑπάρχειν τῷ ὡρισμένῳ, σκληρότητα
ἢ μαλακότητα· ἀνάγκη γὰρ τὸ [m]ἐκ ξηροῦ καὶ ὑγροῦ ἢ*
5 *σκληρὸν εἶναι ἢ μαλακόν. Ἔστι δὲ σκληρὸν μὲν τὸ μὴ
ὑπεῖκον εἰς αὑτὸ κατὰ τὸ ἐπίπεδον, μαλακὸν δὲ τὸ ὑπεῖκον
τῷ μὴ ἀντιπεριίστασθαι· τὸ γὰρ ὕδωρ οὐ μαλακόν· οὐ γὰρ*

[k] *ὑγρῶν καὶ ξηρῶν* N. [l] *δ' ἂν μᾶλλον* H.N. [m] *τούτου* om. E. [n] *μᾶλλον* om. E.F. [o] *φυσικὴν* E. [p] *ἔστι* F. [q] *περὶ* F. et fortasse pr. E. [r] *τὸ* om. H.N. [s] *τηκτικόν* E. [t] *αἴτιον τῷ ξηρῷ* F. [v] *γίγνεται κόλλα* F. [w] *καὶ* om. F. [x] *περσικοῖς* E. [y] *τῶν* om. E. [z] *ἰδιώτατα* E. [a] *ξηρὸν μὲν γῆς* F, *ξηροῦ μὲν ἡ γῆ* N. [b] *ὑγρῷ* F. [c] *δὲ τὸ ὕδωρ* N. [d] *διὰ τοῦτο*] *καὶ διὰ τοῦτο* F, *διὰ τοῦτο δ'* H. [e] *ἅπαντα γε τὰ* H.N. [f] *ὁπότερον* E. [g] *δὲ ἂν πλ.* H.N. [h] *τὴν δύναμιν*] *φύσιν* N. [i] *ἐν— ἔστιν* om. H.N. et corr. F. [k] *δὲ τῶν* E. [l] *ὑπάρχειν ἀνάγκη* F. [m] *ἐξ ὑγροῦ καὶ ξηροῦ* F.H.N.

ὑπείκει τῇ θλίψει τὸ ἐπίπεδον εἰς βάθος, ἀλλ' ἀντιπεριίσταται. Ἁπλῶς μὲν οὖν σκληρὸν ἢ μαλακὸν [n] τὸ ἁπλῶς τοιοῦτον, πρὸς ἕτερον δὲ τὸ πρὸς ἐκεῖνο τοιοῦτον. Πρὸς μὲν 6
οὖν ἄλληλα ἀόριστά ἐστι [o] τῷ μᾶλλον καὶ ἧττον· ἐπεὶ δὲ πρὸς τὴν αἴσθησιν [p] πάντα κρίνομεν τὰ αἰσθητά, δῆλον ὅτι καὶ τὸ [q] σκληρὸν καὶ τὸ μαλακὸν ἁπλῶς πρὸς τὴν ἁφὴν ὡρίκαμεν, ὡς μεσότητι χρώμενοι τῇ ἁφῇ. Διὸ τὸ μὲν ὑπερβάλλον [r] αὐτῆς σκληρόν, τὸ δ' [s] ἐλλεῖπον μαλακὸν εἶναί φαμεν.

Ἀνάγκη δὲ σκληρὸν [t] ἢ μαλακὸν εἶναι τὸ ὡρισμένον σῶμα 5
οἰκείῳ ὅρῳ· ἢ γὰρ [v] ὑπείκειν ἢ μή· ἔτι πεπηγὸς εἶναι· [w] τούτῳ γὰρ ὁρίζεται. Ὥστ' ἐπεὶ [x] πᾶν [y] μὲν τὸ ὡρισμένον καὶ [z] συνεστηκὸς [a] ἢ μαλακὸν ἢ σκληρόν, ταῦτα δὲ [b] πήξει ἐστίν, ἅπαντ' ἂν εἴη τὰ σώματα [c] τὰ σύνθετα καὶ [d] ὡρισμένα οὐκ ἄνευ πήξεως. [e] Πήξεως οὖν πέρι [f] ῥητέον. Ἔστι [g] δὲ τὰ 2
αἴτια τὰ [h] περὶ τὴν ὕλην δύο, τό τε ποιοῦν καὶ τὸ πάθος, τὸ [i] μὲν [k] ποιοῦν ὡς ὅθεν ἡ κίνησις, τὸ δὲ πάθος ὡς εἶδος. Ὥστε καὶ πήξεως καὶ διαχύσεως, καὶ τοῦ ξηραίνεσθαι καὶ τοῦ ὑγραίνεσθαι. Ποιεῖ δὲ τὸ ποιοῦν δυσὶ δυνάμεσι, καὶ πάσχει [l] τὸ 3
πάσχον [m] παθήμασι δυσίν, [n] ὥσπερ εἴρηται· ποιεῖ μὲν θερμῷ καὶ ψυχρῷ, τὸ δὲ πάθος ἢ [o] παρουσίᾳ ἢ ἀπουσίᾳ θερμοῦ ἢ ψυχροῦ. Ἐπεὶ δὲ τὸ πήγνυσθαι ξηραίνεσθαί πώς ἐστι, περὶ τούτου εἴπωμεν πρῶτον. Τὸ δὴ πάσχον [p] ἢ ὑγρὸν ἢ ξηρὸν [p] ἢ ἐκ τούτων. Τιθέμεθα δὲ ὑγροῦ σῶμα ὕδωρ, ξηροῦ δὲ 4
γῆν· ταῦτα [q] γὰρ τῶν ὑγρῶν καὶ [r] τῶν ξηρῶν παθητικά. Διὸ καὶ [s] τὸ ψυχρὸν τῶν παθητικῶν μᾶλλον· ἐν τούτοις γὰρ

[n] τὸ ἁπλῶς om. E. [o] τὸ H. [p] κρίνομεν πάντα F. [q] μαλακὸν καὶ τὸ σκληρὸν F. [r] αὐτὴν E.N. [s] λεῖπον F, λεπτὸν E, λεπτὸν καὶ H.N. [t] εἶναι ἢ μαλακὸν N. [v] ὑπείκει E.N. [w] τοῦτο F. [x] πάν om. F. [y] μὲν om. E.F. [z] συνεστὼς margo N: qui pr. cum H. om. καὶ συνεστηκός. [a] ἢ μ.] καὶ μ. H.N. [b] πῆξις F.N. [c] τὰ ante σύνθ. om. E.F. [d] ὡρ. καὶ οὐκ ἄνευ πήξεως καὶ διαχώσεως pr. F. [e] πήξεως alterum om. E.F. [f] ῥητέον ἐστίν. ἔστι E. [g] δὴ H.N. [h] παρὰ E.N. [i] μὲν] μὲν οὖν F.H.N. [k] ποιοῦν om. N. [l] τὸ πάσχον om. H.N. [m] δυσὶ παθήμασιν F.H.N. [n] ὡς E. [o] ἀπουσία ἢ παρουσία E.H.N. [p] ἢ ante ὑγρὸν et ante ἐκ om. E. [q] γὰρ ἐκ τῶν H.N. [r] τῶν post καὶ om. E. [s] τὸ om. E.

5 ἐστι· καὶ [t] γὰρ ἡ γῆ καὶ τὸ ὕδωρ ψυχρὰ ὑπόκειται. Ποιη-
τικὸν δὲ τὸ ψυχρὸν ὡς φθαρτικὸν ἢ ὡς κατὰ συμβεβηκός,
καθάπερ εἴρηται πρότερον· ἐνίοτε [v] γὰρ καὶ [w] κάειν λέγεται
καὶ θερμαίνειν τὸ ψυχρόν, οὐχ ὡς τὸ θερμόν, ἀλλὰ τῷ συνά-
γειν ἢ [x] ἀντιπεριιστάναι τὸ θερμόν. Ξηραίνεται δὲ ὅσα
ἐστὶν ὕδωρ καὶ ὕδατος εἴδη, ἢ ἔχει ὕδωρ εἴτ' ἐπακτὸν εἴτε
6 συμφυές. Λέγω δ' ἐπακτὸν μὲν οἷον ἐν ἐρίῳ, σύμφυτον δ'
οἷον ἐν γάλακτι. Ὕδατος δ' εἴδη τὰ τοιάδε, οἶνος, οὖρον,
[y] ὀρρός, καὶ ὅλως ὅσα μηδεμίαν ἢ βραχεῖαν ἔχει ὑπόστασιν,
μὴ [z] διὰ γλισχρότητα· ἐνίοις [a] μὲν γὰρ αἴτιον τοῦ μὴ ὑφί-
7 στασθαι μηδὲν ἡ γλισχρότης, ὥσπερ ἐλαίῳ ἢ πίττῃ. Ξηραί-
νεται δὲ πάντα ἢ θερμαινόμενα ἢ ψυχόμενα, ἀμφότερα δὲ
θερμῷ, καὶ ὑπὸ τῆς ἐντὸς θερμότητος ἢ τῆς [b] ἔξω· καὶ γὰρ
τὰ τῇ ψύξει ξηραινόμενα, ὥσπερ ἱμάτιον, [c] ἐὰν ᾖ κεχωρι-
σμένον αὐτὸ καθ' αὑτὸ [d] τὸ ὑγρόν, ὑπὸ [e] τοῦ ἐντὸς θερμοῦ
συνεξατμίζοντος τὸ ὑγρὸν ξηραίνεται, ἂν ὀλίγον ᾖ τὸ ὑγρόν,
8 ἐξιούσης τῆς θερμότητος ὑπὸ τοῦ περιεστῶτος ψυχροῦ. Ξη-
ραίνεται μὲν οὖν, ὥσπερ [f] εἴρηται, [g] ἅπαντα ἢ θερμαινόμενα
ἢ ψυχόμενα, καὶ πάντα θερμῷ, ἢ τῷ ἐντὸς ἢ τῷ ἐκτὸς συνεξ-
ατμίζοντι τὸ ὑγρόν. Λέγω δ' ἐκτὸς μέν, ὥσπερ τὰ ἑψό-
μενα, ἐντὸς δέ, [h] ὅταν ἀφαιρεθέντος ὑφ' ἧς ἔχει θερμότητος
ἀναλωθῇ ἀποπνεούσης. Περὶ μὲν οὖν τοῦ ξηραίνεσθαι εἴ-
ρηται.

6 Τὸ δ' ὑγραίνεσθαί ἐστιν ἓν μὲν τὸ ὕδωρ γίγνεσθαι συνι-
στάμενον, ἓν δὲ τὸ τήκεσθαι τὸ πεπηγός. Τούτων δὲ συνί-
σταται μὲν [i] εἰς ὕδωρ ψυχόμενον τὸ πνεῦμα· περὶ δὲ τήξεως
ἅμα [k] καὶ πήξεως ἔσται δῆλον. Πήγνυται δὲ ὅσα πήγνυται
ἢ ὕδατος ὄντα ἢ γῆς καὶ ὕδατος, καὶ ταῦτα [l] ἢ θερμῷ ξηρῷ ἢ
2 ψυχρῷ. Διὸ καὶ λύεται τοῖς ἐναντίοις, ὅσα λύεται τῶν ὑπὸ

[t] γὰρ post καὶ om. E.N. [v] γὰρ] δὲ F. [w] καίειν F.H.N. [x] ἀντι-περιΐστασθαι F. [y] ὀρὸς E.H. [z] διὰ] δὲ E. [a] μὲν om. F.H.N. [b] ἔξω] ἐκτὸς F. [c] ὅταν F. [d] τὸ om. H.N. [e] τοῦ θερμοῦ τοῦ ἐντὸς F. [f] προείρηται H. [g] πάντα F.H. [h] ὅτε H. [i] εἰς ὕδωρ om. E.N, in margine ponit F. [k] καὶ περὶ πήξεως H.N. [l] ἢ θερμῷ ἢ ψυχρῷ ἢ ξηρῷ E, ἢ ψυχρῷ ἢ ξηρῷ ἢ θερμῷ ἢ ὑγρῷ F.

*θερμοῦ παγέντων ἢ ὑπὸ ψυχροῦ· τὰ μὲν γὰρ ὑπὸ ξηροῦ
θερμοῦ παγέντα [m] ὑπὸ ὕδατος λύεται, [n] ὅ ἐστιν ὑγρὸν [o] ψυ-
χρόν, τὰ δὲ ὑπὸ ψυχροῦ παγέντα ὑπὸ πυρὸς λύεται, ὅ ἐστι
θερμόν. Πήγνυσθαι δ' ἔνια δόξειεν ἂν ὑπὸ ὕδατος, [p] οἷον τὸ* 3
*μέλι τὸ ἑφθόν· πήγνυται δ' οὐχ ὑπὸ τοῦ ὕδατος, ἀλλ' ὑπὸ
τοῦ ἐν αὐτῷ ψυχροῦ. Ὅσα μὲν [q] οὖν ἐστὶν ὕδατος, οὐ
πήγνυται ὑπὸ πυρός. [r] Λύεται γὰρ ὑπὸ πυρός, τὸ δ' αὐτὸ
τῷ αὐτῷ κατὰ ταὐτὸ οὐκ [s] ἔστιν αἴτιον τοῦ ἐναντίου. Ἔτι* 4
*τῷ [t] ἀπιέναι τὸ θερμὸν πήγνυται, ὥστε δῆλον ὅτι [v] τῷ εἰσιέ-
ναι λυθήσεται· [w] ὥστε ποιοῦντος τοῦ ψυχροῦ πήγνυται.
[x] Διὸ οὐ παχύνεται [y] τὰ τοιαῦτα πηγνύμενα· ἡ γὰρ πάχυνσις
ὑγροῦ μὲν ἀπιόντος γίγνεται, τοῦ ξηροῦ δὲ συνισταμένου·
ὕδωρ δὲ τῶν ὑγρῶν οὐ παχύνεται μόνον. Ὅσα δὲ κοινὰ γῆς* 5
*καὶ ὕδατος, καὶ [z] ὑπὸ πυρὸς πήγνυται καὶ [a] ὑπὸ [b] τοῦ ψυ-
χροῦ, παχύνεται [c] δ' ὑπ' ἀμφοῖν ἔστι [d] μὲν ὡς τὸν αὐτὸν
τρόπον, ἔστι δ' ὡς ἄλλως, ὑπὸ [e] μὲν θερμοῦ τὸ ὑγρὸν [f] ἐξά-
γοντος (ἐξατμίζοντος [g] γὰρ τοῦ ὑγροῦ παχύνεται τὸ ξηρὸν
καὶ συνίσταται), ὑπὸ δὲ [h] τοῦ ψυχροῦ [i] τὸ θερμὸν ἐκθλί-
βοντος, μεθ' οὗ τὸ ὑγρὸν συναπέρχεται συνεξατμίζον. Ὅσα* 6
*μὲν οὖν μαλακὰ ἀλλὰ μὴ ὑγρά, οὐ παχύνεται ἀλλὰ πήγνυ-
ται ἐξιόντος τοῦ ὑγροῦ, οἷον ὁ [k] ὀπτώμενος κέραμος· ὅσα δὲ
ὑγρὰ τῶν μικτῶν, καὶ παχύνεται, οἷον γάλα. Πολλὰ δὲ* 7
*καὶ ὑγραίνεται πρῶτον, ὅσα ἢ παχέα ἢ σκληρὰ ὑπὸ ψυχροῦ
προϋπῆρχεν ὄντα, ὥσπερ καὶ ὁ κέραμος τὸ πρῶτον [k] ὀπτώ-
μενος ἀτμίζει καὶ μαλακώτερος γίνεται· διὸ [l] καὶ διαστρέ-
φεται ἐν [m] ταῖς καμίνοις. Ὅσα μὲν οὖν ὑπὸ ψυχροῦ πήγνυ-* 8
*ται τῶν κοινῶν γῆς καὶ ὕδατος, [n] πλεῖον δὲ [o] ἐχόντων γῆς,*

[m] *ὑπὸ ὑδ.—παγέντα* om. N. [n] *ὅπερ* F. [o] *ψυχρόν* om. F. [p] *οἷον*] *ὡς* F.N. [q] *οὖν* om. F. [r] *λύεται γὰρ ὑπὸ πυρός* om. E. [s] *ἔσται* H. [t] *ἀπεῖναι* F.H.N. [v] *τῷ*] *τὸ* F. [w] *ὡς δὲ ποιοῦντος ὑπὸ ψ.* E. [x] *διὸ καὶ οὐ* F.H.N. [y] *τὰ τοιαῦτα*] *ταῦτα* F. [z] *ὑπὸ τοῦ πυρὸς* F. [a] *ὑπὸ* om. E. [b] *τοῦ* om. E.H.N. [c] *δ'*] *δὲ καὶ* F. [d] *μὲν οὖν ὡς* F. [e] *μὲν τοῦ θ.* F. [f] *ἐξαγαγόντος* F. [g] *τοῦ ὑγροῦ γὰρ* E. [h] *τοῦ* om. E.H.N. [i] *τὸ θ. ἐκθλ.*] *τοῦ θερμοῦ ἐκλυθέντος* H, *τοῦ θερμοῦ ἐκβληθέντος* N. [k] *ὀπτόμενος* F. [l] *καὶ* om. E. [m] *τοῖς* N. [n] *πλέον* N, *πλέων* E. [o] *ἐχόντων τῆς γῆς* F.

τὰ μὲν τῷ τὸ θερμὸν ἐξεληλυθέναι πηγνύμενα, ταῦτα τήκεται
θερμῷ [p] εἰσιόντος πάλιν τοῦ θερμοῦ, οἷον [q] ὁ πηλὸς ὅταν
παγῇ· ὅσα δὲ διὰ ψύξιν, καὶ τοῦ θερμοῦ [r] συνεξατμίσαντος
ἅπαντος, ταῦτα [s] δὲ ἄλυτα [t] μὴ ὑπερβαλλούσῃ θερμότητι,
9 ἀλλὰ μαλάττεται, οἷον σίδηρος καὶ κέρας. Τήκεται δὲ [v] καὶ
ὁ εἰργασμένος σίδηρος, ὥστε ὑγρὸς γίγνεσθαι καὶ πάλιν
πήγνυσθαι. Καὶ τὰ στομώματα ποιοῦσιν οὕτως· ὑφίστα-
ται γὰρ καὶ ἀποκαθαίρεται κάτω ἡ [w] σκωρία· ὅταν δὲ πολ-
λάκις πάθῃ καὶ καθαρὸς γένηται, [x] τοῦτο στόμωμα γίγνεται.
10 Οὐ ποιοῦσι δὲ πολλάκις αὐτὸ διὰ τὸ ἀπουσίαν γίγνεσθαι
πολλὴν καὶ τὸν σταθμὸν ἐλάττω ἀποκαθαιρομένου. Ἔστι
δ' ἀμείνων σίδηρος ὁ ἐλάττω ἔχων [y] ἀποκάθαρσιν. Τήκεται
δὲ καὶ ὁ λίθος ὁ πυρίμαχος ὥστε στάζειν καὶ ῥεῖν· τὸ [z] δὲ
11 πηγνύμενον ὅταν ῥυῇ, πάλιν [a] γίγνεται σκληρόν. Καὶ αἱ
μύλαι τήκονται [b] ὥστε ῥεῖν· τὸ δὲ ῥέον πηγνύμενον τὸ μὲν
χρῶμα μέλαν, ὅμοιον δὲ γίνεται [c] τῇ τιτάνῳ. Τήκεται [d] δὲ
καὶ ὁ πηλὸς καὶ ἡ γῆ. Ὅσα δ' ὑπὸ [e] θερμοῦ ξηροῦ πήγνυ-
12 ται, τὰ μὲν ἄλυτα, τὰ δὲ [f] λύεται ὑγρῷ. Κέραμος μὲν οὖν
καὶ λίθων ἐνίων γένη, [g] ὅσοι ὑπὸ πυρὸς τῆς γῆς [h] συγκαυ-
θείσης γίγνονται, οἷον οἱ μυλίαι, [i] ἄλυτα, νίτρον δὲ καὶ ἅλες
λυτὰ ὑγρῷ, οὐ παντὶ δὲ ἀλλὰ ψυχρῷ. Διὸ ὕδατι καὶ ὅσα
ὕδατος εἴδη [k] τήκεται, [l] ἐλαίῳ δ' οὐ τήκεται. Τῷ γὰρ ξηρῷ
θερμῷ ἐναντίον ψυχρὸν ὑγρόν. Εἰ οὖν ἔπηξε θάτερον,
[m] θάτερον λύσει· οὕτω γὰρ τἀναντία ἔσται [n] αἴτια τῶν
ἐναντίων.

7 Παχύνεται μὲν οὖν ὑπὸ πυρὸς μόνον, ὅσα ὕδατος [o] πλεῖον
ἔχει ἢ γῆς, πήγνυται δέ, ὅσα γῆς. Διὸ καὶ τὸ νίτρον [p] καὶ
οἱ ἅλες γῆς εἰσὶ μᾶλλον, καὶ λίθος καὶ κέραμος. [q] Ἀπορώ-

[p] προσιόντος H.N. [q] ὁ om. F. [r] συνεξατμίζοντος F.N. [s] δὴ F.H.N. [t] μὴ] εἰ μὴ H.N. [v] καὶ post δὲ om. F. [w] σκορία H. [x] τοῦτο τὸ στ. E.H.N. [y] κάθαρσιν H.N. [z] δὲ ῥέον ὅταν πηχθῇ N. [a] σκληρὸν γίνεται F. [b] ὥστε—γίνεται margo F. [c] τῷ N. [d] δὲ om. F. [e] ξηροῦ θερμοῦ F.H.N. [f] λυτὰ E. [g] ὅσα F. [h] καθείσης F. [i] ἄλυτοι F.H. [k] τήκονται E. [l] ἐλαία N. ἐλαίῳ δ' οὐ τήκεται margo F. [m] θάτερον alterum om. F.H. [n] τῶν ἐναντίων αἴτια F. [o] ἔχει πλεῖον H.N. [p] καὶ οἱ ἅλες om. F. [q] ἀποιώτατα E.

τατα δ᾽ ἔχει ἡ τοῦ ἐλαίου φύσις. Εἰ μὲν γὰρ ὕδατος [r] ἔχει 2
πλέον, ἔδει πήγνυσθαι ὑπὸ ψυχροῦ [s] ὡς οἱ πάγοι, εἰ δὲ γῆς
[t] πλεῖον, ὑπὸ πυρὸς [v] ὡς ὁ κέραμος· νῦν δὲ πήγνυται μὲν ὑπ᾽
οὐδετέρου, παχύνεται δ᾽ ὑπ᾽ ἀμφοῖν. Αἴτιον δ᾽ ἐστὶν ὅτι
ἀέρος ἐστὶ πλῆρες. Διὸ καὶ ἐν τῷ ὕδατι ἐπιπολάζει· καὶ
[w] γὰρ ὁ ἀὴρ φέρεται ἄνω. Τὸ μὲν οὖν [x] ψυχρὸν ἐκ τοῦ 3
ἐνόντος πνεύματος ὕδωρ ποιοῦν παχύνει· ἀεὶ γάρ, ὅταν μιχθῇ
[y] ὕδωρ καὶ ἔλαιον, ἀμφοῖν γίνεται παχύτερον. Ὑπὸ δὲ
πυρὸς καὶ χρόνου παχύνεται καὶ λευκαίνεται, [z] λευκαίνεται
μὲν ἐξατμίζοντος εἴ τι ἐνῆν ὕδατος, παχύνεται δὲ διὰ τὸ
μαραινομένου τοῦ θερμοῦ ἐκ τοῦ ἀέρος γίγνεσθαι ὕδωρ.
Ἀμφοτέρως μὲν [a] οὖν τὸ αὐτὸ γίνεται πάθος, καὶ διὰ τὸ 4
αὐτό, ἀλλ᾽ οὐχ ὡσαύτως. [b] Παχύνεται μὲν οὖν ὑπ᾽ ἀμφο-
τέρων, ξηραίνεται δ᾽ ὑπ᾽ οὐδετέρου· [c] οὔτε γὰρ ὁ ἥλιος [d] οὔτε
τὸ ψῦχος ξηραίνει· οὐ μόνον διότι γλίσχρον, [e] ἀλλὰ καὶ
διότι ἀέρος ἐστίν. Οὐ ξηραίνεται δὲ τὸ [f] ὕδωρ οὐδ᾽ [g] ἐξέψε-
ται ὑπὸ πυρός, ὅτι [h] οὐκ ἀτμίζει διὰ γλισχρότητα. Ὅσα 5
δὲ μικτὰ ὕδατος καὶ γῆς, κατὰ τὸ πλῆθος ἑκατέρου ἄξιον
λέγεσθαι· οἶνος γάρ τις καὶ πήγνυται καὶ ἕψεται, οἷον τὸ
γλεῦκος. Ἀπέρχεται δ᾽ ἀπὸ πάντων τῶν τοιούτων ξηραι-
νομένων τὸ ὕδωρ. Σημεῖον δ᾽ ὅτι τὸ ὕδωρ· ἡ γὰρ ἀτμὶς
συνίσταται εἰς ὕδωρ, [i] ἐάν τις βούληται συλλέγειν. Ὥστε 6
ὅσοις λείπεταί τι, τοῦτο γῆς. Ἔνια δὲ τούτων καὶ ὑπὸ
ψυχροῦ, ὥσπερ εἴρηται, παχύνεται καὶ ξηραίνεται· τὸ γὰρ
ψυχρὸν οὐ μόνον πήγνυσιν, ἀλλὰ ξηραίνει μὲν [k] τὸ ὕδωρ,
παχύνει δὲ τὸν ἀέρα ὕδωρ ποιοῦν. Ἡ δὲ πῆξις εἴρηται ξη-
ρασία τις οὖσα. Ὅσα μὲν οὖν μὴ παχύνεται ὑπὸ [l] τοῦ 7
ψυχροῦ ἀλλὰ πήγνυται, ὕδατός ἐστι μᾶλλον, οἷον [m] οἶνος

[r] ἔχει πλέον om. E.H.N. [s] ὡς οἱ πάγοι om. E.H.N. [t] πλέον N.
[v] ὡς ὁ κέραμος om. E.H.N. [w] γὰρ om. E. [x] ψυχρὸν τὸ ἐκτὸς ἐκ H.N.
[y] ἔλαιον καὶ ὕδωρ F. [z] λευκαίνεται alterum om. E. [a] οὖν om. F.
[b] παχύνεται—ἀμφοτέρων om. pr. E. [c] οὔτε] οὐ E.H.N. [d] οὔτε] οὐδὲ
H, οὐδὲ γὰρ N. [e] ἀλλὰ καὶ ὅτι H.N, ἀλλ᾽ ὅτι καὶ F. [f] ὕδωρ] ἔλαιον
F.H.N. [g] ἕψεται F.H.N, ψύχεται E. [h] οὐ κατατμίζει E. [i] ἂν F.H.N.
[k] τὸ om. E.F. [l] τοῦ om. F. [m] οὖρον καὶ οἶνος N.

καὶ οὖρον καὶ ὄξος καὶ κονία καὶ [n] ὀρρός· ὅσα δὲ παχύνεται
μὴ ἐξατμίζοντα ὑπὸ πυρός, τὰ μὲν γῆς, τὰ δὲ [o] κοινὰ ὕδατος
8 καὶ ἀέρος, μέλι [p] μὲν γῆς, ἔλαιον δ' ἀέρος. Ἔστι δὲ καὶ τὸ
γάλα καὶ τὸ αἷμα ἀμφοῖν μὲν κοινὰ [q] καὶ ὕδατος καὶ γῆς,
μᾶλλον δὲ τὰ πολλὰ γῆς, ὥσπερ καὶ ἐξ ὅσων ὑγρῶν νίτρον
[r] γίνεται καὶ ἅλες. [s] Καὶ λίθοι δ' ἔκ τινων συνίστανται
τοιούτων. Διὸ ἐὰν μὴ χωρισθῇ ὁ [n] ὀρρός, [t] ἐκκάεται ὑπὸ τοῦ
9 πυρὸς ἑψόμενος. Τὸ δὲ γεῶδες συνίσταται καὶ ὑπὸ τοῦ
ὀποῦ, ἐάν πως ἕψῃ τις, οἷον [v] οἱ ἰατροὶ ὀπίζοντες. Οὕτω
δὲ [w] χωρίζεται ὁ [n] ὀρρὸς καὶ ὁ τυρός. Ὁ δὲ χωρισθεὶς
[n] ὀρρὸς οὐκέτι παχύνεται, ἀλλ' [x] ἐκκάεται ὥσπερ ὕδωρ. Εἰ
δέ τι μὴ ἔχει [y] τυρὸν γάλα ἢ ὀλίγον, τοῦτο [z] μᾶλλον ὕδατος
10 καὶ ἄτροφον. Καὶ τὸ [a] αἷμα ὁμοίως· πήγνυται γὰρ τῷ
ξηραίνεσθαι ψυχόμενον. Ὅσα δὲ μὴ πήγνυται, οἷον τὸ τῆς
ἐλάφου, τὰ τοιαῦτα ὕδατος μᾶλλον, καὶ [b] ψυχρότατα [c] ταῦ-
τα. Διὸ καὶ οὐκ ἔχει ἶνας· αἱ γὰρ ἶνές [d] εἰσι γῆς καὶ στε-
11 ρεόν. Ὥστε [e] καὶ [f] ἐξαιρεθεισῶν οὐ πήγνυται. Τοῦτο δ'
[g] ἔσται, ὅτι οὐ ξηραίνεται· ὕδωρ γὰρ τὸ λοιπόν, ὥσ[h]περ
τὸ γάλα τοῦ τυροῦ ἐξαιρεθέντος. Σημεῖον δέ· τὰ νοσώδη
[i] γὰρ αἵματα οὐ θέλει πήγνυσθαι· ἰχωροειδῆ γάρ, τοῦτο δὲ
φλέγμα καὶ ὕδωρ διὰ τὸ ἄπεπτον εἶναι καὶ ἀκράτητον ὑπὸ
12 τῆς φύσεως. [k] Ἔτι δὲ τὰ μὲν λυτά ἐστιν, οἷον νίτρον, τὰ
δὲ ἄλυτα, οἷον [l] κέραμος, καὶ τούτων τὰ μὲν μαλακτά, οἷον
[m] κέρας, τὰ δὲ ἀμάλακτα, οἷον κέραμος καὶ λίθος. Αἴτιον
[n] δ' ὅτι τὰ ἐναντία τῶν ἐναντίων αἴτια, ὥστ' εἰ πήγνυται
[o] δυοῖν, ψυχρῷ καὶ ξηρῷ, λύεσθαι ἀνάγκη θερμῷ καὶ ὑγρῷ.
13 Διὸ πυρὶ καὶ ὕδατι (ταῦτα γὰρ ἐναντία), ὕδατι μὲν ὅσα πυρὶ

[n] ὀρὸς E. [o] ὕδατος καὶ ἀέρος κοινὰ F. [p] μὲν οὖν γῆς F. [q] καὶ ante ὕδ. om. F.H.N. [r] καὶ ἅλες γίνεται H.N. [s] καὶ om. F. [t] ἐκκαίεται F. [v] οἱ om. E. [w] χωρ. καὶ ὁ F.H.N. [x] ἐκκαίεται F.N. [y] τυρὸς F. [z] μᾶλλον—γὰρ margo F. [a] αἷμα δὲ ὁμοίως πλεῖον γῆς. πήγνυται H.N. [b] ψυχρὰ H.N. [c] ταῦτα om. E. [d] εἰσι τῆς γῆς F. [e] καὶ om. H.N. [f] διεξαιρεθεισῶν F. [g] ἔστιν F.H.N. [h] περ om. F.H.N. [i] γὰρ om. H.N. [k] ἔτι] ὅτι N. [l] κέραμος καὶ λίθος καὶ F. [m] κέρας—οἷον om. E. [n] δ' om. E. [o] δυσὶ N.

μόνῳ, πυρὶ δὲ ὅσα [p] ψυχρῷ μόνῳ· ὥστ' [q] εἰ ὑπ' ἀμφοῖν συμ-
βαίνει πήγνυσθαι, ταῦτ' ἄλυτα μάλιστα. Γίγνεται δὲ [r] τοιαῦ- 14
τα ὅσα θερμανθέντα ἔπειτα τῷ ψυχρῷ πήγνυται· συμβαίνει
γάρ, ὅταν τὸ θερμὸν ἐξικμάσῃ ἐξιόν, τὸ πλεῖστον ὑγρὸν
συνθλίβεσθαι πάλιν ὑπὸ τοῦ ψυχροῦ, ὥστε μηδ' ὑγρῷ διδό-
ναι δίοδον. Καὶ διὰ ταῦτα οὔτε τὸ θερμὸν λύει· ὅσα γὰρ 15
ὑπὸ ψυχροῦ πήγνυται μόνου, ταῦτα λύει· [s] οὔθ' ὑπὸ ὕδατος·
ὅσα γὰρ ὑπὸ ψυχροῦ πήγνυται, οὐ λύει, ἀλλ' ὅσα ὑπὸ θερ-
μοῦ ξηροῦ μόνον. Ὁ δὲ σίδηρος τακεὶς ὑπὸ θερμοῦ [t] ψύχει
πήγνυται, [v] ὥστε πρὸς πῆξιν ἀμφοτέρων δεῖται· διὸ ἄλυτον.
Τὰ δὲ ξύλα [w] ἐστὶ γῆς καὶ ἀέρος· [x] διὸ καυστὰ καὶ οὐ τηκτὰ 16
οὐδὲ μαλακτά, καὶ [y] ἐπὶ τῷ ὕδατι ἐπιπλεῖ, πλὴν ἐβένου. Αὕτη
δ' οὔ· τὰ μὲν γὰρ ἄλλ' ἀέρος ἔχει [z] πλεῖον, ἐκ δὲ τῆς ἐβένου τῆς
μελαίνης διαπέπνευκεν ὁ ἀήρ, καὶ ἔστι πλεῖον ἐν αὐτῇ γῆς.
Κέραμος δὲ γῆς μόνης διὰ τὸ ξηραινόμενος παγῆναι κατὰ 17
μικρόν· οὔτε γὰρ τὸ ὕδωρ εἰσόδους ἔχει, δι' ὧν [a] μόνον πνεῦ-
μα ἐξῆλθεν, οὔτε πῦρ· ἔπηξε γὰρ αὐτό. Τί μὲν οὖν [b] ἐστὶ
[c] πῆξις καὶ τῆξις, καὶ διὰ πόσα καὶ ἐν πόσοις ἐστίν, εἴρηται.
Ἐκ δὲ τούτων φανερὸν ὅτι ὑπὸ [d] θερμοῦ καὶ ψυχροῦ 8
συνίσταται τὰ σώματα, ταῦτα [e] δὲ παχύνοντα καὶ πηγνύντα
[f] ποιεῖται τὴν ἐργασίαν αὐτῶν. Διὰ δὲ τὸ ὑπὸ [g] τούτων
δημιουργεῖσθαι ἐν ἅπασι [h] μέν ἐστι θερμότης, τισὶ δὲ καὶ
ψυχρότης ᾗ ἐκλείπει. Ὥστ' ἐπεὶ ταῦτα μὲν ὑπάρχει διὰ
τὸ ποιεῖν, ὑγρὸν δὲ καὶ ξηρὸν διὰ τὸ πάσχειν, [i] μετέχει
αὐτῶν τὰ κοινὰ πάντων. Ἐκ μὲν οὖν ὕδατος καὶ γῆς τὰ 2
ὁμοιομερῆ σώματα συνίσταται, καὶ ἐν φυτοῖς καὶ [k] ἐν ζῴοις,
καὶ τὰ μεταλλευόμενα, οἷον χρυσὸς καὶ ἄργυρος καὶ ὅσα
[l] ἄλλα τοιαῦτα, ἐξ αὐτῶν τε [m] καὶ τῆς ἀναθυμιάσεως τῆς

[p] ψυχρῷ] ὕδατι H.N. [q] εἰ] εἴ τι F, εἴ τιν' H.N. [r] τοιαῦτα] ταῦτα E. [s] οὔθ' ὑπὸ ὕδατος om. E. [t] ψύχει] ψυχθεὶς E.H.N. [v] ὥστε—ἄλυτον om. E.F.H.N. [w] γῆς καὶ ἀέρος ἐστί H.N. [x] διὸ καὶ καυστὰ ἀλλ' οὐ F. [y] ἐπὶ om. H.N. [z] πλείω H.N. [a] μόνων E, om. H.N. [b] ἐστὶ om. F. [c] τῆξις καὶ πῆξις F.N. [d] ψυχροῦ καὶ θερμοῦ F. [e] δὲ καὶ παχ. καὶ F. [f] ποιεῖ F.N. [g] τοιούτων H.N. [h] μέν om. E.H.N. [i] μετέχειν E. [k] ἐν ante ζῴοις om. E. [l] τοιαῦτα ἄλλα F. [m] καὶ ἐκ τῆς H.N.

3 *ἑκατέρου ἐγκατακλειομένης, ὥσπερ εἴρηται ἐν ἄλλοις. Ταῦτα
δὲ διαφέρει ἀλλήλων τοῖς τε πρὸς τὰς αἰσθήσεις ἰδίοις
[n] ἅπαντα [o] καὶ τῷ ποιεῖν [p] τι δύνασθαι· [q] λευκὸν γὰρ καὶ
εὐῶδες καὶ ψοφητικὸν καὶ γλυκὺ καὶ θερμὸν [r] καὶ ψυχρὸν
τῷ ποιεῖν τι [s] δύνασθαι τὴν αἴσθησίν ἐστι, καὶ ἄλλοις οἰκει-
οτέροις πάθεσιν, ὅσα τῷ πάσχειν λέγονται, λέγω δ' οἷον τὸ
[t] τηκτὸν καὶ πηκτὸν καὶ καμπτὸν καὶ ὅσα ἄλλα τοιαῦτα·
[v] πάντα γὰρ τὰ τοιαῦτα παθητικά, [w] ὥσπερ τὸ ὑγρὸν καὶ*
4 *τὸ ξηρόν. Τούτοις [x] δ' ἤδη διαφέρει ὀστοῦν καὶ σὰρξ καὶ
νεῦρον καὶ ξύλον καὶ φλοιὸς καὶ λίθος καὶ τῶν ἄλλων ἕκα-
στον τῶν ὁμοιομερῶν μὲν φυσικῶν δὲ σωμάτων. Εἴπωμεν
δὲ πρῶτον [y] τὸν ἀριθμὸν αὐτῶν, ὅσα κατὰ δύναμιν καὶ ἀδυ-*
5 *ναμίαν λέγεται. Ἔστι δὲ [z] τάδε, πηκτὸν [a] ἄπηκτον, τηκτὸν
ἄτηκτον, [b] μαλακτὸν ἀμάλακτον, [c] τεγκτὸν ἄτεγκτον, καμ-
πτὸν ἄκαμπτον, κατακτὸν ἀκάτακτον, θραυστὸν ἄθραυστον,
θλαστὸν ἄθλαστον, πλαστὸν ἄπλαστον, πιεστὸν ἀπίεστον,
ἑλκτὸν ἄνελκτον, ἐλατὸν [d] ἀνήλατον, σχιστὸν ἄσχιστον,
τμητὸν ἄτμητον, γλίσχρον ψαθυρόν, πιλητὸν ἀπίλητον,*
6 *καυστὸν [e] ἄκαυστον, θυμιατὸν ἀθυμίατον. Τὰ μὲν οὖν πλεῖ-
στα [f] σχεδὸν τῶν σωμάτων τούτοις διαφέρει τοῖς πάθεσιν·
τίνα δ' ἕκαστον [g] τούτων ἔχει δύναμιν, εἴπωμεν. Περὶ μὲν
[h] οὖν πηκτοῦ καὶ ἀπήκτου [i] καὶ τηκτοῦ καὶ ἀτήκτου εἴρηται*
7 *μὲν καθόλου πρότερον, ὅμως δ' ἐπανέλθωμεν καὶ νῦν. Τῶν
γὰρ σωμάτων ὅσα [k] πήγνυται καὶ σκληρύνεται, τὰ μὲν ὑπὸ
θερμοῦ πάσχει τοῦτο τὰ δ' ὑπὸ ψυχροῦ, ὑπὸ μὲν τοῦ θερ-
μοῦ ξηραίνοντος τὸ ὑγρόν, ὑπὸ δὲ τοῦ ψυχροῦ ἐκθλίβοντος
τὸ θερμόν. Ὥστε τὰ μὲν ὑγροῦ ἀπουσίᾳ τὰ δὲ θερμοῦ*

[n] *ἅπαντα* ante *διαφέρει* N. [o] *καὶ* om. E.H.N. [p] *δύνασθαί τι* F. [q] *λευκὸν—θερμὸν* post *λέγονται* N. [r] *καὶ ψυχρὸν* om. E, *καὶ ψ.—ἐστι* om. N. [s] *δύνασθαι* om. F, qui post *ἐστι* pr. *καὶ τῷ δύνασθαι.* [t] *πη-κτὸν καὶ τηκτὸν* F. [v] *πάντα ἅπαντα γὰρ* E. [w] *ὥσπερ καὶ τὸ* N. [x] *δ' ἤδη*] *δὴ* E. [y] *τὸν* om. E. [z] *τάδε* om. E. [a] *ἄπηκτον* om. E. [b] *μαλακὸν* F. [c] *τεγκτὸν—ἀκάτακτον* om. H, *τεγκτὸν—ἄκαμπτον* om. N. [d] *ἀνέλατον* F.H, quorum F. hæc *ἐλ. ἀνελ.* ante *θραυστὸν* ponit. [e] *ἄκαυστον* om. E. [f] *τῶν σωμάτων σχεδὸν* F. [g] *ἔχει τούτων* N. [h] *οὖν* om. E. [i] *καὶ τηκτοῦ καὶ ἀτήκτου* H.N. [k] *πηγνύεται* F.H.

τοῦτο πάσχει, ὅσα μὲν ὕδατος, θερμοῦ, ὅσα δὲ γῆς, ὑγροῦ.
Τὰ μὲν οὖν ὑγροῦ ἀπουσίᾳ ὑπὸ ὑγροῦ διατήκεται, ἂν μὴ 8
οὕτω συνέλθῃ ὥστ' ἐλάττους τοὺς πόρους [l]λειφθῆναι τῶν
τοῦ ὕδατος ὄγκων, οἷον ὁ κέραμος· ὅσα δὲ μὴ οὕτω, [m]πάντα
ὑγρῷ τήκεται, οἷον νίτρον, [n]ἅλες, γῆ [o]ἡ ἐκ πηλοῦ. Τὰ
δὲ θερμοῦ στερήσει ὑπὸ θερμοῦ τήκεται, οἷον κρύσταλλος,
[p]μολίβδος, χαλκός. Ποῖα μὲν [q]οὖν [r]πηκτὰ καὶ τηκτά, 9
[s]εἴρηται, καὶ ποῖα ἄτηκτα. Ἄπηκτα δὲ ὅσα μὴ [t]ἔχει
ὑγρότητα ὑδατώδη, [v]μηδ' ὕδατός ἐστιν, ἀλλὰ πλεῖον θερμοῦ
καὶ γῆς, οἷον μέλι καὶ γλεῦκος ([w]ὥσπερ ζέοντα γάρ ἐστι),
καὶ ὅσα [x]ὕδατος μὲν ἔχει, ἔστι δὲ πλεῖον ἀέρος, ὥσπερ τὸ
ἔλαιον [y]καὶ [z]ἄργυρος χυτός, καὶ εἴ τι γλίσχρον, οἷον ἰξός.

Μαλακτὰ δ' ἐστὶ τῶν πεπηγότων ὅσα μὴ ἐξ ὕδατος, οἷον 9
κρύσταλλος ([a]πᾶς γὰρ κρύσταλλος ὕδατος), ἀλλ' [b]ὅσα γῆς
μᾶλλον, καὶ μήτ' ἐξίκμασται πᾶν τὸ ὑγρὸν ὥσπερ ἐν νίτρῳ
ἢ ἁλσί, μήτ' ἔχει ἀνωμάλως ὥσπερ ὁ κέραμος, ἀλλ' [c]εἰσὶν
[d]ἑλκτὰ μὴ ὄντα διαντά, ἢ ἐλατὰ μὴ [e]ὄντα ὕδατος, [f]καὶ
μαλακτὰ πυρί, οἷον σίδηρος καὶ κέρας καὶ [g]ξύλα. Ἔστι δὲ 2
καὶ τῶν τηκτῶν καὶ τῶν ἀτήκτων τὰ μὲν τεγκτὰ τὰ δὲ
ἄτεγκτα, [h]οἷον χαλκὸς ἄτεγκτον, τηκτὸν [i]ὄν, ἔριον δὲ καὶ
γῆ τεγκτόν· βρέχεται γάρ. Καὶ χαλκὸς μὲν δὴ τηκτόν,
οὐχ ὑπὸ ὕδατος δὲ τηκτόν. Ἀλλὰ καὶ τῶν ὑπὸ ὕδατος 3
τηκτῶν ἔνια ἄτεγκτα, οἷον νίτρον καὶ [k]ἅλες· οὐδὲ γὰρ ἄλλο
τεγκτὸν οὐδὲν ὃ μὴ [l]μαλακώτερον γίνεται βρεχόμενον.
Ἔνια δὲ τεγκτὰ ὄντα οὐ τηκτά ἐστιν, οἷον ἔριον καὶ οἱ
καρποί. Ἔστι δὲ τεγκτὰ μὲν ὅσα γῆς ὄντα ἔχει τοὺς πό-
ρους μείζους τῶν τοῦ ὕδατος ὄγκων, [m]ὄντων [n]δὲ σκληροτέ-

[l] ληφθῆναι F.H.N. [m] πάντα] ταῦτα F. [n] ἅλες καὶ γῆ F. [o] ἡ om. H.N. [p] μόλυβδος H.N. [q] οὖν om. F. [r] τηκτὰ καὶ πηκτὰ N. [s] εἴρηται—ἄτηκτα] καὶ ἄτηκτα εἴρηται H.N. [t] ἔχῃ F. [v] μηδ'] ἢ μὴ F. [w] ὥσπερ τὰ ζέοντα ἄτηκτα γὰρ F. [x] μὲν ὕδατος N. [y] καὶ ὁ ἄργυρος F. [z] ἄργ. χ.] ὑδράργυρος H.N. [a] πᾶς γὰρ κρύσταλλος rc. E: pr. enim cum F.H.N. om. [b] ὅσα om. H.N. [c] εἰσὶν] ἢ H.N, et corr. E. [d] ἑλκτὰ corr. E, ἑλκτὰ οἷον νεῦρον ἱμᾶς H.N. [e] ὄντος N. [f] καὶ μ.] ἀλλὰ μ. H.N. [g] ξύλον N. [h] οἷον ὁ χαλκὸς H.N. [i] ὢν F. [k] ἅλας E. [l] μαλακὸν F. [m] ὄντων om. corr. F. [n] δὲ om. E.H.N.

4 ρων τοῦ ὕδατος. Τηκτὰ δὲ ὕδατι ὅσα δι' ὅλου. Διὰ τί
[o] δ' ἡ μὲν γῆ [p] καὶ τήκεται καὶ τέγγεται ὑπὸ τοῦ ὑγροῦ, τὸ
δὲ νίτρον τήκεται μέν, τέγγεται δ' οὔ; Ὅτι ἐν μὲν τῷ νίτρῳ
δι' ὅλου οἱ πόροι, ὥστε [q] γε [r] διαιρεῖται [s] εὐθὺς ὑπὸ τοῦ ὕδα-
τος τὰ μόρια, ἐν δὲ τῇ γῇ καὶ παραλλάξ εἰσιν [t] οἱ πόροι,
5 ὥστε ὁποτέρως ἂν δέξηται, διαφέρει τὸ πάθος. Ἔστι δὲ
καὶ τὰ μὲν [v] τῶν σωμάτων καμπτὰ [w] καὶ εὐθυντά, οἷον κάλα-
μος καὶ λύγος, τὰ δ' ἄκαμπτα τῶν σωμάτων, οἷον κέραμος
6 καὶ λίθος. Ἔστι δὲ [x] καμπτὰ μὲν καὶ εὐθυντὰ [y] ὅσων σω-
μάτων [z] τὸ μῆκος δύναται εἰς εὐθύτητα ἐκ περιφερείας καὶ
[a] ἐξ εὐθύτητος εἰς περιφέρειαν μεταβάλλειν, καὶ τὸ κάμπτε-
σθαι καὶ τὸ εὐθύνεσθαί ἐστι τὸ εἰς εὐθύτητα ἢ περιφέρειαν
[b] μεθίστασθαι ἢ κινεῖσθαι· καὶ [c] γὰρ τὸ ἀνακαμπτόμενον
7 [d] καὶ τὸ κατακαμπτόμενον κάμπτεται. Ἡ μὲν οὖν εἰς [e] κυρ-
τότητα ἢ κοιλότητα κίνησις τοῦ μήκους σωζομένου κάμψις
ἐστίν· εἰ γὰρ [f] καὶ εἰς [g] τὸ εὐθύ, εἴη [h] ἂν [i] ἅμα κεκαμμένον
8 καὶ εὐθύ· ὅπερ ἀδύνατον, τὸ εὐθὺ κεκάμφθαι. Καὶ εἰ κάμ-
πτεται πᾶν ἢ ἀνακάμψει ἢ κατακάμψει, τούτων δὲ τὸ μὲν εἰς
τὸ κυρτὸν τὸ δ' εἰς τὸ κοῖλον μετάβασις, οὐκ ἂν εἴη [k] καὶ
εἰς τὸ εὐθὺ κάμψις, ἀλλ' ἔστι κάμψις καὶ εὔθυνσις ἄλλο
[l] καὶ ἄλλο. Καὶ ταῦτά ἐστι καμπτὰ καὶ εὐθυντά, [m] καὶ
ἄκαμπτα καὶ ἀνεύθυντα. Καὶ τὰ μὲν κατακτὰ καὶ θραυστὰ
ἅμα ἢ χωρίς, οἷον ξύλον μὲν [n] κατακτόν, θραυστὸν δ' οὔ,
κρύσταλλος δὲ καὶ λίθος [o] θραυστόν, κατακτὸν δ' οὔ, κέρα-
9 μος δὲ καὶ [p] θραυστὸν καὶ κατακτόν. Διαφέρει δ', ὅτι κά-
ταξις [q] μέν ἐστιν [r] ἡ εἰς μεγάλα μέρη [s] διαίρεσις καὶ χω-

[o] δ' om. E. [p] καὶ ante τήκεται om. H. [q] γε om. F.H.N. [r] διαιρεῖ H. [s] εὐθὺ F.H. [t] οἱ om. E.H.N. [v] τῶν σωμ. om. pr. E. [w] καὶ εὐθυντὰ om. F. [x] ἄκαμπτα μὲν καὶ ἀνεύθυντα F.H.N. [y] ὅσων] ὧν E. [z] τὸ μῆκος οὐ δύν. N, οὐ δύν. τὸ μῆκος F.H. [a] ἐξ om. E. [b] συνίστασθαι E. [c] γὰρ om. E. [d] καὶ τὸ] ἢ F. [e] κοιλότητα ἢ κυρτότητα N. [f] καὶ om. E. [g] τὸ ante εἰς N, om. F. [h] ἂν om. E.F. [i] ἅμα κεκ.] ἀνακεκ. E. [k] καὶ ἡ εἰς F. [l] καὶ ἄλλο om. E. [m] καὶ ἄκαμπτα καὶ ἀνεύθυντα om. H. [n] κατακτὸν ὂν θραυστὸν E. [o] θραυστὸν μὲν κατ. N. [p] θραυστὸν καὶ τακτὸν N, κατακτὸν καὶ θραυστὸν. F. [q] μέν ἐστιν om. F. [r] ἡ om. E.F.H. [s] διαίρεσις καὶ χώρησις N, χώρισις καὶ διαίρεσις H.

ρισμός, θραῦσις δ' [t] ἡ εἰς τὰ τυχόντα [v] καὶ πλείω δυοῖν. Ὅσα μὲν οὖν οὕτω πέπηγεν ὥστε [w] πολλοὺς ἔχειν [x] παραλλάττοντας πόρους, θραυστά (μέχρι γὰρ τούτου διίσταται), ὅσα δ' εἰς πολύ, κατακτά, ὅσα δ' ἄμφω, ἀμφότερα. Καὶ 10
τὰ μὲν θλαστά, οἷον χαλκὸς καὶ κηρός, τὰ δ' ἄθλαστα, οἷον κέραμος καὶ ὕδωρ. Ἔστι δὲ [y] θλάσις [z] μὲν [a] ἐπιπέδου κατὰ μέρος εἰς [b] βάθος μετάστασις ὤσει ἢ πληγῇ, τὸ δ' ὅλον ἁφῇ. Ἔστι δὲ [c] τὰ τοιαῦτα [d] καὶ μαλακτά, οἷον κηρὸς 11
μένοντος τοῦ ἄλλου ἐπιπέδου κατὰ μέρος μεθίσταται, καὶ σκληρά, οἷον χαλκός, καὶ ἄθλαστα καὶ [e] σκληρά, οἷον κέραμος (οὐ γὰρ ὑπείκει εἰς βάθος τὸ ἐπίπεδον), καὶ ὑγρά, οἷον ὕδωρ (τὸ γὰρ ὕδωρ ὑπείκει μέν, ἀλλ' οὐ κατὰ μέρος, ἀλλ' ἀντιμεθίσταται). Τῶν δὲ θλαστῶν ὅσα [f] μὲν μένει θλα- 12
σθέντα καὶ [g] εὔθλαστα χειρί, ταῦτα μὲν πλαστά, τὰ δὲ ἢ μὴ εὔθλαστα, ὥσπερ λίθος ἢ ξύλον, ἢ [h] εὔθλαστα μέν, μὴ μένει δὲ ἡ [i] θλάσις, ὥσπερ ἐρίου ἢ σπόγγου, οὐ πλαστά, ἀλλὰ πιεστὰ [k] ταῦτ' [l] ἐστίν. Ἔστι δὲ πιεστὰ ὅσα ὠθού- 13
μενα εἰς [m] αὑτὰ συνιέναι δύναται, εἰς βάθος τοῦ ἐπιπέδου παραλλάττοντος, οὐ [n] διαιρουμένου, καὶ μεθισταμένου ἄλλου [o] ἄλλῳ [p] μορίου, οἷον τὸ ὕδωρ [q] ποιεῖ· τοῦτο γὰρ ἀντιμεθίσταται. Ἔστι δ' ὦσις [r] ἡ κίνησις ὑπὸ τοῦ κινοῦντος, ἣ γίγνεται [s] ἀπὸ τῆς ἅψεως· πληγὴ δέ, [t] ὅταν ἀπὸ τῆς φορᾶς. Πιέζεται δὲ ὅσα πόρους ἔχει [v] κενοὺς [w] συγγενοῦς σώματος· 14
καὶ πιεστὰ ταῦτα ὅσα δύναται εἰς τὰ ἑαυτῶν [x] κενὰ συνιέναι ἢ εἰς τοὺς ἑαυτῶν πόρους· [y] ἐνίοτε γὰρ οὐ κενοί εἰσιν εἰς οὓς συνέρχεται, [z] οἷον ὁ βεβρεγμένος σπόγγος ([a] πλήρεις γὰρ αὐτοῦ οἱ πόροι), ἀλλ' ὧν ἂν οἱ πόροι πλήρεις ὦσι μαλακω-

[t] ἡ om. F.H.N. [v] καὶ om. E. [w] πολλοὺς μὲν ἔχειν H. [x] παραλλάσσοντας F. [y] θλάσις om. F. [z] μὲν om. F.H.N. [a] ἐπιπέδου καὶ κατὰ E. [b] βάθος ἡ θλάσις μετάστασις F. [c] τὰ om. E. [d] καὶ μαλακτὰ ante τὰ F. [e] σκληρὰ] ξηρὰ N. [f] μὲν om. F.H.N. [g] ἄθλαστα N. [h] εὔφθλαστα E. [i] φθλάσις E. [k] ταῦτ' ante ἀλλὰ N, post ἐστιν F. [l] ἐστίν om. N. [m] ἑαυτὰ H, ἑαυτὸ F. [n] διαιρομένου N. [o] ἄλλῳ corr. E. [p] μορίῳ F. [q] ποιεῖ om. F. [r] ἡ om. F.H.N. [s] ὑπὸ H. [t] ὅταν om. N. [v] κοινοὺς N. [w] συγγενεῖς H. [x] κοινὰ N. [y] ἐνίοτε—συνέρχεται om. H. [z] οἷον ὁ β. σπ. ante ἐνίοτε F. [a] πλήρεις om. E.

15 τέρων [b] ἢ αὐτὸ τὸ πεφυκὸς [c] συνιέναι εἰς [d] αὑτά. Πιεστὰ
μὲν οὖν ἐστὶν οἷον σπόγγος, κηρός, σάρξ· ἀπίεστα δὲ τὰ
μὴ πεφυκότα συνιέναι [e] ὤσει εἰς [f] τοὺς ἑαυτῶν πόρους διὰ τὸ
ἢ μὴ ἔχειν ἢ [g] σκληροτέρων [h] ἔχειν [i] πλήρεις· ὁ γὰρ σίδηρος
16 ἀπίεστος καὶ λίθος καὶ ὕδωρ καὶ [k] πᾶν ὑγρόν. Ἑλκτὰ δ'
[l] ἐστὶν ὅσων δυνατὸν εἰς τὸ πλάγιον μεθίστασθαι τὸ ἐπίπε-
δον· [m] τὸ γὰρ ἕλκεσθαι ἐστὶ τὸ ἐπὶ τὸ κινοῦν μεθίστασθαι
τὸ ἐπίπεδον συνεχὲς ὄν. Ἔστι δὲ τὰ μὲν ἑλκτά, οἷον θρίξ,
ἱμάς, νεῦρον, σταίς, ἰξός, τὰ δ' ἄνελκτα, οἷον ὕδωρ καὶ λίθος.
17 Τὰ [n] μὲν οὖν ταὐτά ἐστιν ἑλκτὰ καὶ πιεστά, [o] οἷον ἔριον, τὰ
δ' οὐ ταὐτά, οἷον φλέγμα πιεστὸν μὲν οὐκ ἔστιν, ἑλκτὸν δέ,
καὶ ὁ σπόγγος πιεστὸν μέν, οὐχ ἑλκτὸν δέ. Ἔστι [p] δὲ καὶ
τὰ μὲν ἐλατά, οἷον χαλκός, τὰ δ' [q] ἀνήλατα, οἷον λίθος καὶ
18 ξύλον. Ἔστι δ' ἐλατὰ μὲν ὅσα τῇ [r] αὐτῇ πληγῇ δύναται
ἅμα καὶ εἰς πλάτος καὶ [s] εἰς βάθος τὸ ἐπίπεδον μεθίστα-
σθαι κατὰ μέρος, [q] ἀνήλατα δὲ ὅσα ἀδύνατα. Ἔστι δὲ
τὰ μὲν ἐλατὰ [t] ἅπαντα καὶ θλαστά, τὰ δὲ θλαστὰ οὐ πάντα
ἐλατά, οἷον ξύλον· ὡς μέντοι ἐπὶ πᾶν εἰπεῖν, ἀντιστρέφει.
19 Τῶν δὲ πιεστῶν τὰ μὲν ἐλατὰ τὰ δ' οὔ, κηρὸς μὲν καὶ πηλὸς
ἐλατά, [v] ἔριον δ' οὔ, οὐδ' ὕδωρ. Ἔστι δὲ καὶ τὰ μὲν σχι-
στά, οἷον ξύλον, τὰ δὲ ἄσχιστα, οἷον κέραμος. Ἔστι δὲ
σχιστὸν τὸ δυνάμενον διαιρεῖσθαι ἐπὶ πλεῖον ἢ τὸ διαι-
ροῦν [w] διαιρεῖ· σχίζεται γάρ, [x] ὅταν ἐπὶ πλεῖον διαιρῆται
ἢ τὸ διαιροῦν διαιρεῖ, καὶ προηγεῖται ἡ διαίρεσις· ἐν δὲ τῇ
20 τμήσει οὐκ ἔστι τοῦτο. Ἄσχιστα δ' ὅσα μὴ δύναται τοῦτο
πάσχειν. Ἔστι δ' οὔτε μαλακὸν οὐδὲν σχιστόν (λέγω δὲ
τῶν ἁπλῶς μαλακῶν [y] καὶ μὴ πρὸς ἄλληλα· οὕτω μὲν γὰρ

[b] ἢ] γὰρ ἢ H. [c] εἰσιέναι N. [d] ἑαυτὰ H, αὐτὸ N. [e] ὤσει om. H. [f] τοὺς ἐν ἑαυτοῖς π. H, τοὺς ἐν αὐτῷ π. E. [g] σκληροτέρους H. [h] ἔχειν om. N. [i] πλ.] ἢ πλ. H. [k] πᾶν om. E. ἅπαν, idque post ὑγρόν, F. [l] ἐστιν om. N. [m] τὸ γὰρ—ἐπίπεδον om. H, post συνεχὲς ὄν ponit N, post ὑδ. καὶ λίθος F. [n] μὲν ἑλκτὰ καὶ πιεστὰ ταυτά ἐστιν N. [o] οἷον ἔριον om. F. [p] δὲ ante καὶ om. N. [q] ἀνέλατα F.H. [r] αὐτῇ] τοιαύτῃ H. [s] εἰς ante β. om. H. [t] πάντα F.H. [v] ἔρια H. [w] διαιρεῖ om. E.N. [x] ὅταν—διαιρεῖ om. F. [y] καὶ οὐ πρὸς ἄλλα N.

καὶ σίδηρος ἔσται μαλακός) οὔτε τὰ σκληρὰ πάντα [z] ἐστί,
ἀλλ' ὅσα μήθ' ὑγρά ἐστι μήτε θλαστὰ [a] μήτε θραυστά.
Τοιαῦτα δ' ἐστὶν ὅσα κατὰ μῆκος ἔχει τοὺς πόρους, καθ' οὓς
προσφύεται ἀλλήλοις, ἀλλὰ μὴ κατὰ πλάτος. Τμητὰ δ' 21
ἐστὶ [b] τῶν [c] συνεστώτων σκληρῶν ἢ μαλακῶν ὅσα δύναται
μήτ' ἐξ ἀνάγκης προηγεῖσθαι [d] τῆς διαιρέσεως μήτε θραύε-
σθαι διαιρούμενα· ὅσα [e] δὲ ἢ ὑγρὰ ἢ τοιαῦτα, ἄτμητα. Ἔνια 22
[f] δ' [g] ἐστὶ ταὐτὰ καὶ τμητὰ καὶ σχιστά, οἷον ξύλον· ἀλλ' ὡς
ἐπὶ τὸ [h] πολὺ σχιστὸν μὲν κατὰ τὸ μῆκος, τμητὸν [i] δὲ κατὰ
[k] τὸ πλάτος· ἐπεὶ γὰρ διαιρεῖται ἕκαστον εἰς πολλά, ᾗ μὲν
[l] μήκη [m] πολλὰ τὸ ἕν, σχιστὸν ταύτῃ, ᾗ δὲ [n] πλάτη [m] πολλὰ
τὸ ἕν, τμητὸν [o] ταύτῃ. Γλίσχρον δ' ἐστίν, ὅταν [p] ἑλκτὸν ᾖ
ὑγρὸν ὂν ἢ μαλακόν. Τοιοῦτον δὲ γίνεται τῇ [q] ἐπαλλάξει 23
ὅσα ὥσπερ αἱ ἁλύσεις [r] σύγκειται τῶν σωμάτων· ταῦτα γὰρ
ἐπὶ πολὺ δύναται ἐκτείνεσθαι καὶ συνιέναι. Ὅσα δὲ μὴ τοι-
αῦτα, ψαθυρά. Πιλητὰ δ' ὅσα τῶν πιεστῶν μόνιμον ἔχει
τὴν πίεσιν, [s] ἀπίλητα δὲ ὅσα ἢ ὅλως ἀπίεστα [t] ἢ μὴ μόνιμον
[v] ἔχει τὴν πίεσιν. Καὶ τὰ μὲν καυστά ἐστι τὰ δὲ ἄκαυστα, 24
οἷον ξύλον μὲν καυστὸν καὶ ἔριον καὶ ὀστοῦν, λίθος δὲ καὶ
κρύσταλλος [w] ἄκαυστον. Ἔστι [x] δὲ καυστὰ ὅσα ἔχει πό-
ρους δεκτικοὺς πυρὸς καὶ ὑγρότητα ἐν τοῖς κατ' εὐθυωρίαν
πόροις ἀσθενεστέραν πυρός. Ὅσα δὲ [y] ἢ μὴ ἔχει ἢ ἰσχυρο-
τέραν, οἷον κρύσταλλος καὶ τὰ σφόδρα χλωρά, ἄκαυστα.
Θυμιατὰ δ' ἐστὶ τῶν σωμάτων ὅσα ὑγρότητα [z] ἔχει μέν, 25
οὕτω δ' ἔχει ὥστε μὴ ἐξατμίζειν πυρουμένων χωρίς· ἔστι
γὰρ ἀτμὶς ἡ ὑπὸ θερμοῦ [a] καυστικοῦ εἰς ἀέρα καὶ πνεῦμα

[z] ἐστί om. F.H.N. [a] μήτε θραυστά om. H. [b] τῶν om. E. [c] συνθέτων pr. F. [d] τῆς διαιρέσεως om. H. [e] δὲ ἢ ὑγρὰ ἢ τοιαῦτα corr. F, δὲ ὑγρὰ τοιαῦτα E, δὲ μὴ ὑγρὰ ᾖ τὰ τοιαῦτα H.N. et pr. F. [f] δ'] μὲν pr. F. [g] ἐστι om. F. [h] πολὺ δὲ σχιστὰ μὲν κατὰ μῆκος F. [i] δὲ καὶ κατὰ F. [k] τὸ om. E. [l] μήκει H.N. [m] τὸ ἓν πολλὰ N. [n] πλάτει H. [o] ταύτῃ om. N. [p] ἑλκτὸν ἢ ὑγρὸν ὂν μαλακὸν ᾖ E.H.N. [q] ἐπάλξει E, ἕλξει corr. F. [r] σύγκεινται N. [s] ἀπίλητα—πίεσιν margo F. [t] ἢ ante ὅσα N, om. H. [v] ἔχῃ H. [w] ἄκαυστα H. [x] δὲ καὶ κ. F. [y] ἢ utrumque om. F.H.N. [z] μὲν ἔχει H. [a] ἐκκαυστικοῦ E.

ἔκκρισις ἐξ ὑγροῦ διαντική. Τὰ δὲ [b] θυμιατὰ χρόνῳ εἰς ἀέρα
ἐκκρίνεται, καὶ τὰ μὲν ἀφανιζόμενα ξηρά, τὰ δὲ [c] γῆ γίνεται.
26 Διαφέρει δ' αὕτη ἡ ἔκκρισις, ὅτι οὔτε διαίνει οὔτε πνεῦμα
γίγνεται. Ἔστι δὲ πνεῦμα ῥύσις συνεχὴς [d] ἐπὶ μῆκος ἀέρος·
θυμίασις δ' ἐστὶν [e] ἡ ὑπὸ θερμοῦ καυστικοῦ [f] κοινὴ ἔκκρισις
ξηροῦ καὶ [g] ὑγροῦ [h] ἀθρόως. Διόπερ οὐ διαίνει, ἀλλὰ χρω-
ματίζει μᾶλλον. Ἔστι δ' ἡ μὲν ξυλώδους σώματος θυμίασις
27 καπνός. Λέγω [i] δὲ [k] καὶ ὀστᾶ καὶ τρίχας καὶ πᾶν [l] τὸ τοι-
οῦτον ἐν ταὐτῷ· οὐ γὰρ κεῖται ὄνομα κοινόν, ἀλλὰ κατ'
ἀναλογίαν ὅμως ἐν ταὐτῷ πάντ' ἐστίν, ὥσπερ [m] καὶ Ἐμπε-
δοκλῆς φησὶ

> Ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ [n] πυκνὰ
> καὶ [o] λεπίδες γίγνονται ἐπὶ στιβαροῖσι [p] μέλεσσιν.

28 Ἡ δὲ πίονος θυμίασις λιγνύς, ἡ δὲ λιπαροῦ [q] κνίσσα. Διὰ
τοῦτο [r] τὸ ἔλαιον [s] οὐχ ἕψεται οὐδὲ παχύνεται, ὅτι θυμιατόν
ἐστιν [t] ἀλλ' οὐκ ἀτμιστόν· ὕδωρ δ' οὐ θυμιατὸν ἀλλ' ἀτμι-
στόν. Οἶνος δ' ὁ μὲν γλυκὺς θυμιᾶται. Πίων [w] γάρ, [x] καὶ
ταὐτὰ ποιεῖ τῷ ἐλαίῳ· οὔτε γὰρ ὑπὸ ψύχους πήγνυται,
29 καίεταί [y] τε. Ἔστι δ' ὀνόματι οἶνος, ἔργῳ δ' οὐκ [z] ἔστιν·
οὐ γὰρ οἰνώδης ὁ χυμός, διὸ [a] καὶ οὐ μεθύσκει. Ὁ τυχὼν
δ' οἶνος [b] μικρὰν ἔχει [c] ἀναθυμίασιν, διὸ ἀνίησι φλόγα. Καυ-
στὰ δὲ δοκεῖ εἶναι ὅσα εἰς τέφραν διαλύεται τῶν σωμάτων.
Πάσχει δὲ τοῦτο πάντα ὅσα [d] πήγνυται [e] ἢ ὑπὸ θερμοῦ ἢ
ὑπ' ἀμφοῖν, [f] ψυχροῦ καὶ θερμοῦ· [g] ταῦτα γὰρ φαίνεται
30 κρατούμενα ὑπὸ τοῦ πυρός. Ἥκιστα δὲ τῶν λίθων ἡ σφρα-
γίς, [h] ὁ καλούμενος ἄνθραξ. Τῶν δὲ καυστῶν τὰ μὲν φλο-

[b] θυμ. καὶ χρ. N. [c] γῆ om. N. [d] ἀέρος ἐπὶ μῆκος F.H.N. [e] ἡ om. N. [f] ἔκκρισις κοινὴ N. [g] ὑγροῦ] τοῦ E. [h] ἀθρόως] ἀέρος E.H.N. [i] δὲ] γὰρ E.H.N. [k] καὶ post δὲ om. N. [l] τὸ om. N. [m] καὶ om. N. [n] πυκνὰ om. F. [o] λοπίδες E. [p] μέλεσιν H. [q] κνίσα E. [r] τὸ om. F.H. [s] οὐχ ἕψεται margo F, οὐ παχύνεται ἀλλ' οὐδὲ ἕψεται ὅτι F. [t] ἀλλ' οὐκ—θυμιατὸν margo F. [w] γὰρ om. H. [x] καὶ] καὶ γὰρ καὶ F.H. [y] τε om. E. [z] ἔστιν] ἔτι E. [a] καὶ om. F.H.N. [b] μικρὰν δ' ἔχει F.H.N. [c] θυμίασιν E.N. [d] πέπηγεν F.H.N. [e] ἡ post πηγν. om. E. [f] ψ. τε καὶ θ. N. [g] ταῦτα] ἅπαντα E. [h] ὁ] καὶ ὁ H.

γιστά ἐστι τὰ δ' [i] ἀφλόγιστα· [k] τούτων δ' ἔνια [l] ἀνθρακευτά. Φλογιστὰ μὲν οὖν ὅσα φλόγα [m] παρέχεσθαι δύναται· ὅσα [n] δ' οὐ δύναται, ἀφλόγιστα. Ἔστι δὲ φλογιστὰ ὅσα μὴ ὑγρὰ ὄντα θυμιατά ἐστιν. Πίττα δὲ [o] ἢ ἔλαιον ἢ 31
κηρὸς μᾶλλον μετ' ἄλλων ἢ καθ' αὑτὰ [p] φλογιστά. [q] Μάλιστα δ' ὅσα καπνὸν ἀνίησιν. Ἀνθρακευτὰ δ' ὅσα τῶν τοιούτων γῆς πλέον ἔχει ἢ [r] καπνοῦ. [s] Ἔτι δ' ἔνια τηκτὰ ὄντα οὐ φλογιστά ἐστιν, οἷον χαλκός, καὶ φλογιστὰ οὐ τηκτά, οἷον ξύλον, τὰ δ' ἄμφω, οἷον λιβανωτός. Αἴτιον δ' ὅτι τὰ 32
[t] μὲν ξύλα ἀθρόον ἔχει τὸ ὑγρὸν καὶ δι' ὅλου [v] συνεχές, ὥστε [w] διακάεται, [x] ὁ δὲ χαλκὸς παρ' ἕκαστον [y] μὲν μέρος, οὐ συνεχὲς δὲ καὶ ἔλαττον ἢ ὥστε φλόγα ποιῆσαι· ὁ δὲ λιβανωτὸς τῇ μὲν οὕτως τῇ δ' ἐκείνως ἔχει. Φλογιστὰ δ' ἐστὶ τῶν 33
θυμιατῶν ὅσα μὴ τηκτά ἐστι διὰ τὸ μᾶλλον εἶναι γῆς· τὸ ξηρὸν γὰρ ἔχει κοινὸν τῷ πυρί. Τοῦτ' οὖν θερμὸν ἂν γένηται τὸ ξηρόν, πῦρ γίγνεται. Διὰ τοῦτο ἡ φλὸξ πνεῦμα ἢ καπνὸς [z] καόμενός ἐστιν. Ξύλων μὲν οὖν ἡ θυμίασις καπνός, 34
κηροῦ δὲ καὶ λιβανωτοῦ καὶ τῶν τοιούτων καὶ πίττης, καὶ ὅσα ἔχει πίτταν ἢ τοιαῦτα, λιγνύς, ἐλαίου δὲ καὶ ὅσα ἐλαιώδη, [a] κνίσσα· καὶ [b] ὅσα ἥκιστα [c] κάεται [d] μόνα, ὅτι ὀλίγον [e] ξηρὸν ἔχει, ἡ δὲ μετάβασις διὰ τούτου, μετὰ δ' ἑτέρου τάχιστα. Τοῦτο γάρ ἐστι τὸ πῖον ξηρὸν λιπαρόν. Τὰ μὲν οὖν ἐκθυμιώμενα τῶν ὑγρῶν ὑγροῦ μᾶλλον, [f] ὡς ἔλαιον καὶ [g] πίττα, τὰ δὲ [h] καόμενα ξηροῦ.

Τούτοις δὲ τοῖς [i] παθήμασι καὶ ταύταις ταῖς διαφοραῖς τὰ 10
ὁμοιομερῆ τῶν σωμάτων, ὥσπερ εἴρηται, [k] διαφέρει [l] ἀλλήλων κατὰ τὴν ἀφήν, καὶ ἔτι [m] ὀσμαῖς καὶ χυμοῖς καὶ [n] χρώ-

[i] ἄφλογα E. [k] τούτων—ἀφλόγιστα margo F. [l] ἀνθρακιστὰ E. [m] δύναται παρέχεσθαι H, δύναται παρασχέσθαι N. [n] δ' ἀδύνατα E.N, δ' ἀδυνατεῖ H. [o] ἢ ἔλαιον margo F. [p] φλογιστά ἐστι. μ. F. [q] μᾶλλον H. [r] καπνόν E. [s] ἔτι] ὅτι N. [t] μὲν om. H. [v] συνεχές ἐστιν ὥστε E.N. [w] διακαίεσθαι F.H.N. [x] ὁ δὲ] καὶ N. [y] μὲν om. E. [z] καιόμενος F.N. [a] κνῖσα E. [b] ὅσα om. N. [c] καίεται F.H.N. [d] μόνον E. [e] ξηροῦ H.N. [f] ὡς—πίττα om. E. [g] πίτταν N. [h] καιόμενα F.H.N. [i] πάθεσι F. [k] διαφέρουσιν H. [l] ἀλλήλων om. N. [m] χυμοῖς καὶ ὀσμαῖς F.H.N. [n] σώμασιν E.

2 μασιν. Λέγω δ᾽ ὁμοιομερῆ [o] τά τε μεταλλευόμενα, [p] οἷον
[q] χρυσόν, χαλκόν, ἄργυρον, καττίτερον, σίδηρον, λίθον καὶ
τἆλλα τὰ τοιαῦτα, [r] καὶ [s] ὅσα ἐκ [t] τούτων γίγνεται ἐκκρινό-
μενα, καὶ τὰ ἐν τοῖς ζῴοις καὶ φυτοῖς, οἷον σάρκες, ὀστᾶ,
[v] νεῦρον, [w] δέρμα, [x] σπλάγχνον, τρίχες, ἶνες, φλέβες, ἐξ ὧν
ἤδη συνέστηκε τὰ ἀνομοιομερῆ, οἷον πρόσωπον, χείρ, πούς
[y] καὶ τἆλλα τὰ τοιαῦτα, καὶ ἐν φυτοῖς ξύλον, φλοιός, [z] φύλ-
3 λον, ῥίζα, καὶ ὅσα τοιαῦτα. Ἐπεὶ δὲ ταῦτα μὲν ὑπ᾽ [a] ἄλλης
αἰτίας συνέστηκεν, ἐξ ὧν δὲ ταῦτα, ὕλη μὲν τὸ [b] ξηρὸν καὶ
ὑγρόν, [c] ὥστε ὕδωρ καὶ γῆ (ταῦτα γὰρ προφανεστάτην ἔχει
τὴν δύναμιν ἑκάτερον ἑκατέρου), τὰ δὲ ποιοῦντα τὸ θερμὸν
καὶ [d] τὸ ψυχρόν (ταῦτα γὰρ συνίστησι καὶ πήγνυσιν ἐξ
ἐκείνων), λάβωμεν τῶν ὁμοιομερῶν ποῖα γῆς εἴδη καὶ ποῖα
4 ὕδατος καὶ ποῖα κοινά. Ἔστι δὴ [e] τῶν σωμάτων τῶν δεδη-
μιουργημένων τὰ μὲν ὑγρά, τὰ δὲ μαλακά, τὰ δὲ σκληρά·
τούτων δὲ [f] ὅσα [g] μαλακὰ ἢ σκληρὰ πήξει ἐστίν, εἴρηται
5 πρότερον. Τῶν μὲν οὖν ὑγρῶν ὅσα μὲν ἐξατμίζεται, ὕδατος,
ὅσα δὲ μή, [h] ἢ γῆς ἢ κοινὰ γῆς καὶ ὕδατος, οἷον γάλα, ἢ γῆς
καὶ ἀέρος, οἷον [i] ξύλον, ἢ ὕδατος καὶ ἀέρος, οἷον ἔλαιον. Καὶ
ὅσα μὲν ὑπὸ θερμοῦ παχύνεται, κοινά· ἀπορήσειε δ᾽ ἄν τις
περὶ οἴνου τῶν ὑγρῶν. Τοῦτο γὰρ [k] καὶ ἐξατμισθείη ἄν,
6 καὶ παχύνεται ὥσπερ [l] ὁ νέος. [m] Αἴτιον δ᾽ ὅτι [n] οὔτε ἑνὶ
εἴδει [o] λέγεται [l] ὁ οἶνος, καὶ ὅτι ἄλλος ἄλλως· ὁ γὰρ νέος
μᾶλλον γῆς ἢ ὁ παλαιός· διὸ καὶ παχύνεται [p] τῷ θερμῷ μά-
λιστα καὶ πήγνυται ἧττον ὑπὸ [q] τοῦ ψυχροῦ· ἔχει γὰρ καὶ
θερμὸν πολὺ καὶ γῆς, ὥσπερ [r] ἐν Ἀρκαδίᾳ οὕτως [s] ἀναξηραί-

[o] τά] οἷον τά N, ὄντα ὧν τά H. [p] οἷον om. F.H.N. [q] χαλκ. χρυσ. F. [r] καὶ ante ὅσα om F. [s] ὅσα om. E. [t] τοιούτων N. [v] νεῦρα F.N. [w] δέρμα om. H. [x] σπλάγχνα N. [y] καὶ τἆλλα τὰ— ῥίζα om. H. [z] φύλλον ἶνες ῥίζα N. [a] ἄλλαις αἰτίαις H. [b] σκληρὸν pr. E. [c] ὥστε] ὡς τὸ H. [d] τὸ ante ψ. om. F.H.N. [e] τῶν δεδημ. σωμάτων F. [f] ὁπόσα F.H. [g] σκληρὰ ἢ μαλ. F.H.N. [h] ἢ ante γῆς om. E.N. [i] ξύλα N. [k] καὶ post γὰρ om. H.N. [l] ὁ om. E. [m] αἴτ.] δῆλον E. [n] οὔτε ἐν ἑνὶ F.N. [o] λέγεται post οἶνος F. [p] τὸ θερμὸν μάλιστα N, μάλιστα τῷ θερμῷ F.H. [q] τοῦ om. N. [r] ἐν] ὁ ἐν F.H.N. [s] ἀποξηραίνεται F.H.

νεται [t] ὑπὸ τοῦ καπνοῦ ἐν τοῖς ἀσκοῖς ὥστε [v] ξυόμενος [w] πί-
νεσθαι. Εἰ δὲ [x] πᾶς [y] ἰλὺν ἔχει, οὕτως ἑκατέρου ἐστίν, ἢ γῆς 7
ἢ ὕδατος, ὡς [z] ταύτης ἔχει [a] πλῆθος. Ὅσα δὲ ὑπὸ ψυχροῦ
παχύνεται, γῆς, ὅσα δ' ὑπ' ἀμφοῖν, κοινὰ πλειόνων, οἷον
ἔλαιον καὶ μέλι καὶ [b] ὁ γλυκὺς οἶνος. Τῶν δὲ συνεστώτων 8
ὅσα μὲν πέπηγεν ὑπὸ ψυχροῦ, ὕδατος, οἷον κρύσταλλος,
χιών, [c] χάλαζα, πάχνη, ὅσα δ' ὑπὸ θερμοῦ, γῆς, οἷον κέραμος,
[d] τυρός, νίτρον, ἅλες· ὅσα δ' ὑπ' ἀμφοῖν, τοιαῦτα δ' ἐστὶν
ὅσα ψύξει· ταῦτα δ' ἐστὶν ὅσα ἀμφοῖν [e] στερήσει, θερμοῦ
καὶ ὑγροῦ συνεξιόντος τῷ θερμῷ· οἱ μὲν γὰρ ἅλες ὑγροῦ
μόνου στερήσει πήγνυνται, καὶ ὅσα εἰλικρινῆ γῆς, ὁ δὲ κρύ-
σταλλος θερμοῦ μόνου· ταῦτα δ' ἀμφοῖν. Διὸ καὶ ὑπ' ἀμ-
φοῖν καὶ εἶχεν ἄμφω. [f] Ὅσων μὲν οὖν [g] ἅπαν ἐξικμάσθη, 9
οἷον κέραμος ἢ ἤλεκτρον· καὶ γὰρ τὸ ἤλεκτρον, καὶ ὅσα λέ-
γεται ὡς δάκρυα, ψύξει ἐστίν, οἷον σμύρνα, λιβανωτός, [h] κόμ-
μι. Καὶ τὸ ἤλεκτρον δὲ τούτου τοῦ γένους ἔοικε, καὶ πήγνυ-
ται· ἐμπεριειλημμένα γοῦν [i] ζῷα ἐν αὐτῷ φαίνεται. Ὑπὸ
δὲ [k] τοῦ ποταμοῦ [l] τὸ θερμὸν ἐξιὸν ὥσπερ τοῦ ἑψομένου
μέλιτος, ὅταν εἰς ὕδωρ [m] ἀφεθῇ, ἐξατμίζει τὸ ὑγρόν. Ταῦτα 10
πάντα γῆς. Καὶ τὰ μὲν ἄτηκτα καὶ ἀμάλακτα, οἷον τὸ
ἤλεκτρον [n] ἢ [o] λίθοι ἔνιοι, ὥσπερ οἱ [p] πῶροι οἱ ἐν τοῖς σπη-
λαίοις· καὶ γὰρ οὗτοι [q] ὁμοίως [r] γίγνονται τούτοις, καὶ οὐχ
ὡς ὑπὸ πυρὸς ἀλλ' [s] ὡς ὑπὸ [t] τοῦ ψυχροῦ διεξιόντος τοῦ
θερμοῦ, [v] συνεξέρχεται τὸ ὑγρὸν [w] ὑπὸ τοῦ ἐξ αὐτοῦ ἐξιόντος
θερμοῦ· ἐν δὲ τοῖς ἑτέροις ὑπὸ τοῦ ἔξωθεν πυρός. [x] Ὅσα 11
[y] δὲ μὴ [z] ὅλα, [a] γῆς μέν ἐστι μᾶλλον, μαλακτὰ δ', οἷον σί-
δηρος καὶ κέρας. [b] Λιβανωτὸς δὲ καὶ τὰ τοιαῦτα παρα-

[t] ὑπὲρ H. et γρ. F. [v] ἐξαγόμενος H. [w] πήγνυσθαι H, τήκεσθαι F. [x] δὴ ἅπας F.H.N. [y] ἠλὺν H. [z] αὐτῆς E, ταύτης τ' F. [a] πλήθει E. [b] ὁ om. F. [c] πάχνη χάλαζα F. [d] τυρὸς] κηρὸς H. [e] στερ. καὶ θ. H.N. [f] ὅσον N. [g] ἅπαξ F.H. [h] κόμη E. [i] ἐν αὐτῷ ζῶα F. [k] τοῦ—ἐξιὸν] τούτου τὸ ὑγρὸν corr. E. [l] ἐξιόν τε τὸ θ. F. [m] ἀφὲν ἐξατμίζῃ H. [n] ἢ] καὶ F. [o] λίθων H. [p] πόροι E.H. [q] ὅμοιοι E. [r] γίνεται N, πήγνυνται F. [s] ὡς post ἀλλ' om. E. [t] τοῦ om. N. [v] συνεξέρχεται—πυρός om. F. [w] ἀπὸ H. [x] ὅσον N. [y] δὲ om. H. [z] ὅλον N. [a] γῆς μᾶλλόν ἐστι F. [b] λιβανωτοὶ E.

πλησίως τοῖς ξύλοις ἀτμίζει. Ἐπεὶ [c] οὖν τηκτά γε θετέον, καὶ ὅσα τήκεται [d] ὑπὸ πυρός, ταῦτ᾽ ἐστὶν ὑδατωδέστερα, ἔνια δὲ καὶ κοινά, οἷον κηρός· ὅσα δὲ [e] ὑπὸ ὕδατος, ταῦτα [f] δὲ
12 γῆς· ὅσα δὲ [g] μηδ᾽ ὑφ᾽ ἑτέρου, [h] ταῦτα ἢ γῆς ἢ ἀμφοῖν. Εἰ οὖν ἅπαντα μὲν ἢ ὑγρὰ ἢ πεπηγότα, τούτων δὲ τὰ ἐν τοῖς εἰρημένοις πάθεσι, καὶ οὐκ ἔστι μεταξύ, ἅπαντ᾽ ἂν [i] εἴη εἰρημένα [k] οἷς διαγνωσόμεθα πότερον [l] γῆς ἢ ὕδατος ἢ πλειόνων [m] κοινόν, καὶ πότερον [n] ὑπὸ πυρὸς συνέστηκεν ἢ ψυχροῦ ἢ
13 ἀμφοῖν. Χρυσὸς μὲν δὴ καὶ ἄργυρος καὶ χαλκὸς καὶ καττίτερος καὶ [o] μόλυβδος καὶ [p] ὕελος καὶ λίθοι [q] πολλοὶ ἀνώνυμοι ὕδατος· πάντα γὰρ ταῦτα [r] τήκεται θερμῷ. Ἔτι [s] οἶνοι ἔνιοι καὶ οὖρον καὶ ὄξος καὶ κονία καὶ [t] ὀρρὸς καὶ ἰχὼρ ὕδατος· πάντα γὰρ πήγνυται ψυχρῷ. Σίδηρος δὲ καὶ [v] κέρας [w] καὶ ὄνυξ καὶ ὀστοῦν καὶ νεῦρον καὶ ξύλον καὶ τρίχες
14 καὶ φύλλα καὶ φλοιὸς γῆς μᾶλλον. Ἔτι ἤλεκτρον, σμύρνα, [x] λίβανος καὶ πάντα τὰ δάκρυα λεγόμενα, [y] καὶ πῶρος, καὶ οἱ καρποί, οἷον [z] τὰ [a] χέδροπα, καὶ σῖτος· τὰ τοιαῦτα γὰρ τὰ μὲν σφόδρα, τὰ δὲ ἧττον μὲν τούτων, ὅμως δὲ γῆς· τὰ μὲν
15 γὰρ μαλακτά, τὰ δὲ θυμιατὰ καὶ ψύξει γεγενημένα. Ἔτι νίτρον, ἅλες, λίθων γένη, ὅσα [b] μήτε ψύξει μήτε τηκτά. [c] Αἷμα δὲ καὶ γονὴ κοινὰ γῆς καὶ ὕδατος καὶ ἀέρος, τὸ μὲν ἔχον [d] αἷμα ἶνας μᾶλλον γῆς, διὸ [e] καὶ [f] ψύξει πήγνυται καὶ ὑγρῷ τήκεται, [g] τὰ δὲ μὴ ἔχοντα ἶνας ὕδατος, διὸ καὶ οὐ πήγνυται. Γονὴ δὲ πήγνυται ψύξει ἐξιόντος [h] τοῦ ὑγροῦ μετὰ τοῦ θερμοῦ.

11 Ποῖα δὲ θερμὰ ἢ ψυχρὰ τῶν πεπηγότων ἢ τῶν ὑγρῶν,

[c] οὖν] οὐ E. [d] ὑπὸ τοῦ πυρὸς F.H. [e] ὑπὸ τοῦ ὕδατος F. [f] δὲ om. F.N. [g] μὴ F.H.N. [h] ταῦτα om. E. [i] εἴη τὰ εἰρ. H. [k] οἷς δὴ γνωσόμεθα H.N. [l] γῆς—πότερον margo F. [m] κοινῶν N. [n] ὑπὸ τοῦ πυρὸς F. [o] μόλιβδος F.H. [p] ὕαλος E. [q] ἀνώνυμοι ὕδατος πολλοὶ N. [r] τήκεται ante ταῦτα H, post θ. F. [s] οἴνων H. [t] ὀρὸς E. [v] κέραμος N. [w] καὶ ὀστοῦν καὶ ὄνυξ F. [x] λιβανωτὸς H.N, λιβανωτὸν F. [y] καὶ οἱ πῶροι N. [z] τὰ om. F. [a] χεδρωπὰ H, χυδρωπὰ N. [b] μήτε om. F. [c] κοινὰ δὲ γῆς καὶ ὕδατος καὶ ἀέρος αἷμα καὶ γονὴ F. [d] ἶνας αἷμα F. [e] καὶ om. F.H.N. [f] ψύχει H. [g] τὸ δὲ μὴ ἔχον F. [h] τοῦ ὑγροῦ τοῦ μετὰ θ. F.

ἐκ τῶν εἰρημένων [i] δεῖ μεταδιώκειν. Ὅσα μὲν οὖν ὕδατος, ὡς
ἐπὶ τὸ πολὺ ψυχρά, ἐὰν μὴ ἀλλοτρίαν ἔχῃ θερμότητα, οἷον
κονία, οὖρον, οἶνος· ὅσα δὲ γῆς, [k] ὡς ἐπὶ [l] τὸ πολὺ θερμὰ διὰ
τὴν τοῦ θερμοῦ δημιουργίαν, οἷον τίτανος καὶ τέφρα. Δεῖ 2
δὲ λαβεῖν τὴν ὕλην ψυχρότητά [m] τινα εἶναι· ἐπεὶ γὰρ τὸ
[n] ξηρὸν καὶ τὸ ὑγρὸν ὕλη (ταῦτα γὰρ παθητικά), τούτων [o] δὲ
[p] σώματα μάλιστα γῆ καὶ ὕδωρ ἐστί, ταῦτα [q] δὲ ψυχρότητι
ὥρισται, δῆλον ὅτι πάντα τὰ σώματα ὅσα ἑκατέρου ἁπλῶς
τοῦ στοιχείου, ψυχρὰ μᾶλλόν ἐστιν, [r] ἂν μὴ ἔχῃ ἀλλοτρίαν
θερμότητα, οἷον τὸ ζέον ὕδωρ ἢ τὸ διὰ [s] τέφρας [t] ἠθημένον·
καὶ γὰρ τοῦτο ἔχει τὴν ἐκ τῆς τέφρας θερμότητα· ἐν ἅπασι
γάρ [v] ἐστι θερμότης, ἢ πλείων ἢ ἐλάττων, τοῖς πεπυρωμέ-
νοις. Διὸ καὶ ἐν τοῖς σαπροῖς ζῷα ἐγγίγνεται· ἔνεστι γὰρ 3
θερμότης ἡ [w] φθείρασα τὴν ἑκάστου οἰκείαν [x] θερμότητα.
[y] Ὅσα δὲ κοινά, ἔχει θερμότητα· [z] συνέστη γὰρ τὰ πλεῖστα
ὑπὸ θερμότης πεψάσης. Ἔνια δὲ [a] σῆψίς [b] ἐστιν, οἷον τὰ
[c] συντηκτά. Ὥστε ἔχοντα μὲν τὴν φύσιν θερμὰ καὶ αἷμα καὶ 4
γονὴ καὶ [d] μυελὸς καὶ ὀπὸς καὶ πάντα τὰ τοιαῦτα, φθειρό-
μενα δὲ καὶ ἐξιστάμενα τῆς φύσεως οὐκέτι· λείπεται γὰρ ἡ
ὕλη, [e] γῆ οὖσα [f] ἢ ὕδωρ. [g] Διὸ ἀμφότερα δοκεῖ τισί, καὶ οἱ
μὲν ψυχρὰ οἱ δὲ θερμὰ ταῦτά φασιν εἶναι, ὁρῶντες, ὅταν
μὲν ἐν τῇ φύσει ὦσι, θερμά, ὅταν δὲ χωρισθῶσι, πηγνύμενα.
Ἔχει μὲν [h] οὖν οὕτως, [i] ὅμως δ' ὥσπερ διώρισται, ἐν οἷς μὲν 5
ἡ ὕλη ὕδατος τὸ πλεῖστον, ψυχρά (ἀντίκειται γὰρ [k] τοῦτο
μάλιστα τῷ πυρί), ἐν οἷς δὲ γῆς ἢ ἀέρος, θερμότερα. Συμ- 6
βαίνει δέ ποτε [l] ταὐτὰ γίνεσθαι [m] ψυχρότατα καὶ θερμότατα

[i] δεῖ] χρεῖ E. [k] ὡς] καὶ pr. F. [l] τὸ om. E. [m] εἶναί τινα F.H.N. [n] ὑγρὸν καὶ τὸ ξηρὸν F. [o] δὲ] γὰρ E. [p] σωμάτων N. [q] δὲ] γὰρ F.H.N. [r] ἐὰν N. [s] τέφρας] τῆς τέφρας N, τέφρας θερμότητα E. [t] ἠθούμενον N. [v] ἐστιν ἡ θερμότης N. [w] φθείρουσα F.H.N. [x] θερμότητα ὅσα δὲ κοινὰ om. E. [y] ὅσα—θερμότητα om. N. [z] συνέστηκε F.H.N. [a] σήψεις H.N. [b] εἰσὶν E.F.H.N. [c] τηκτὰ pr. F, συμπηκτὰ H, συντάγματα E. [d] ὀπὸς καὶ μυελὸς F. [e] γῆ om. E. [f] ἢ] καὶ F.N. [g] διὸ καὶ ἀμφότερα F. [h] οὖν om. E. [i] ὅμως δ'] ὅλως F.H. [k] μάλιστα τοῦτο F.H.N. [l] τὰ αὐτὰ F.H.N. [m] ψυχρότερα καὶ θερμότερα N.

ἀλλοτρίᾳ θερμότητι· ὅσα γὰρ μάλιστα πέπηγε καὶ [n] στερεώτατά ἐστι, ταῦτα ψυχρά τε μάλιστα, [o] ἐὰν στερηθῇ θερμότητος, καὶ [p] κάει μάλιστα, ἐὰν πυρωθῇ, οἷον ὕδωρ καπνοῦ [q] καὶ λίθος ὕδατος κάει μᾶλλον.

12 Ἐπεὶ δὲ περὶ τούτων διώρισται, καθ' ἕκαστον [r] λέγωμεν τί σὰρξ ἢ [s] ὀστοῦν ἢ τῶν ἄλλων τῶν ὁμοιομερῶν· ἔχομεν γὰρ ἐξ ὧν ἡ τῶν [t] ὁμοιομερῶν φύσις συνέστηκε, τὰ γένη αὐτῶν, τίνος ἕκαστον γένους, διὰ τῆς γενέσεως· ἐκ μὲν γὰρ τῶν στοιχείων τὰ ὁμοιομερῆ, [v] ἐκ τούτων δ' ὡς ὕλης τὰ [w] ὅλα
2 ἔργα τῆς φύσεως. Ἔστι δ' ἅπαντα ὡς μὲν ἐξ ὕλης ἐκ τῶν εἰρημένων, ὡς δὲ κατ' οὐσίαν τῷ λόγῳ. Ἀεὶ [x] δὲ μᾶλλον [y] δῆλον ἐπὶ τῶν ὑστέρων καὶ ὅλως ὅσα οἷον ὄργανα καὶ ἕνεκά του. Μᾶλλον γὰρ [z] δῆλον ὅτι ὁ νεκρὸς ἄνθρωπος ὁμωνύμως.
3 [a] Οὕτω τοίνυν καὶ χεὶρ τελευτήσαντος ὁμωνύμως, καθάπερ [b] καὶ αὐλοὶ λίθινοι λεχθείησαν· οἷον γὰρ καὶ ταῦτα ὄργανα ἄττα ἔοικεν εἶναι. Ἧττον δ' ἐπὶ σαρκὸς καὶ ὀστοῦ τὰ τοι-
4 αῦτα δῆλα. Ἔτι δ' [c] ἐπὶ πυρὸς καὶ ὕδατος [d] γῆς ἧττον· τὸ γὰρ οὗ ἕνεκα ἥκιστα ἐνταῦθα δῆλον [e] ὅπου πλεῖστον τῆς ὕλης· ὥσπερ γὰρ [f] εἰ τὰ ἔσχατα ληφθείη, ἡ μὲν ὕλη οὐθὲν ἄλλο παρ' αὐτήν, ἡ δ' οὐσία οὐθὲν [g] ἄλλο ἢ [h] ὁ λόγος, τὰ δὲ μεταξὺ ἀνάλογον τῷ ἐγγὺς εἶναι ἕκαστον, [i] ἐπεὶ καὶ τούτων ὁτιοῦν ἐστὶν ἕνεκά του, καὶ οὐ πάντως ἔχον ὕδωρ ἢ πῦρ,
5 ὥσπερ οὐδὲ σὰρξ οὐδὲ σπλάγχνον. Τούτων δ' ἔτι μᾶλλον πρόσωπον καὶ χείρ. Ἅπαντα δ' ἐστὶν ὡρισμένα τῷ ἔργῳ· τὰ μὲν γὰρ δυνάμενα ποιεῖν τὸ αὑτῶν ἔργον ἀληθῶς ἐστὶν [k] ἕκαστα, οἷον [l] ὁ ὀφθαλμὸς εἰ ὁρᾷ, τὸ δὲ μὴ δυνάμενον ὁμωνύμως, οἷον ὁ τεθνεὼς ἢ ὁ λίθινος· οὐδὲ γὰρ πρίων ὁ ξύλινος,

[n] στερεώτερα H. [o] ἂν F.H.N. [p] καίει F. [q] καὶ ὁ λίθος N. [r] λέγωμεν margo F. [s] ὀστᾶ H. [t] ἀνομοιομερῶν E. [v] ἐκ δὲ τούτων F.H.N. [w] ὅλα] ἄλλα H. [x] μᾶλλον δὲ F. [y] δῆλον ὅτι κατὰ τὸν λόγον αὐτοῖς ἐστὶ τὸ εἶναι ἀπὸ τῶν H. et ἀπὸ etiam N. [z] δῆλον οἷον ὅτι F. [a] οὕτω—ὁμωνύμως om. H. [b] καὶ αὐλ.] κἂν αὐλ. N. [c] ἐπὶ om. E. [d] γῆς om. F.H.N. [e] ὅπου δὲ πλεῖστον H, ὅπου δὴ πλεῖστον F.N. [f] εἰ καὶ τὰ F.H.N. [g] ἄλλο μᾶλλον ἢ H. [h] ὁ om. F.H.N. [i] ἐπεὶ] ἔχει E. [k] ἕκαστον H.N. [l] ὁ om. E.N.

*ἀλλ' ἢ* [m] *ὡς εἰκών. Οὕτω τοίνυν καὶ σάρξ· ἀλλὰ τὸ ἔργον* 6
*αὐτῆς ἧττον δῆλον ἢ τὸ τῆς γλώττης. Ὁμοίως δὲ καὶ πῦρ·*
*ἀλλ'* [n] *ἔτι ἧττον ἴσως* [o] *δῆλον φυσικῶς ἢ τὸ τῆς σαρκὸς ἔργον.*
*Ὁμοίως δὲ καὶ τὰ ἐν τοῖς φυτοῖς καὶ τὰ ἄψυχα, οἷον χαλκὸς*
*καὶ ἄργυρος· πάντα γὰρ δυνάμει τινί ἐστιν ἢ τοῦ ποιεῖν ἢ*
*τοῦ πάσχειν, ὥσπερ* [p] *καὶ σὰρξ καὶ νεῦρον· ἀλλ' οἱ λόγοι*
*αὐτῶν οὐκ ἀκριβεῖς.* [q] *Ὥστε πότε ὑπάρχει καὶ πότε οὔ, οὐ* 7
*ῥᾴδιον* [r] *διιδεῖν,* [s] *ἂν μὴ σφόδρα ἐξίτηλον ᾖ καὶ τὰ σχήματα*
[t] *μόνον ᾖ λοιπά,* [v] *οἷα καὶ τὰ τῶν παλαιουμένων νεκρῶν σώ-*
*ματα,* [w] *ἃ ἐξαίφνης τέφρα γίνεται ἐν ταῖς θήκαις· καὶ* [x] *καρ-*
*ποὶ μόνον τῷ σχήματι, τὴν δ' αἴσθησιν οὐ* [y] *φαίνονται* [z] *πα-*
*λαιούμενοι σφόδρα· καὶ τὰ* [a] *ἐκ τοῦ γάλακτος πηγνύμενα.*
*Τὰ μὲν οὖν τοιαῦτα μόρια θερμότητι* [b] *καὶ ψυχρότητι καὶ* 8
[c] *ταῖς τούτων κινήσεσιν ἐνδέχεται γίγνεσθαι,* [d] *πηγνύμενα τῷ*
*θερμῷ καὶ τῷ ψυχρῷ·* [e] *λέγω δ' ὅσα ὁμοιομερῆ, οἷον* [f] *σάρ-*
*κα, ὀστοῦν, τρίχας,* [g] *νεῦρα, καὶ ὅσα τοιαῦτα· πάντα γὰρ*
*διαφέρει ταῖς πρότερον εἰρημέναις διαφοραῖς, τάσει, ἕλξει,*
*θραύσει, σκληρότητι, μαλακότητι καὶ τοῖς ἄλλοις τοῖς* [h] *τοι-*
*ούτοις· ταῦτα δ' ὑπὸ* [i] *ψυχροῦ καὶ θερμοῦ καὶ τῶν κινήσεων*
*γίνεται μιγνυμένων. Τὰ δ' ἐκ τούτων συνεστῶτα οὐθενὶ* [k] *ἂν* 9
*δόξειε τὰ ἀνομοιομερῆ,* [l] *οἷον κεφαλὴ ἢ χεὶρ ἢ πούς, ἀλλ'*
*ὥσπερ καὶ τοῦ χαλκὸν μὲν ἢ ἄργυρον γενέσθαι αἰτία* [m] *ψυ-*
*χρότητος καὶ θερμότητος κίνησις, τοῦ δὲ* [n] *πρίονα ἢ φιάλην*
*ἢ κιβωτὸν οὐκέτι, ἀλλ' ἐνταῦθα μὲν τέχνη, ἐκεῖ δὲ φύσις ἢ*
*ἄλλη τις αἰτία.* [o] *Ἐπεὶ οὖν* [p] *ἔχομεν τίνος γένους ἕκαστον* 10
*τῶν ὁμοιομερῶν, ληπτέον καθ' ἕκαστον τί ἐστιν, οἷον* [q] *τί*

[m] *ὡς ἡ εἰκών* E. [n] *ἔτι*] *ἔστιν* H. [o] *ἄδηλον* E. [p] *καὶ* ante *σὰρξ* om. E. [q] *ὥστ' εἴποτε* E. [r] *ἰδεῖν* H, *διελθεῖν* F. [s] *ἂν* om. E. [t] *μόνα* F.H.N. [v] *οἷον* N. [w] *ἃ* om. E.F.H.N. [x] *καρπὸς* H. [y] *φαίνεται* H. [z] *παλαιούμενα* F.H. [a] *ἐκ* om. N. [b] *καὶ*] *ἢ* N. [c] *ταῖς ὑπὸ τούτων* F.H.N. [d] *πήγνυται τῷ ψ. καὶ τῷ θ.* N. [e] *λόγω* H. [f] *σάρκα καὶ ὀστοῦν καὶ νεῦρα καὶ τρίχας* E. [g] *νεῦρον* H. [h] *τοσούτοις* F. [i] *θερμοῦ καὶ ψυχροῦ* F.H.N. [k] *ἂν ἔτι δόξειε* F.N, *ἂν ἔτι εἶναι δόξειε* H. [l] *οἷον*] *ἢ* N. [m] *ψυχρότης καὶ θερμότης καὶ κίνησις* H.N, *θερμότης καὶ ψυχρότης καὶ κίνησις* F. [n] *φιάλην ἢ πρίονα* F. [o] *ἐπεὶ*] *εἰ* F.H.N. [p] *ἔχοιμεν* H. [q] *τί* post *οἷον* om. E.

*αἷμα ἢ σὰρξ ἢ σπέρμα καὶ τῶν ἄλλων ἕκαστον· οὕτω γὰρ ἴσμεν ἕκαστον διὰ τί καὶ τί ἐστιν, [r] ἐὰν τὴν ὕλην ἢ τὸν λόγον ἔχωμεν, μάλιστα δ' ὅταν ἄμφω τῆς [s] τε γενέσεως καὶ φθορᾶς, καὶ πόθεν ἡ ἀρχὴ τῆς κινήσεως. [t] Δηλωθέντων δὲ τούτων ὁμοίως τὰ [v] μὴ ὁμοιομερῆ θεωρητέον, καὶ τέλος τὰ ἐκ τούτων συνεστῶτα, οἷον [w] ἄνθρωπον, [x] φυτὸν καὶ τἆλλα τὰ τοιαῦτα.*

[r] *ἐὰν ἢ τὴν* H.N, *ἐὰν μὲν τὴν* F. [s] *τε* om. E.F. [t] *δῆλον· τεθέντων* H. [v] *μὴ* om. E.F.H.N. [w] *ἄνθρωπος* N. [x] *φυτὸν*] *καὶ φυτὰ* H.

# [a]ΠΕΡΙ ΚΟΣΜΟΥ

## ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ.

ΠΟΛΛΑΚΙΣ μὲν ἔμοιγε θεῖόν τι καὶ δαιμόνιον ὄντως
χρῆμα ὦ Ἀλέξανδρε ἡ φιλοσοφία ἔδοξεν εἶναι, μάλιστα δὲ
ἐν οἷς μόνη διαραμένη πρὸς τὴν τῶν ὅλων θέαν ἐσπούδασε
γνῶναι τὴν ἐν αὐτοῖς ἀλήθειαν, καὶ τῶν ἄλλων ταύτης ἀπο-
στάντων διὰ τὸ ὕψος καὶ [b]τὸ μέγεθος, αὕτη τὸ πρᾶγμα οὐκ
ἔδεισεν οὐδ' αὑτὴν τῶν καλλίστων ἀπηξίωσεν, ἀλλὰ καὶ [c]συγ-
γενεστάτην ἑαυτῇ [d]καὶ μάλιστα πρέπουσαν ἐνόμισεν εἶναι
τὴν ἐκείνων μάθησιν. Ἐπειδὴ γὰρ οὐχ οἷόν τε ἦν τῷ σώ- 2
ματι εἰς τὸν οὐράνιον ἀφικέσθαι τόπον καὶ τὴν γῆν [e]ἐκλι-
πόντα τὸν [f]οὐράνιον ἐκεῖνον [g]χῶρον κατοπτεῦσαι, [h]καθάπερ
οἱ ἀνόητοί ποτε ἐπενόουν Ἀλωάδαι, [i]ἡ γοῦν ψυχὴ διὰ φιλο-
σοφίας, λαβοῦσα ἡγεμόνα τὸν νοῦν, ἐπεραιώθη καὶ ἐξεδήμη-
σεν, ἀκοπίαστόν τινα ὁδὸν εὑροῦσα, καὶ τὰ πλεῖστον ἀλλή-
λων ἀφεστῶτα τοῖς τόποις [k]τῇ διανοίᾳ [l]συνεφρόνησε, ῥᾳ-
δίως οἶμαι τὰ συγγενῆ γνωρίσασα, καὶ θείῳ ψυχῆς ὄμματι
τὰ θεῖα [m]καταλαβοῦσα, τοῖς τε ἀνθρώποις προφητεύουσα.
Τοῦτο δ' ἔπαθε, καθ' ὅσον οἷόν τε ἦν, πᾶσιν ἀφθόνως μετα- 3
δοῦναι βουληθεῖσα τῶν παρ' [n]αὐτῇ τιμίων. Διὸ καὶ τοὺς 4
μετὰ σπουδῆς διαγράψαντας ἡμῖν ἑνὸς τόπου φύσιν ἢ μιᾶς
σχῆμα πόλεως ἢ ποταμοῦ μέγεθος ἢ ὄρους κάλλος, οἷά τινες

Codices O.P.Q.R. [a] Ἀριστοτέλους περὶ κοσμογραφέας Marc. 216. et γρ. Q. ἀριστοτέλους περὶ κόσμου (παντὸς addit Z.) πρὸς ἀλέξανδρον βασιλέα O.Z. ἀριστοτέλους πρὸς ἀλέξανδρον περὶ κόσμου Barocc. 125. ἀριστοτέλους πρὸς ἀλέξανδρον περὶ κόσμου καὶ ἑτέρων ἀναγκαίων Reg. 1603. ἀριστοτέλους πρὸς ἀλέξανδρον σύνοψις φιλοσοφίας περὶ κόσμου Reg. 2992. [b] τὸ ante μ. om. P. [c] ξυγγενεστάτην Q. [d] καὶ] ἢ καὶ P.R. [e] ἐκλεί-ποντα R. [f] οὐράνιον] ἱερὸν corr. O. [g] χῶρον] τόπον P. [h] ὥσπερ P. [i] τῇ γοῦν ψυχῇ δ. φ. λαβούσῃ Q. et pr. R. [k] τῇ διανοίᾳ om. Q.R. [l] συνεφόρησε Q, ambiguo R. [m] καταλαβομένη O.Q.R. [n] αὐτῆς P.

ἤδη πεποιήκασι, [o] φράζοντες οἱ μὲν τὴν Ὄσσαν, [p] οἱ δὲ τὴν
[q] Νύσαν, οἱ δὲ τὸ [r] Κωρύκιον ἄντρον, οἱ δὲ ὁτιοῦν ἔτυχε τῶν
ἐπὶ [s] μέρους, οἰκτίσειεν ἄν τις τῆς μικροψυχίας, τὰ τυχόντα
ἐκπεπληγμένους καὶ μέγα φρονοῦντας ἐπὶ θεωρίᾳ μικρᾷ.
5 Τοῦτο δὲ πάσχουσι διὰ τὸ ἀθέατοι τῶν κρειττόνων εἶναι,
[t] κόσμου λέγω καὶ τῶν ἐν κόσμῳ μεγίστων· οὐδέποτε γὰρ
ἂν τούτοις γνησίως [v] ἐπιστήσαντες ἐθαύμαζόν τι τῶν ἄλλων,
ἀλλὰ πάντα αὐτοῖς τὰ ἄλλα μικρὰ κατεφαίνετο ἂν καὶ [w] οὐ-
6 δενὸς ἄξια πρὸς τὴν τούτων ὑπεροχήν. Λέγωμεν [x] δὴ ἡμεῖς,
καὶ καθ' ὅσον ἐφικτόν, θεολογῶμεν περὶ τούτων [y] συμπάν-
των, ὡς ἕκαστον ἔχει φύσεως καὶ θέσεως καὶ κινήσεως. Πρέ-
πειν δὲ οἶμαί γε καὶ σοί, [z] ὄντι ἡγεμόνων ἀρίστῳ, τὴν τῶν
μεγίστων ἱστορίαν μετιέναι, φιλοσοφίᾳ τε [a] μηδὲν μικρὸν
ἐπινοεῖν, ἀλλὰ τοῖς [b] τοιούτοις δώροις [c] δεξιοῦσθαι τοὺς ἀρί-
στους.

2 Κόσμος μὲν οὖν ἐστι σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν
ἐν τούτοις περιεχομένων φύσεων. Λέγεται δὲ καὶ ἑτέρως
[d] κόσμος ἡ τῶν ὅλων τάξις [e] τε καὶ διακόσμησις, ὑπὸ [f] θεῶν τε
καὶ διὰ [g] θεῶν φυλαττομένη. Ταύτης [h] δὲ τὸ [i] μὲν μέσον,
ἀκίνητόν τε ὂν καὶ ἑδραῖον, ἡ φερέσβιος εἴληχε [k] γῆ, παντο-
2 δαπῶν ζῴων ἑστία [l] τε οὖσα καὶ μήτηρ. Τὸ [m] δ' ὕπερθεν
αὐτῆς πᾶν τε καὶ πάντῃ πεπερατωμένον· [n] ἧς τὸ [o] ἀνωτάτω
θεῶν οἰκητήριον οὐρανὸς ὠνόμασται· πλήρης δὲ ὢν σωμάτων
θείων, ἃ δὴ καλεῖν ἄστρα [p] εἰώθαμεν, κινούμενος κίνησιν ἀΐ-
διον, [q] μιᾷ περιαγωγῇ καὶ κύκλῳ [r] συναναχορεύει πᾶσα τού-

[o] οἱ μὲν φράζοντες Q. [p] οἱ δὲ τὴν νύσαν om. pr. O, post ἄντρον ponit Q. [q] νύσσαν P.Q. et rc. O. [r] κωρύκειον P, κορύζιον pr. O. [s] μέρους οὓς οἰκτίσειεν O.P.R. [t] λέγω δὲ κόσμου P. [v] ἐπιστατήσαντες Q, ambiguo R, qui corr. ἐκεῖ τὴν ἀρχήν, in margine rc. ἐρείσαντες προσχόντες ἀσχολήσαντες. [w] οὐδενὸς λόγου ἄξια P.Q. [x] δὲ P. [y] ξυμπάντων O, ἁπάντων R. [z] ἡγεμόνων ὄντι P. [a] μὴ P. [b] τοιούτοις] ταύτης P. [c] δεξ. καὶ τοὺς O. [d] κόσμος ἐστὶν ἡ Q. [e] τε om. O. [f] θεόν R, θεοῦ Q. [g] θεὸν Q.R. [h] δὲ om. P. [i] μὲν om. O. [k] γῆ om. pr. O. [l] οὖσά τε O. [m] δ'] τε O.P.R. [n] ἧς] εἰς R, nescio an corr. [o] ἀνώτατον O.P.Q. [p] εἰώθειμεν Q. [q] μιᾷ περιαγωγῇ] ἐν περιαγωγῇ corr. R, ἐμπεριάγωγον καὶ κύκλῳ ἐν περιαγωγῇ καὶ κύκλῳ O. [r] συναχορεύει O.

τοις [s] ἀπαύστως δι' αἰῶνος. Τοῦ δὲ σύμπαντος οὐρανοῦ τε 3
καὶ κόσμου σφαιροειδοῦς ὄντος καὶ κινουμένου, καθάπερ εἶ-
πον, ἐνδελεχῶς, δύο ἀκίνητα ἐξ ἀνάγκης ἐστὶ σημεῖα, καταν-
τικρὺ ἀλλήλων, καθάπερ τῆς ἐν τόρνῳ κυκλοφορουμένης
σφαίρας, στερεὰ μένοντα καὶ συνέχοντα τὴν σφαῖραν, περὶ
ἃ ὁ πᾶς κόσμος κινεῖται. Ὁ μὲν οὖν κόσμος [t] ἐν κύκλῳ πε- 4
ριστρέφεται, [v] καλοῦνται δ' οὗτοι πόλοι· δι' ὧν εἰ νοήσαιμεν
[w] ἐπεζευγμένην εὐθεῖαν, ἥν τινες ἄξονα καλοῦσι, διάμετρος
ἔσται τοῦ κόσμου, μέσην μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο
πόλους πέρατα. Τῶν [x] δὲ ἀκινήτων πόλων τούτων ὁ μὲν 5
[y] ἀεὶ φανερός ἐστιν ὑπὲρ κορυφὴν ὢν κατὰ τὸ βόρειον κλίμα,
[z] ἀρκτικὸς καλούμενος· ὁ δὲ ὑπὸ γῆν ἀεὶ κατακέκρυπται, κατὰ
τὸ νότιον, ἀνταρκτικὸς καλούμενος. Οὐρανοῦ δὲ καὶ [a] ἄστρων 6
οὐσίαν μὲν αἰθέρα καλοῦμεν, οὐχ ὥς τινες διὰ τὸ πυρώδη οὖ-
σαν αἴθεσθαι, πλημμελοῦντες περὶ τὴν πλεῖστον πυρὸς ἀπηλ-
λαγμένην δύναμιν, [b] ἀλλὰ διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην,
στοιχεῖον οὖσαν ἕτερον τῶν [c] τεττάρων, ἀκήρατόν τε καὶ
θεῖον. Τῶν γε μὴν ἐμπεριεχομένων ἄστρων τὰ μὲν ἀπλανῆ 7
τῷ [d] σύμπαντι οὐρανῷ [e] συμπεριστρέφεται, τὰς αὐτὰς ἔχοντα
ἕδρας, ὧν μέσος [f] ὁ ζῳοφόρος καλούμενος κύκλος [g] ἐγκάρσιος
διὰ τῶν τροπικῶν διέζωσται, κατὰ μέρος διῃρημένος εἰς δώ-
δεκα ζῳδίων χώρας· τὰ δὲ πλανητὰ ὄντα οὔτε τοῖς προτέροις
ὁμοιοταχῶς κινεῖσθαι πέφυκεν οὔτε ἀλλήλοις, ἀλλ' ἐν ἑτέροις
[h] καὶ ἑτέροις [i] κύκλοις, ὥστε αὐτῶν [k] τὸν μὲν προσγειότερον
εἶναι τὸν δὲ ἀνώτερον. Τὸ μὲν οὖν τῶν ἀπλανῶν πλῆθός 8
ἐστιν [l] ἀνεξεύρετον ἀνθρώποις, καίπερ ἐπὶ μιᾶς [m] κινουμένων
ἐπιφανείας τῆς τοῦ σύμπαντος οὐρανοῦ· τὸ δὲ τῶν πλανήτων
εἰς ἑπτὰ μέρη κεφαλαιούμενον ἐν τοσούτοις ἐστὶ κύκλοις ἐφε-
ξῆς κειμένοις, ὥστε ἀεὶ τὸν [n] ἀνωτέρω μείζω τοῦ ὑποκάτω

[s] ἀπαύστως—σφαιροειδοῦς] ἀεὶ δέ, idque rc, R. [t] ἐν om. P. [v] οὗ-τοι δὲ καλοῦνται P. [w] ἐπεζευγνυμένην O. [x] δὲ δύο ἀκινήτων P. [y] φανερός ἐστιν ἀεὶ Q. [z] ἀρκτῶος O. [a] ἀστέρων O. [b] ἀλλὰ καὶ διὰ O. [c] τεσσάρων O.P. [d] παντὶ P. [e] συμπεριστρέφονται Q. [f] ὁ om. R. [g] ἐγκάρδιος Q. [h] καὶ] καὶ ἐν O. [i] κύκλοις ante καὶ P. [k] τὸν μὲν] τὸ μὲν Q. [l] ἀνεξερεύνητον P.Q. [m] κινούμενον O. [n] ἀνώτερον P.

εἶναι, τούς τε ἑπτὰ [o] ἐν ἀλλήλοις περιέχεσθαι, πάντας γε
9 μὴν ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας περιειλῆφθαι. Συνεχῆ
δὲ [p] ἔχει ἀεὶ [q] τὴν θέσιν ταύτῃ ὁ τοῦ [r] Φαίνοντος ἅμα καὶ
Κρόνου καλούμενος [s] κύκλος, ἐφεξῆς δὲ ὁ τοῦ Φαέθοντος Διὸς
[t] λεγόμενος, εἶθ' ὁ Πυρόεις Ἡρακλέους τε καὶ [v] Ἄρεος προσ-
αγορευόμενος, ἑξῆς δὲ ὁ Στίλβων, ὃν ἱερὸν Ἑρμοῦ καλοῦσιν
ἔνιοι, [w] τινὲς δὲ Ἀπόλλωνος· μεθ' ὃν ὁ τοῦ Φωσφόρου, ὃν
Ἀφροδίτης, οἱ δὲ Ἥρας προσαγορεύουσιν, εἶτα ὁ ἡλίου, καὶ
10 τελευταῖος ὁ τῆς σελήνης [x] μέχρι γῆς ὁρίζεται. Ὁ δὲ αἰθὴρ
τά τε θεῖα [y] ἐμπεριέχει σώματα καὶ τὴν τῆς κινήσεως τάξιν.
Μετὰ δὲ τὴν αἰθέριον καὶ θείαν φύσιν, ἥν τινα τεταγμένην
ἀποφαίνομεν, ἔτι δὲ ἄτρεπτον καὶ ἀνετεροίωτον καὶ ἀπαθῆ,
συνεχής ἐστιν ἡ δι' ὅλων παθητή τε καὶ τρεπτή, καὶ τὸ σύμ-
11 παν εἰπεῖν, φθαρτή τε καὶ ἐπίκηρος. Ταύτης δὲ αὐτῆς
πρώτη μέν ἐστιν ἡ λεπτομερὴς καὶ φλογώδης οὐσία, ὑπὸ τῆς
αἰθερίου [z] φύσεως πυρουμένη διὰ τὸ μέγεθος αὐτῆς καὶ τὴν
ὀξύτητα τῆς κινήσεως· ἐν δὲ τῇ πυρώδει καὶ ἀτάκτῳ λεγο-
μένῃ τά τε σέλα [a] διάττει καὶ φλόγες ἀκοντίζονται καὶ δο-
κίδες τε καὶ βόθυνοι καὶ κομῆται λεγόμενοι στηρίζονται καὶ
12 σβέννυνται πολλάκις. Ἑξῆς δὲ ταύτης ὁ ἀὴρ [b] ὑποκέχυται,
ζοφώδης ὢν καὶ παγετώδης τὴν φύσιν· ὑπὸ δὲ [c] κινήσεως
λαμπόμενος ἅμα καὶ διακαιόμενος λαμπρότερός [d] τε γίνεται
13 καὶ ἀλεεινός. Ἐν δὲ τούτῳ τῆς [e] παθητῆς ὄντι [f] καὶ αὐτῷ
δυνάμεως καὶ παντοδαπῶς ἀλλοιουμένῳ [g] νέφη τε συνίσταν-
ται καὶ ὄμβροι [h] καταρράσσουσι, χιόνες τε καὶ πάχναι καὶ
χάλαζαι [i] πνοαί τε ἀνέμων καὶ τυφώνων, [k] ἔτι τε βρονταὶ καὶ
ἀστραπαὶ καὶ πτώσεις κεραυνῶν μυρίων τε γνόφων συμ-
πληγάδες.

[o] ὑπὸ ἀλλήλων Q. [p] ἀεὶ ἔχειν rc. O: pr. om. ἔχει. [q] ταύτην τὴν θέσιν O, τὴν θέσιν ταύτην μὲν Q, τὴν θέσιν ταύτην P.R. [r] φαέθοντος O. [s] κύκλος om. Q. [t] καλούμενος P.R. [v] ἄρεως R, ἀοριος O. [w] τινὲς om. corr. R. [x] μέχρι] μέτρον τῆς O. [y] ἐμπεριέχων O.R. [z] φύσεως om. O.R, post πυρουμένη ponit Q. [a] διατάττει Q. [b] κέχυται O. [c] κινήσεως] ἐκείνης Q. [d] τε om. O. [e] παθητῆς τῷ ὄντι Q.R. [f] καὶ αὐτῷ ante τῆς P. [g] νέφη συνίσταται O. [h] καταράσσουσι P.Q.R. [i] πνοιαί R. [k] ἔτι τε] ἔτι δὲ O.

Ἑξῆς δὲ τῆς ἀερίου φύσεως γῆ [l] τε καὶ θάλασσα ἐρήρει- 3
σται, φυτοῖς βρύουσα καὶ ζῴοις πηγαῖς τε καὶ ποταμοῖς,
τοῖς μὲν ἀνὰ γῆν ἑλιττομένοις, τοῖς δὲ ἀνερευγομένοις εἰς
[m] θάλασσαν. Πεποίκιλται δὲ καὶ χλόαις μυρίαις ὄρεσί τε
ὑψηλοῖς καὶ βαθυξύλοις δρυμοῖς, καὶ πόλεσιν, ἃς τὸ σοφὸν
[n] ζῷον ἱδρύσατο ἄνθρωπος, νήσοις τε [o] ἐναλίαις [p] καὶ ἠπεί-
ροις. Τὴν μὲν οὖν οἰκουμένην ὁ πολὺς λόγος εἴς [q] τε νήσους 2
καὶ ἠπείρους διεῖλεν, ἀγνοῶν ὅτι καὶ ἡ [r] σύμπασα μία νῆσός
ἐστιν, ὑπὸ τῆς [s] Ἀτλαντικῆς καλουμένης θαλάσσης περιρρεο-
μένη. Πολλὰς δὲ καὶ ἄλλας εἰκὸς τῆσδε ἀντιπόρθμους [t] ἄπο- 3
θεν κεῖσθαι, τὰς μὲν μείζους αὐτῆς, τὰς δὲ ἐλάττους, ἡμῖν δὲ
πάσας πλὴν τῆσδε ἀοράτους· ὅπερ γὰρ αἱ παρ' ἡμῖν νῆσοι
πρὸς ταῦτα τὰ πελάγη πεπόνθασι, [v] τοῦτο ἥδε ἡ οἰκουμένη
πρὸς τὴν Ἀτλαντικὴν θάλασσαν [w] πολλαί τε ἕτεραι πρὸς
σύμπασαν τὴν θάλασσαν· καὶ γὰρ αὗται μεγάλαι τινές εἰσι
νῆσοι, [x] μεγάλοις περικλυζόμεναι πελάγεσιν. Ἡ δὲ σύμ- 4
πασα τοῦ ὑγροῦ φύσις ἐπιπολάζουσα, κατά τινας τῆς γῆς
σπίλους τὰς καλουμένας ἀναπεφυκυῖα οἰκουμένας, ἑξῆς ἂν εἴη
τῆς ἀερίου μάλιστα φύσεως. Μετὰ δὲ ταύτην ἐν τοῖς βυθοῖς
κατὰ τὸ [y] μεσαίτατον τοῦ κόσμου [z] συνερηρεισμένη γῆ πᾶσα
καὶ πεπιεσμένη συνέστηκεν, ἀκίνητος καὶ ἀσάλευτος· καὶ τοῦτ'
ἔστι τοῦ κόσμου [a] τὸ [b] πᾶν, ὃ καλοῦμεν κάτω. Πέντε δὴ 5
στοιχεῖα ταῦτα, ἐν πέντε χώραις σφαιρικῶς ἐγκείμενα, περιε-
χομένης ἀεὶ τῆς ἐλάττονος τῇ μείζονι (λέγω [c] δὲ γῆς μὲν ἐν
ὕδατι, ὕδατος δὲ ἐν ἀέρι, ἀέρος δὲ ἐν πυρί, πυρὸς δὲ ἐν αἰθέρι)
τὸν [d] ὅλον κόσμον συνεστήσατο, καὶ τὸ μὲν ἄνω [e] πᾶν θεῶν
ἀπέδειξεν οἰκητήριον, τὸ κάτω δὲ ἐφημέρων ζῴων. Αὐτοῦ γε 6
μὴν τούτου τὸ μὲν ὑγρόν ἐστιν, ὃ [f] καλεῖν [g] ποταμοὺς καὶ

[l] τε om. Q. et fortasse R. [m] θάλατταν Q. [n] ζῷον ὁ ἄνθρωπος ἱδρύσατο Q. [o] ἐναλίοις O.P. [p] καὶ ἠπείροις om. O.R. [q] νήσους τε O. [r] σύμπασα ἅπασα μία P. [s] ἀταλαντικῆς pr. P. [t] ἄπωθεν R. [v] τοῦτο δὲ ἥδε O. [w] πολλάς τε ἑτέρας R. [x] μεγάλοις τισὶ περικλ. Q. [y] μεσώτατον Q. [z] συνηρεισμένη O.P.R. [a] τὸ om. O.Q.R. [b] πᾶν om. Q. [c] δὴ O.R. [d] κόσμον ὅλον O.P. [e] πᾶν om. P. [f] καλοῦμεν Q, omisso mox εἰθίσμεθα. [g] ποταμούς τε καὶ O.

*νάματα καὶ θαλάσσας εἰθίσμεθα, τὸ δὲ ξηρόν, ὃ γῆν τε καὶ ἠπείρους καὶ νήσους ὀνομάζομεν.*

7 *Τῶν δὲ νήσων αἱ μέν εἰσι μεγάλαι, καθάπερ ἡ σύμπασα ἥδε οἰκουμένη λέλεκται πολλαί τε ἕτεραι* [h] *μεγάλοις περιρρεόμεναι πελάγεσιν, αἱ δ' εἰσὶν ἐλάττους, φανεραὶ* [i] *δὲ ἡμῖν καὶ ἐντὸς οὖσαι. Καὶ τούτων αἱ μὲν ἀξιόλογοι Σικελία καὶ Σαρδὼ καὶ Κύρνος* [k] *Κρήτη τε καὶ Εὔβοια καὶ Κύπρος καὶ Λέσβος· αἱ δὲ ὑποδεέστεραι, ὧν αἱ μὲν Σποράδες, αἱ δὲ Κυκλάδες, αἱ δὲ ἄλλως ὀνομάζονται.*

8 *Πέλαγος δὲ τὸ μὲν ἔξω* [l] *τῆς οἰκουμένης* [m] *Ἀτλαντικόν τε
καὶ Ὠκεανὸς καλεῖται, περιρρέων ἡμᾶς. Ἐν δὲ τῷ πρὸς
*[n] *δύσιν στενοπόρῳ* [o] *διανεῳγὸς στόματι, κατὰ τὰς Ἡρακλεί-
ους* [p] *λεγομένας στήλας, τὸν εἴσρουν εἰς τὴν ἔσω* [q] *θάλασσαν
ὡς* [r] *ἂν εἰς λιμένα* [s] *ποιεῖται, κατὰ μικρὸν δὲ ἐπιπλατυνόμενος
ἀναχεῖται, μεγάλους περιλαμβάνων κόλπους ἀλλήλοις συνα-
φεῖς, τῇ μὲν κατὰ στενοπόρους αὐχένας* [t] *ἀνεστομωμένος, τῇ
9 δὲ* [v] *πάλιν* [w] *πλατυνόμενος. Πρῶτον μὲν οὖν λέγεται ἐγκε-
κολπῶσθαι ἐν δεξιᾷ εἰσπλέοντι τὰς Ἡρακλείους στήλας, δι-
χῶς, εἰς τὰς καλουμένας Σύρτεις, ὧν τὴν μὲν μεγάλην τὴν δὲ
μικρὰν καλοῦσιν· ἐπὶ* [x] *θάτερα δὲ οὐκέτι ὁμοίως ἀποκολπού-
μενος τρία ποιεῖ πελάγη, τό τε* [y] *Σαρδόνιον καὶ τὸ* [z] *Γαλα-
τικὸν* [a] *καλούμενον καὶ* [b] *Ἀδρίαν, ἑξῆς δὲ τούτων ἐγκάρσιον
τὸ Σικελικόν, μετὰ δὲ τοῦτο τὸ Κρητικόν, συνεχὲς δὲ* [c] *αὐτοῦ
*[d] *τῇ μὲν τὸ Αἰγύπτιόν τε καὶ Παμφύλιον καὶ Σύριον,* [d] *τῇ
10 δὲ τὸ Αἰγαῖόν τε καὶ Μυρτῷον. Ἀντιπαρήκει δὲ τοῖς εἰρη-
μένοις πολυμερέστατος ὢν ὁ Πόντος, οὗ τὸ μὲν μυχαίτατον
Μαιῶτις καλεῖται, τὸ δὲ ἔξω πρὸς τὸν Ἑλλήσποντον* [e] *συν-
ανεστόμωται τῇ καλουμένῃ Προποντίδι. Πρός γε μὴν ταῖς*

[h] *περιρρ. μεγάλοις* P. [i] *δὲ*] *τε* Q, om. O.R. [k] *Κρήτη τε*] *καὶ κρήτη* P. [l] *τῆς* om. O. [m] *ἀταλαντικὸν καλεῖται καὶ ὁ ὠκεανὸς* P. [n] *δύσεις* Q.R. [o] *στόματι διανεωγότι* P. [p] *λεγ.*] *καλουμένας* O. [q] *θάλατταν* P. [r] *ἂν* om. O. [s] *ποιῆται* Q. [t] *ἀνεστομωμένον* O, *ἀνεστομωμένους* Q. [v] *πάλιν* om. O.Q. [w] *πλατυνόμενον* O.Q. [x] *θάτερον* O, *θατέρου* Q.R. [y] *σαρδώνιον* O.P. [z] *γαλακτικὸν* pr. R. [a] *λεγόμενον* R. [b] *ἀνδρίαν* Q. [c] *αὐτὸ* Q. [d] *πῇ μὲν* et mox *πῇ δὲ* P. [e] *συνεστόμωται* Q.

[f] ἀνασχέσεσι τοῦ ἡλίου πάλιν εἰσρέων ὁ Ὠκεανός, τὸν Ἰνδι-
κόν τε καὶ [g] Περσικὸν διανοίξας κόλπον, ἀναφαίνει συνεχῆ
τὴν Ἐρυθρὰν θάλασσαν διειληφώς. Ἐπὶ θάτερον δὲ κέρας 11
κατὰ στενόν τε καὶ ἐπιμήκη διήκων αὐχένα πάλιν [h] ἀνευρύνε-
ται, τὴν Ὑρκανίαν τε καὶ [i] Κασπίαν ὁρίζων· τὸ δὲ ὑπὲρ ταύ-
την βαθὺν ἔχει τὸν ὑπὲρ τὴν Μαιῶτιν λίμνην τόπον. Εἶτα
κατ' ὀλίγον ὑπὲρ τοὺς Σκύθας [k] τε καὶ Κελτικὴν σφίγγει
τὴν οἰκουμένην, πρός τε τὸν Γαλατικὸν κόλπον καὶ τὰς προ-
ειρημένας Ἡρακλείους στήλας, ὧν ἔξω περιρρέει τὴν γῆν ὁ
Ὠκεανός. Ἐν τούτῳ γε μὴν νῆσοι μέγισταί [l] τε τυγχάνου- 12
σιν οὖσαι δύο, [m] Βρετανικαὶ λεγόμεναι, Ἄλβιον καὶ Ἰέρνη,
τῶν προϊστορημένων μείζους, ὑπὲρ τοὺς [n] Κελτοὺς κείμεναι.
Τούτων δὲ [o] οὐκ ἐλάττους ἥ τε Ταπροβάνη πέραν Ἰνδῶν,
λοξὴ [p] πρὸς τὴν οἰκουμένην, καὶ ἡ Φεβὸλ καλουμένη, κατὰ
τὸν [q] Ἀραβικὸν κειμένη κόλπον. Οὐκ ὀλίγαι δὲ μικραὶ περὶ 13
τὰς Βρετανικὰς καὶ τὴν Ἰβηρίαν κύκλῳ περιεστεφάνωνται
τὴν οἰκουμένην ταύτην, ἣν δὴ νῆσον εἰρήκαμεν· ἧς πλάτος μέν
ἐστι κατὰ τὸ βαθύτατον τῆς ἠπείρου βραχὺ ἀποδέον τετρα-
κισμυρίων σταδίων, ὥς φασιν οἱ εὖ γεωγραφήσαντες, μῆκος
δὲ περὶ ἑπτακισμυρίους μάλιστα. Διαιρεῖται δὲ εἴς τε Εὐ-
ρώπην καὶ Ἀσίαν καὶ Λιβύην.

Εὐρώπη μὲν οὖν ἐστιν [r] ἧς ὅροι κύκλῳ στῆλαί τε Ἡρα- 14
κλέους καὶ μυχοὶ Πόντου θάλαττά τε Ὑρκανία, καθ' ἣν
στενώτατος ἰσθμὸς εἰς τὸν [s] Πόντον διήκει· τινὲς δὲ ἀπὸ

[f] ἀνισχέσεσι O, ἀνισχήσεσι P. [g] περσινὸν Q. [h] ἁδρύνεται O, εὐρύνεται corr. R. [i] κασσίαν O. [k] τε om. Q. [l] τε om. P. [m] βρεττανικαι (vel βρετανικαὶ) λεγόμεναι λάβιον καὶ κέρνη Q. cum Barocciano et, qui in margine ἄλβιον, Regio 1038. βρεττανικαὶ λεγόμεναι τό τε λάβιον καὶ ἡ ἔρνη Regius 1302. βρεττανικαὶ λεγόμεναι λάβιον καὶ βέρνιον Z, qui in margine ἰέρνη. βρετανικαὶ λεγόμεναι ἣ λάβιον καὶ ἡ ἐρμοφώνη Regius 1603. βρεττανικαὶ λαβίων καὶ ἱέρνη Regius 2992. βρεττανιακαὶ λεγόμεναι κε (ε loco duarum capace) λαβίων καὶ ἱέρνη R. βρετανία καὶ λεγόμεναι λαβίων καὶ ἰέρνη O. βρετανία (vel βρεττανία) καὶ ἡ λεγομένη καλαβρῶν ἰέρνη P. cum Marcianis 215 et 216, Coisliniano 166, Regiis 2257 et 2372 et 2494, quorum 215 ἶρνη, 2494 ἔρνη. [n] κελτικοὺς O. [o] οὐκ om. O.P.Q.R, cum 166 et Barocc. [p] πρὸς τὴν οἰκουμένην] καλουμένη O. [q] ἀρραβικὸν P. [r] ἧς οἱ ὅροι Q. [s] πόντον] τόπον O.

15 τοῦ ἰσθμοῦ Τάναϊν ποταμὸν εἰρήκασιν. [t]Ἀσία [v]δ' ἐστὶ τὸ
ἀπὸ τοῦ εἰρημένου ἰσθμοῦ τοῦ τε Πόντου καὶ τῆς Ὑρκανίας
θαλάσσης μέχρι [w]θατέρου ἰσθμοῦ, ὃς μεταξὺ κεῖται τοῦ [x]τε
[y]Ἀραβικοῦ κόλπου καὶ τῆς ἔσω θαλάσσης, περιεχόμενος ὑπό
τε ταύτης καὶ τοῦ πέριξ Ὠκεανοῦ· τινὲς δὲ [z]τὸ ἀπὸ Ταναΐδος
μέχρι Νείλου [a]στομάτων τίθενται [b]τὸν τῆς Ἀσίας ὅρον.
16 Λιβύη δὲ τὸ ἀπὸ [c]τοῦ [d]Ἀραβικοῦ ἰσθμοῦ ἕως Ἡρακλέους
στηλῶν· οἱ δὲ ἀπὸ τοῦ Νείλου [e]φασὶν ἕως ἐκείνων. Τὴν
δὲ Αἴγυπτον, ὑπὸ [f]τῶν τοῦ Νείλου [g]στομάτων περιρρεομέ-
νην, οἱ μὲν τῇ [h]Ἀσίᾳ οἱ δὲ τῇ Λιβύῃ προσάπτουσι, καὶ τὰς
νήσους οἱ μὲν ἐξαιρέτους ποιοῦσιν οἱ δὲ προσνέμουσι [i]ταῖς
γείτοσιν ἀεὶ μοίραις. Γῆς μὲν [k]δὴ καὶ θαλάττης φύσιν καὶ
θέσιν, ἥν τινα καλεῖν εἰώθαμεν οἰκουμένην, τοιάνδε τινὰ ἱστο-
ρήκαμεν.

4 Περὶ δὲ τῶν ἀξιολογωτάτων ἐν αὐτῇ καὶ περὶ [l]αὐτὴν πα-
θῶν νῦν [m]λέγωμεν, αὐτὰ τὰ ἀναγκαῖα [n]κεφαλαιούμενοι.
[o]Δύο γὰρ δή τινες ἀπ' αὐτῆς ἀναθυμιάσεις ἀναφέρονται συν-
εχῶς εἰς τὸν ὑπὲρ ἡμᾶς ἀέρα, λεπτομερεῖς καὶ ἀόρατοι παν-
τάπασιν, εἴ τι μὴ κατὰ τὰς ἑῴας ἐστίν· αἵ τε [p]διὰ ποταμῶν
2 τε καὶ ναμάτων ἀναφερόμεναι θεωροῦνται. Τούτων δὲ ἡ μέν
ἐστι ξηρὰ καὶ καπνώδης, ἀπὸ τῆς γῆς ἀπορρέουσα, ἡ δὲ [q]νο-
τερὰ καὶ ἀτμώδης, ἀπὸ τῆς ὑγρᾶς [r]ἀναθυμιωμένη φύσεως.
3 Γίνονται δὴ ἀπὸ μὲν ταύτης ὁμίχλαι καὶ δρόσοι καὶ πάγων
ἰδέαι, νέφη τε καὶ ὄμβροι καὶ χιόνες καὶ χάλαζαι, ἀπὸ δὲ
τῆς ξηρᾶς ἄνεμοί τε καὶ πνευμάτων διαφοραί, βρονταί τε καὶ
ἀστραπαὶ καὶ πρηστῆρες καὶ κεραυνοὶ καὶ τἆλλα ἃ δὴ [s]τού-
4 τοις ἐστὶ [t]σύμφυλα. Ἔστι δὲ ὁμίχλη μὲν ἀτμώδης [v]ἀνα-
θυμίασις ἄγονος ὕδατος, ἀέρος μὲν παχυτέρα, νέφους δὲ

[t] ἀσίας R. [v] δὴ Q. [w] ἑτέρου O. [x] τε om. Q. [y] ἀρραβικοῦ P.Q.
[z] τὸ om. O.P.R. [a] στομάτων—ἀπὸ τοῦ Νείλου om. Q. [b] τὸν om. R.
[c] τοῦ om. P. [d] ἀρραβικοῦ O.P.Q. [e] φασὶν—Νείλου om pr. O.
[f] τῶν om. Q. [g] ναμάτων O. [h] λιβύῃ οἱ δὲ τῇ ἀσίᾳ P. [i] ἀεὶ ταῖς
γείτοσι P. [k] δὴ om. O. [l] αὐτὴν] τῶν αὐτῆς P. et pr. R. [m] λέ-
ξομεν P. [n] ἀνακεφαλαιούμενοι P. [o] δύο μὲν γὰρ P. [p] διὰ] ἐκ Q.
[q] νοτιώτερα P.R, νοωτέρα O. [r] ἀναθυμιωμένης γίνονται φύσεως. γίνον-
ται P. [s] τούτων Q. [t] σύμφυτα O.R. [v] ἀναθυμίασίς τις ἄγ. P.

ἀραιοτέρα· γίνεται δὲ ἤτοι [w] ἐξ ἀρχῆς νέφους ἢ ἐξ ὑπολείμ-
ματος. Ἀντίπαλος δὲ αὐτῇ λέγεται καὶ ἔστιν αἰθρία, οὐδὲν
ἄλλο οὖσα πλὴν ἀὴρ ἀνέφελος καὶ ἀνόμιχλος. Δρόσος δ' 5
ἐστὶν ὑγρὸν ἐξ αἰθρίας κατὰ σύστασιν [x] λεπτὸν φερόμενον,
[y] κρύσταλλος δὲ ἀθρόον ὕδωρ ἐξ αἰθρίας πεπηγός, πάχνη δὲ
δρόσος πεπηγυῖα, δροσοπάχνη δὲ ἡμιπαγὴς δρόσος. Νέφος
δ' ἐστὶ πάχος ἀτμῶδες συνεστραμμένον, γόνιμον ὕδατος.
Ὄμβρος δὲ γίνεται μὲν κατ' [z] ἐκπιεσμὸν νέφους εὖ μάλα πε- 6
παχυσμένου, διαφορὰς δὲ ἴσχει τοσάσδε [a] ὅσας καὶ ἡ τοῦ νέ-
φους θλίψις· ἠπία μὲν γὰρ οὖσα μαλακὰς [b] ψακάδας δια-
σπείρει, σφοδρὰ δὲ ἁδροτέρας· καὶ τοῦτο καλοῦμεν ὑετόν,
[c] ὄμβρου μείζω καὶ συνεχῆ συστρέμματα ἐπὶ γῆς φερόμενα.
Χιὼν δὲ γίνεται κατὰ νεφῶν πεπυκνωμένων ἀπόθραυσιν πρὸ 7
τῆς εἰς ὕδωρ μεταβολῆς ἀνακοπέντων· ἐργάζεται δὲ ἡ μὲν
κοπὴ τὸ ἀφρῶδες καὶ ἔκλευκον, ἡ δὲ σύμπηξις τοῦ ἐνόντος
ὑγροῦ [d] τὴν ψυχρότητα οὔπω χυθέντος οὐδὲ ἠραιωμένου.
Σφόδρα δὲ αὕτη καὶ ἀθρόα καταφερομένη νιφετὸς ὠνόμα-
σται. Χάλαζα δὲ γίνεται νιφετοῦ συστραφέντος καὶ βρῖθος 8
ἐκ πιλήματος εἰς καταφορὰν ταχυτέραν λαβόντος· παρὰ δὲ
τὰ μεγέθη τῶν ἀπορρηγνυμένων θραυσμάτων οἵ τε ὄγκοι μεί-
ζους αἵ τε [e] φοραὶ γίνονται [f] βιαιότεραι. Ταῦτα μὲν οὖν ἐκ
τῆς ὑγρᾶς ἀναθυμιάσεως πέφυκε [g] συνεκπίπτειν.

Ἐκ δὲ τῆς ξηρᾶς ὑπὸ ψύχους μὲν ὠσθείσης ὥστε ῥεῖν ἄνε- 9
μος ἐγένετο· οὐδὲν γάρ ἐστιν οὗτος πλὴν ἀὴρ πολὺς ῥέων
καὶ ἀθρόος· ὅστις ἅμα [h] καὶ πνεῦμα λέγεται. Λέγεται δὲ
καὶ ἑτέρως πνεῦμα· ἥ τε ἐν φυτοῖς καὶ ζῴοις καὶ διὰ πάντων
[i] διήκουσα ἔμψυχός [k] τε καὶ γόνιμος οὐσία, περὶ ἧς [l] νῦν λέ-
γειν οὐκ ἀναγκαῖον. Τὰ δὲ ἐν ἀέρι πνέοντα πνεύματα κα- 10
λοῦμεν ἀνέμους, αὔρας δὲ τὰς ἐξ ὑγροῦ φερομένας ἐκπνοάς.

[w] ἐξ ἀραιώσεως ἀρχῆς P. [x] λεπτὴν O.P.R. [y] κρύσταλος Q.R.
[z] ἐκπιασμὸν νέφους καὶ μάλα πεπαχυμένου Q. [a] ὅσαι Q. [b] ψεκά-
δας O.P.Q. [c] ὄμβρον O. [d] post τὴν litteras duas deletas R.
[e] καταφοραὶ P. [f] βιαιότεροι Q. [g] συνεμπίπτειν O.R. [h] καὶ post
ἅμα om. P. [i] διήκουσα καὶ ἔμψυχός R. [k] τε om. O. [l] λέγειν
νῦν P.

Τῶν δ' ἀνέμων οἱ μὲν ἐκ νενοτισμένης γῆς πνέοντες ἀπόγειοι
λέγονται, οἱ δὲ ἐκ κόλπων [m] διεξάττοντες ἐγκολπίαι· τούτοις
11 δὲ ἀνάλογόν τι ἔχουσιν οἱ ἐκ ποταμῶν καὶ λιμνῶν. Οἱ δὲ
κατὰ ῥῆξιν νέφους γινόμενοι καὶ ἀνάλυσιν τοῦ πάχους πρὸς
ἑαυτοὺς ποιούμενοι ἐκνεφίαι καλοῦνται· μεθ' ὕδατος δὲ [n] ἀθρόως
ῥαγέντος ἐξυδρίαι λέγονται. Καὶ οἱ μὲν ἀπ' ἀνατολῆς συν-
εχεῖς εὖροι κέκληνται, βορέαι δὲ οἱ ἀπὸ ἄρκτου, ζέφυροι [o] δὲ
12 οἱ ἀπὸ δύσεως, νότοι [o] δὲ οἱ ἀπὸ μεσημβρίας. Τῶν γε μὴν
εὔρων καικίας μὲν [p] λέγεται ὁ ἀπὸ τοῦ [q] περὶ τὰς θερινὰς
ἀνατολὰς [r] τόπου πνέων ἄνεμος, [s] ἀπηλιώτης δὲ ὁ ἀπὸ τοῦ
περὶ τὰς ἰσημερινάς, εὖρος δὲ ὁ ἀπὸ τοῦ περὶ τὰς χειμερινάς.
Καὶ τῶν ἐναντίων ζεφύρων ἀργέστης μὲν ὁ ἀπὸ τῆς θερινῆς
δύσεως, ὅν τινες καλοῦσιν ὀλυμπίαν, οἱ δὲ [t] ἰάπυγα· ζέφυρος
δὲ ὁ ἀπὸ τῆς ἰσημερινῆς, λὶψ δὲ [v] ὁ ἀπὸ τῆς χειμερινῆς.
13 Καὶ τῶν βορεῶν ἰδίως ὁ μὲν ἑξῆς τῷ καικίᾳ καλεῖται βορέας,
ἀπαρκτίας δὲ ὁ ἐφεξῆς ἀπὸ τοῦ πόλου κατὰ τὸ μεσημβρινὸν
πνέων, [w] θρασκίας δὲ ὁ ἑξῆς πνέων τῷ ἀργέστῃ, ὃν ἔνιοι και-
14 κίαν καλοῦσιν. Καὶ τῶν νότων ὁ μὲν ἀπὸ τοῦ ἀφανοῦς πό-
λου [x] φερόμενος ἀντίπαλος τῷ ἀπαρκτίᾳ καλεῖται νότος,
[y] εὐρόνοτος δὲ ὁ μεταξὺ [z] εὔρου καὶ νότου· τὸν δ' ἐπὶ θάτερα
[a] μεταξὺ λιβὸς καὶ νότου οἱ μὲν λιβόνοτον οἱ δὲ λιβοφοίνικα
15 καλοῦσιν. Τῶν δὲ ἀνέμων οἱ μέν εἰσιν εὐθύπνοοι, ὁπόσοι
διεκπνέουσι πρόσω κατ' εὐθεῖαν, οἱ [b] δὲ ἀνακαμψίπνοοι, καθά-
περ ὁ καικίας λεγόμενος. Καὶ οἱ μὲν χειμῶνος, ὥσπερ οἱ
νότοι, δυναστεύοντες, οἱ δὲ θέρους, ὡς οἱ ἐτησίαι λεγόμενοι,
μίξιν ἔχοντες τῶν τε ἀπὸ τῆς ἄρκτου φερομένων καὶ ζεφύ-
ρων· οἱ δὲ ὀρνιθίαι καλούμενοι, ἐαρινοί τινες ὄντες ἄνεμοι,
16 βορέαι εἰσὶ τῷ γένει. Τῶν γε μὴν βιαίων πνευμάτων κα-
ταιγὶς μέν ἐστι πνεῦμα ἄνωθεν τύπτον ἐξαίφνης, θύελλα δὲ
πνεῦμα βίαιον καὶ ἄφνω προσαλλόμενον, λαῖλαψ δὲ καὶ

[m] διεξάγοντες Q. [n] ἐκραγέντος ἀθρόως P. [o] δὲ utrumque om. O.
[p] λέγεται om. P. [q] παρὰ P. [r] τόπου om. P. [s] ἀφηλιώτης O.
[t] ἰάμπυγα P. [v] ὁ alterum om. R. [w] θρακίας R. [x] φερόμενος
om. pr. O. [y] εὐρότονος Q. [z] νότου καὶ εὔρου P. [a] μεταξὺ om. O.
[b] δέ εἰσιν ἀνακ. O.P.R.

στρόβιλος πνεῦμα [c] εἱλούμενον κάτωθεν ἄνω, ἀναφύσημα δὲ
γῆς πνεῦμα ἄνω φερόμενον κατὰ τὴν ἐκ βυθοῦ τινὸς ἢ ῥή-
γματος ἀνάδοσιν· ὅταν δὲ εἱλούμενον πολὺ φέρηται, πρηστὴρ
χθόνιός ἐστιν. [d] Εἰληθὲν δὲ πνεῦμα ἐν νέφει παχεῖ τε καὶ 17
νοτερῷ, καὶ ἔξωθεν δι' αὐτοῦ [e] βιαίως ῥηγνύον τὰ συνεχῆ
πιλήματα τοῦ νέφους, βρόμον καὶ πάταγον [f] μέγαν ἀπειρ-
γάσατο, [g] βροντὴν [h] λεγόμενον, ὥσπερ ἐν ὕδατι [i] πνεῦμα
σφοδρῶς ἐλαυνόμενον. Κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν 18
πυρωθὲν τὸ πνεῦμα καὶ λάμψαν ἀστραπὴ λέγεται· ὃ δὴ
πρότερον τῆς βροντῆς προσέπεσεν, [k] ὕστερον γενόμενον,
ἐπεὶ τὸ ἀκουστὸν ὑπὸ τοῦ ὁρατοῦ πέφυκε φθάνεσθαι, τοῦ
μὲν καὶ πόρρωθεν ὁρωμένου, τοῦ δὲ ἐπειδὰν ἐμπελάσῃ τῇ
ἀκοῇ, καὶ μάλιστα ὅταν τὸ μὲν τάχιστον [l] ᾖ τῶν ὄντων,
λέγω [m] δὲ τὸ πυρῶδες, τὸ δὲ ἧττον ταχύ, ἀερῶδες ὄν, ἐν τῇ
πλήξει πρὸς ἀκοὴν ἀφικνούμενον. Τὸ δὲ [n] ἀστράψαν ἀνα- 19
πυρωθέν, βιαίως ἄχρι τῆς γῆς διεκθέον, κεραυνὸς καλεῖται·
ἐὰν δὲ ἡμίπυρον ᾖ, [o] σφοδρὸν δὲ ἄλλως καὶ ἀθρόον, πρηστήρ·
ἐὰν δὲ ἄπυρον ᾖ παντελῶς, τυφών. Ἕκαστον δὲ τούτων
κατασκῆψαν εἰς τὴν γῆν σκηπτὸς ὀνομάζεται. Τῶν δὲ 20
κεραυνῶν οἱ μὲν αἰθαλώδεις ψολόεντες λέγονται, οἱ δὲ τα-
χέως διάττοντες [p] ἀργῆτες, ἑλικίαι δὲ οἱ γραμμοειδῶς φε-
ρόμενοι, σκηπτοὶ δὲ ὅσοι κατασκήπτουσιν εἴς τι. Συλλή- 21
βδην δὲ τῶν ἐν [q] ἀέρι φαντασμάτων τὰ μέν ἐστι κατ' ἔμ-
φασιν τὰ δὲ καθ' ὑπόστασιν, κατ' ἔμφασιν μὲν ἴριδες καὶ
ῥάβδοι καὶ τὰ τοιαῦτα, καθ' ὑπόστασιν δὲ σέλα [r] τε καὶ
[s] διάττοντες καὶ κομῆται καὶ τὰ [t] τούτοις παραπλήσια. Ἶρις 22
μὲν οὖν ἐστὶν ἔμφασις ἡλίου τμήματος ἢ σελήνης, ἐν νέφει
νοτερῷ καὶ κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν ὡς [w] ἐν κα-
τόπτρῳ θεωρουμένη κατὰ κύκλου περιφέρειαν. Ῥάβδος δ'

[c] ἡγούμενον O. [d] εἰληχθὲν Q. [e] ῥηγνύον βιαίως P. [f] ἀπειργάσατο μέγαν P. [g] βροντὴ plerique. [h] λέγεται P. [i] πνεῦμα om. R. [k] ὕστερον δὲ γενόμενον O.R. [l] τῶν ὄντων ᾖ Q. [m] δὲ τὸ] δὴ τὸ O. [n] ἀναστράψαν O. [o] σφοδρότερον δὲ ἄλως δὲ καὶ O. [p] ἀργῆται P. [q] ἀερίῳ Q, αἰθέρι O.P.R. [r] τε καὶ om. P. [s] διάττοντα Q. [t] τούτων O. [w] ἐν om. O.

ἐστὶν ἴριδος ἔμφασις εὐθεῖα. ʼΆλως δ' ἐστὶν [x] ἔμφασις
λαμπρότητος ἄστρου [y] περίαυγος· διαφέρει δὲ ἴριδος, ὅτι ἡ
μὲν ἶρις ἐξ ἐναντίας φαίνεται [z] ἡλίου καὶ σελήνης, ἡ δὲ ἅλως
23 κύκλῳ παντὸς ἄστρου. Σέλας δ' ἐστὶ πυρὸς ἀθρόου ἔξαψις
ἐν ἀέρι. Τῶν δὲ σελάων [a] ἃ μὲν [b] ἀκοντίζεται ἃ δὲ στηρί-
ζεται. ʽΟ μὲν οὖν ἐξακοντισμός ἐστι πυρὸς γένεσις ἐκ πα-
ρατρίψεως, [c] ἐν ἀέρι φερομένου ταχέως καὶ φαντασίαν μή-
κους [d] ἐμφαίνοντος διὰ τὸ τάχος· ὁ δὲ στηριγμός ἐστι χωρὶς
φορᾶς προμήκης ἔκτασις καὶ οἷον ἄστρου ῥύσις· πλατυνο-
24 μένη δὲ κατὰ θάτερον κομήτης καλεῖται. Πολλάκις δὲ τῶν
σελάων τὰ μὲν ἐπιμένει πλείονα χρόνον, τὰ δὲ παραχρῆμα
σβέννυται. Πολλαὶ δὲ καὶ [e] ἄλλαι [f] φαντασμάτων ἰδέαι
θεωροῦνται, λαμπάδες τε καλούμεναι καὶ δοκίδες καὶ πίθοι
καὶ βόθυνοι, κατὰ τὴν πρὸς ταῦτα ὁμοιότητα ὧδε προσαγο-
25 ρευθεῖσαι. Καὶ τὰ μὲν τούτων ἑσπέρια τὰ δὲ ἑῷα τὰ δὲ
[g] ἀμφιφαῆ θεωρεῖται, σπανίως δὲ βόρεια καὶ νότια. Πάντα
δὲ ἀβέβαια· οὐδέποτε γάρ τι τούτων ἀεὶ φανερὸν ἱστόρηται
κατεστηριγμένον. Τὰ μὲν [h] τοίνυν ἀέρια τοιαῦτα.
26 ʽΕμπεριέχει δὲ καὶ [i] ἡ γῆ πολλὰς ἐν αὐτῇ, καθάπερ
ὕδατος, οὕτω καὶ πνεύματος καὶ πυρὸς πηγάς. Τούτων δὲ
αἱ μὲν [k] ὑπὸ γῆν εἰσὶν ἀόρατοι, πολλαὶ δὲ ἀναπνοὰς ἔχουσι
καὶ ἀναφυσήσεις, ὥσπερ Λιπάρα τε καὶ Αἴτνη καὶ τὰ [l] ἐν
Αἰόλου νήσοις· αἱ δὲ καὶ ῥέουσι [m] πολλάκις [n] ποταμοῦ δίκην,
27 καὶ [o] μύδρους [p] ἀναρριπτοῦσι διαπύρους. ʼΈνιαι δὲ ὑπὸ γῆν
οὖσαι πλησίον πηγαίων ὑδάτων θερμαίνουσι ταῦτα, καὶ τὰ
μὲν χλιαρὰ τῶν ναμάτων ἀνιᾶσι, τὰ δὲ ὑπέρζεστα, τὰ δὲ εὖ
28 ἔχοντα κράσεως. ʽΟμοίως δὲ [q] καὶ τῶν πνευμάτων πολλὰ
πολλαχοῦ [r] γῆς στόμια ἀνέῳκται, ὧν τὰ μὲν ἐνθουσιᾶν ποιεῖ

[x] λαμπρότατος περίαυγος ἔμφασις ἄστρου P. [y] περίαυτος Q. [z] ἡλίου τε καὶ Q. [a] ἃ μὲν—φερομένου om. pr. O: ἃ—ἃ] τὰ—τὰ rc. O. [b] ἀκοντίζονται ἃ δὲ στηρίζονται Q. [c] ἐν ἀέρι om. Q.R. [d] ἐκφαίνοντος Q. [e] ἄλλων O. [f] φασμάτων R. [g] ἀμφιφανῆ P.R. [h] τοίνυν] τοι O. [i] πολλὰς ἡ γῆ Q. [k] εἰσὶν ὑπὸ γῆν O. [l] ἐν ταῖς αἰόλου O. [m] πολλάκις om. O. [n] ποταμῶν Q. [o] μύδρας Q. [p] ἀναρρίπτουσι O, ἀναρριποῦσι pr. P. [q] καὶ om R. [r] στόμια γῆς Q.R.

τοὺς ἐμπελάζοντας, τὰ δὲ ἀτροφεῖν, τὰ δὲ χρησμῳδεῖν,
ὥσπερ τὰ ἐν Δελφοῖς [s] καὶ Λεβαδίᾳ· τὰ δὲ καὶ παντάπασιν
ἀναιρεῖ, καθάπερ [t] τὸ ἐν Φρυγίᾳ. Πολλάκις δὲ καὶ [v] συγ- 29
γενὲς πνεῦμα εὔκρατον ἐν γῇ παρεξωσθὲν εἰς [w] μυχίους [x] σή-
ραγγας αὐτῆς, ἔξεδρον [y] γενόμενον ἐκ τῶν οἰκείων τόπων,
πολλὰ μέρη συνεκράδανεν. Πολλάκις δὲ πολὺ γενόμενον
[z] ἔξωθεν [a] ἐγκατειλήθη τοῖς ταύτης κοιλώμασι, καὶ ἀποκλει-
σθὲν ἐξόδου μετὰ βίας αὐτὴν συνετίναξε, ζητοῦν ἔξοδον ἑαυ-
τῷ, καὶ ἀπειργάσατο [b] πάθος τοῦτο ὃ καλεῖν εἰώθαμεν
σεισμόν. Τῶν δὲ σεισμῶν οἱ μὲν εἰς πλάγια σείοντες κατ' 30
[c] ὀξείας γωνίας ἐπικλίνται καλοῦνται, οἱ δὲ ἄνω ῥιπτοῦντες
καὶ κάτω κατ' ὀρθὰς γωνίας βράσται, [d] οἱ δὲ συνιζήσεις
ποιοῦντες εἰς τὰ κοῖλα χασματίαι· οἱ δὲ χάσματα ἀνοίγον-
τες [e] καὶ γῆν ἀναρρηγνύντες ῥῆκται καλοῦνται. Τούτων δὲ 31
οἱ μὲν καὶ πνεῦμα προσαναβάλλουσιν, οἱ δὲ πέτρας, οἱ δὲ
πηλόν, οἱ δὲ πηγὰς φαίνουσι τὰς πρότερον οὐκ οὔσας. Τι-
νὲς δὲ ἀνατρέποντες κατὰ μίαν πρόωσιν, οὓς καλοῦσιν ὤστας.
Οἱ δὲ [f] ἀναπάλλοντες καὶ ταῖς εἰς ἑκάτερον [g] ἐγκλίσεσι καὶ
ἀναπάλσεσι διορθοῦντες ἀεὶ τὸ σειόμενον παλματίαι λέγον-
ται, τρόμῳ πάθος ὅμοιον ἀπεργαζόμενοι. Γίνονται [h] δὲ 32
καὶ μυκητίαι σεισμοί, σείοντες τὴν γῆν μετὰ βρόμου. Πολ-
λάκις δὲ χωρὶς σεισμοῦ γίνεται μύκημα γῆς, ὅταν [i] τὸ πνεῦμα
σείειν μὲν μὴ [k] ᾖ αὔταρκες, ἐνειλούμενον δ' ἐν αὐτῇ κόπτηται
μετὰ ῥοθίου βίας. Συσσωματοποιεῖται δὲ τὰ εἰσιόντα πνεύ-
ματα καὶ ὑπὸ τῶν ἐν τῇ γῇ ὑγρῶν κεκρυμμένων.

[l] Τὰ δὲ ἀνάλογον συμπίπτει τούτοις καὶ ἐν θαλάσσῃ· 33
χάσματά τε γὰρ γίνεται θαλάσσης καὶ ἀναχωρήματα πολ-
λάκις, καὶ κυμάτων ἐπιδρομαί, ποτὲ μὲν [m] ἀντανακοπὴν
ἔχουσαι, ποτὲ δὲ πρόωσιν [n] μόνον, ὥσπερ ἱστορεῖται περὶ

[s] καὶ τὰ ἐν λ. Q. [t] τὰ P. [v] ἀσυγγενὲς P.Q. [w] μυχοὺς P. [x] σύ-ριγγας Q. [y] γινόμενον Q. [z] ἔσωθεν P. [a] ἐγκατελείφθη Q. [b] τοῦτο τὸ πάθος P. [c] ὀξεῖαν γωνίαν P. [d] οἱ δὲ—χασματίαι om. Q. [e] καὶ τὴν γῆν O. [f] ἀνταποπάλλοντες P.R, ἀνταποβάλλοντες O. [g] ἐκκλίσεσι P. [h] δὲ om. R. [i] τὸ om. O. [k] ᾖ] ὂν O. [l] τὸ Q. [m] ἀνακοπὴν P, ἀνα-σκοπεῖν pr. O. [n] μόνην Q.

34 Ἑλίκην τε καὶ [o] Βοῦραν. Πολλάκις δὲ καὶ ἀναφυσήματα
γίνεται πυρὸς ἐν τῇ [p] θαλάσσῃ, καὶ πηγῶν ἀναβλύσεις καὶ
ποταμῶν ἐκβολαὶ καὶ δένδρων ἐκφύσεις, ῥοαί τε καὶ δῖναι
ταῖς τῶν πνευμάτων ἀνάλογον, αἱ μὲν ἐν μέσοις πελάγεσιν,
35 αἱ δὲ κατὰ τοὺς εὐρίπους τε καὶ πορθμούς. Πολλαί τε
ἀμπώτεις λέγονται καὶ κυμάτων ἄρσεις συμπεριοδεύειν ἀεὶ
τῇ σελήνῃ κατά τινας ὡρισμένους καιρούς. Ὡς δὲ τὸ πᾶν
εἰπεῖν, τῶν στοιχείων ἐγκεκραμένων ἀλλήλοις, ἐν ἀέρι τε καὶ
γῇ καὶ θαλάσσῃ κατὰ τὸ εἰκὸς αἱ τῶν παθῶν ὁμοιότητες
συνίστανται, τοῖς μὲν ἐπὶ μέρους φθορὰς καὶ γενέσεις φέ-
ρουσαι, τὸ δὲ σύμπαν ἀνώλεθρόν [q] τε καὶ [r] ἀγένητον φυλάτ-
τουσαι.

5 Καίτοι γέ τις ἐθαύμασε πῶς ποτέ, [s] εἰ ἐκ τῶν ἐναντίων
ἀρχῶν [t] συνέστηκεν [v] ὁ κόσμος, λέγω δὴ ξηρῶν τε καὶ [w] ὑγρῶν
ψυχρῶν τε καὶ θερμῶν, οὐ πάλαι διέφθαρται καὶ ἀπόλωλεν,
ὡς κἂν εἰ πόλιν τινὲς θαυμάζοιεν, ὅπως [x] διαμένει συνεστη-
κυῖα ἐκ τῶν [y] ἐναντίων ἐθνῶν, πενήτων λέγω καὶ πλουσίων,
[z] νέων γερόντων, ἀσθενῶν ἰσχυρῶν, [a] πονηρῶν χρηστῶν.
2 Ἀγνοοῦσι δὲ ὅτι τοῦτ᾽ ἦν πολιτικῆς ὁμονοίας τὸ θαυμασιώ-
τατον, λέγω [b] δὲ ὅτι ἐκ πολλῶν μίαν καὶ ὁμοίαν [c] ἐξ ἀνο-
μοίων [d] ἀποτελεῖ διάθεσιν, [e] ὑποδεχομένη [f] πᾶσαν καὶ φύσιν
3 καὶ τύχην. Ἴσως δὲ [g] καὶ τῶν ἐναντίων ἡ φύσις γλίχεται,
καὶ ἐκ τούτων [h] ἀποτελεῖ τὸ σύμφωνον, οὐκ ἐκ τῶν ὁμοίων,
ὥσπερ ἀμέλει τὸ ἄρρεν συνήγαγε πρὸς τὸ θῆλυ καὶ οὐχ
ἑκάτερον πρὸς τὸ ὁμόφυλον, [i] καὶ τὴν πρώτην ὁμόνοιαν διὰ
4 τῶν ἐναντίων συνῆψεν, οὐ διὰ τῶν ὁμοίων. Ἔοικε δὲ καὶ ἡ
τέχνη τὴν φύσιν μιμουμένη τοῦτο ποιεῖν· ζωγραφία μὲν γὰρ
λευκῶν τε καὶ μελάνων ὠχρῶν τε καὶ ἐρυθρῶν χρωμάτων

[o] βοῶπιν Q. [p] θαλάττῃ R. [q] τε καὶ ἀγ. om. O. [r] ἀγέννητον P.Q.
[s] εἰ om. O.Q. et fortasse R. [t] συνεστηκὼς O.Q.R. [v] ὁ om. P.
[w] ὑγρῶν καὶ ψ. P. [x] διαμένῃ P. [y] ἐναντιωτάτων Q. [z] νέων καὶ γ. P.
[a] πονηρῶν καὶ χρ. R. [b] δὲ] οἷον P. [c] ἐξ ἀνομ. ἀποτ. διάθ. om. R. et
pr. O. [d] ἀποτελεῖν Q. [e] ὑποδεχομένην O.R, ὑποδέχεται P. [f] πᾶσαν
καὶ] δὲ πᾶσαν P, πᾶσαν O.R. [g] καὶ post δὲ om. O.P.R. [h] libri
ἀποτελεῖν. [i] καὶ τὴν] καὐτὰ pr. P, καὶ τὰ corr.

ἐγκερασαμένη φύσεις τὰς εἰκόνας τοῖς προηγουμένοις ἀπε-
τέλεσε [k] συμφώνους, μουσικὴ δὲ ὀξεῖς ἅμα καὶ βαρεῖς [l] μα-
κρούς τε καὶ βραχεῖς φθόγγους μίξασα ἐν διαφόροις φωναῖς
μίαν ἀπετέλεσεν ἁρμονίαν, γραμματικὴ δὲ ἐκ φωνηέντων καὶ
[m] ἀφώνων γραμμάτων κρᾶσιν ποιησαμένη τὴν ὅλην τέχνην
ἀπ' αὐτῶν συνεστήσατο. Ταὐτὸ δὲ [n] τοῦτο ἦν καὶ τὸ παρὰ 5
τῷ σκοτεινῷ λεγόμενον Ἡρακλείτῳ "[o] συνάψειας [p] οὖλα καὶ
οὐχὶ οὖλα, συμφερόμενον καὶ διαφερόμενον, συνᾷδον [q] καὶ
διᾷδον· καὶ ἐκ πάντων ἕν, καὶ ἐξ ἑνὸς πάντα."

Οὕτως οὖν καὶ τὴν τῶν ὅλων σύστασιν, οὐρανοῦ λέγω καὶ 6
γῆς τοῦ τε σύμπαντος κόσμου, διὰ τῆς τῶν [r] ἐναντιωτάτων
[s] ἀρχῶν κράσεως μία διεκόσμησεν [t] ἁρμονία· ξηρὸν γὰρ
ὑγρῷ, θερμὸν δὲ ψυχρῷ βαρεῖ τε κοῦφον [v] μιγέν, καὶ ὀρθὸν
περιφερεῖ, γῆν τε πᾶσαν καὶ θάλασσαν αἰθέρα τε καὶ ἥλιον
καὶ σελήνην καὶ τὸν ὅλον οὐρανὸν διεκόσμησε μία ἡ διὰ πάν-
των διήκουσα δύναμις, ἐκ τῶν ἀμίκτων καὶ ἑτεροίων, ἀέρος
τε καὶ γῆς [w] καὶ πυρὸς καὶ ὕδατος, τὸν σύμπαντα κόσμον
δημιουργήσασα καὶ μιᾷ [x] διαλαβοῦσα σφαίρας ἐπιφανείᾳ,
τάς τε ἐναντιωτάτας ἐν αὐτῷ φύσεις ἀλλήλαις ἀναγκάσασα
ὁμολογῆσαι, [y] καὶ ἐκ τούτων μηχανησαμένη [z] τῷ παντὶ σω-
τηρίαν. Αἰτία δὲ ταύτης [a] μὲν ἡ τῶν στοιχείων ὁμολογία, 7
τῆς δὲ ὁμολογίας ἡ ἰσομοιρία καὶ τὸ μηδὲν αὐτῶν πλέον
[b] ἕτερον [c] ἑτέρου δύνασθαι· τὴν γὰρ ἴσην ἀντίστασιν ἔχει τὰ
βαρέα πρὸς τὰ κοῦφα καὶ τὰ θερμὰ πρὸς τὰ θάτερα, τῆς
φύσεως ἐπὶ τῶν μειζόνων διδασκούσης ὅτι τὸ ἴσον σωστικόν
[d] πώς ἐστιν ὁμονοίας, ἡ δὲ ὁμόνοια τοῦ πάντων γενετῆρος
[e] καὶ περικαλλεστάτου κόσμου. Τίς γὰρ ἂν εἴη φύσις τοῦδε 8
κρείττων; Ἣν γὰρ ἂν [f] εἴποι τις, μέρος [g] ἐστὶν αὐτοῦ. Τό

[k] συμφώνως O.P.R. [l] βραχεῖς τε καὶ μακροὺς P. [m] συμφώνων Q. [n] τοῦτο om. O. [o] συνάψας Q, συνάψιες O.R, συλλήψιες P. [p] ὅλα καὶ οὐχ ὅλα P. οὐχ etiam R, οὐκ O. [q] καὶ ante διᾷδον om. R. [r] ἐναντίων P. [s] κράσεως ἀρχῶν O.R, κράσεων καὶ ἀρχῶν Q. [t] ἁρμονίους Q. [v] καὶ ὀρθὸν περιφερεῖ μιγὲν P. [w] καὶ ante πυρὸς om. O. [x] διαβαλοῦσα O.R. [y] καὶ om. P. [z] τὴν πάντων Q. [a] μὲν om. P. [b] ἕτερον om. O.P.R. [c] δύνασθαι ἑτέρου P. [d] πως] περ O. [e] καὶ om. P. [f] εἴπῃ P.Q. [g] αὐτοῦ ἐστὶ P.

τε καλὸν πᾶν ἐπώνυμόν ἐστι τούτου, καὶ τὸ [h] τεταγμένον, [i] ἀπὸ τοῦ κόσμου λεγόμενον κεκοσμῆσθαι. Τίς δὲ τῶν ἐπὶ μέρους δύναιτ' ἂν ἐξισωθῆναι τῇ κατ' [k] οὐρανὸν τάξει [l] τε καὶ φορᾷ [m] τῶν ἄστρων ἡλίου τε καὶ σελήνης, κινουμένων ἐν ἀκρι-
9 βεστάτοις μέτροις ἐξ αἰῶνος εἰς ἕτερον αἰῶνα. Τίς δὲ γένοιτ' ἂν ἀψεύδεια τοιάδε, ἥν τινα φυλάττουσιν αἱ καλαὶ καὶ γόνιμοι τῶν ὅλων ὧραι, θέρη τε καὶ χειμῶνας ἐπάγουσαι [n] τεταγμένως, ἡμέρας τε καὶ νύκτας, εἰς μηνὸς [o] ἀποτέλεσμα καὶ ἐνιαυτοῦ; Καὶ μὴν μεγέθει μὲν [p] ὁ αὐτὸς παννπέρτατος, κινήσει δὲ [q] ὀξύτατος, λαμπρότητι δὲ [r] εὐαυγέστατος, δυνάμει
10 δὲ ἀγήρως τε καὶ ἄφθαρτος. Οὗτος ἐναλίων ζώων καὶ πεζῶν καὶ ἀερίων φύσεις ἐχώρισε καὶ βίους ἐμέτρησε ταῖς ἑαυτοῦ κινήσεσιν. Ἐκ τούτου πάντα [s] ἐμπνεῖ τε καὶ ψυχὴν ἴσχει τὰ ζῷα. Τούτου καὶ αἱ παράδοξοι νεοχμώσεις τεταγμένως ἀποτελοῦνται, [t] συναραττόντων μὲν ἀνέμων παντοίων, πιπτόντων δὲ ἐξ οὐρανοῦ κεραυνῶν, [v] ῥηγνυμένων δὲ χειμώνων ἐξαισίων. Διὰ δὲ τούτων τὸ νοτερὸν ἐκπιεζόμενον τό τε πυρῶδες διαπνεόμενον εἰς ὁμόνοιαν ἄγει τὸ πᾶν καὶ καθί-
11 στησιν. Ἥ τε γῆ φυτοῖς κομῶσα παντοδαποῖς, νάμασί τε [w] περιβλύζουσα καὶ περιοχουμένη ζῴοις, κατὰ καιρὸν ἐκφύουσά τε πάντα καὶ τρέφουσα καὶ δεχομένη, μυρίας τε φέρουσα ἰδέας καὶ πάθη, τὴν ἀγήρω φύσιν ὁμοίως τηρεῖ, καίτοι καὶ σεισμοῖς τινασσομένη καὶ [x] πλημυρίσιν [y] ἐπικλυζομένη,
12 πυρκαϊαῖς τε κατὰ μέρος φλογιζομένη. Ταῦτα δὲ πάντα ἔοικεν αὐτῇ πρὸς ἀγαθοῦ γινόμενα τὴν δι' αἰῶνος σωτηρίαν παρέχειν· σειομένης τε γὰρ διεξάττουσιν αἱ τῶν πνευμάτων παρεμπτώσεις κατὰ [z] τὰ ῥήγματα τὰς [a] ἀναπνοὰς ἴσχουσαι, καθὼς [b] ἄνω λέλεκται, καθαιρομένη τε ὄμβροις [c] ἀποκλύζεται

[h] τεταραγμένον O. [i] ἀπὸ om. O. [k] οὐρανοῦ O.P. [l] τε om. O. [m] τῶν om. P. [n] τεταγμένας Q. [o] καὶ ἐνιαυτοῦ ἀποτέλεσμα O. [p] ὁ αὐτὸς] οὗτος Q. [q] ὀξύτατος, λαμπρ. δὲ om. Q. [r] εὐαγέστατος P. et fortassé R, διαυγέστατος O. [s] ἐμπνεῖται καὶ O.R. [t] συνδραττόντων Q. [v] χειμώνων δὲ ῥηγνυμένων O. [w] περικλύζουσα O. [x] πλημμυρίσιν O.P.R, πλημυριζομένη Q. [y] ἐπικλυζομένη—φλογιζομένη om. Q. [z] τὰ om. O. [a] διαπνοὰς P. [b] ἀνωτέρω O. [c] περικλύζεται P.

πάντα [d] τὰ νοσώδη, περιπνεομένη δὲ αὔραις τά τε [e] ὑπ' αὐτὴν
καὶ τὰ ὑπὲρ αὐτὴν εἰλικρινεῖται. Καὶ μὴν αἱ φλόγες μὲν τὸ 13
παγετῶδες [f] πιαίνουσιν, οἱ πάγοι δὲ τὰς φλόγας ἀνιᾶσιν.
Καὶ τῶν ἐπὶ μέρους τὰ μὲν γίνεται, τὰ δὲ ἀκμάζει, τὰ δὲ
φθείρεται· καὶ αἱ μὲν γενέσεις [g] ἐπαναστέλλουσι τὰς φθοράς,
αἱ δὲ φθοραὶ κουφίζουσι τὰς γενέσεις. Μία δὲ ἐκ πάντων 14
περαινομένη σωτηρία [h] διὰ τέλους, [i] ἀντιπεριισταμένων ἀλλή-
λοις καὶ τοτὲ μὲν κρατούντων τοτὲ δὲ κρατουμένων, φυλάττει
τὸ σύμπαν ἄφθαρτον δι' αἰῶνος.

Λοιπὸν [k] δὲ [l] δὴ περὶ τῆς [m] τῶν ὅλων συνεκτικῆς [n] αἰτίας 6
κεφαλαιωδῶς εἰπεῖν, ὃν τρόπον καὶ περὶ τῶν ἄλλων· πλημ-
μελὲς γὰρ περὶ κόσμου λέγοντας, εἰ καὶ μὴ δι' ἀκριβείας,
ἀλλ' οὖν γε ὡς [o] εἰς τυπώδη μάθησιν, τὸ τοῦ κόσμου κυριώ-
τατον παραλιπεῖν. Ἀρχαῖος μὲν οὖν [p] τις λόγος καὶ πά- 2
τριός ἐστι πᾶσιν ἀνθρώποις ὡς ἐκ [q] θεοῦ πάντα καὶ διὰ [r] θεοῦ
ἡμῖν συνέστηκεν, οὐδεμία δὲ φύσις αὐτὴ καθ' ἑαυτὴν [s] ἐστιν
αὐτάρκης, ἐρημωθεῖσα τῆς ἐκ τούτου σωτηρίας. Διὸ καὶ τῶν 3
παλαιῶν εἰπεῖν τινὲς προήχθησαν ὅτι [t] πάντα ταῦτά ἐστι
θεῶν [v] πλέα [w] τὰ καὶ δι' ὀφθαλμῶν [x] ἰνδαλλόμενα ἡμῖν καὶ δι'
ἀκοῆς καὶ πάσης αἰσθήσεως, τῇ μὲν θείᾳ δυνάμει πρέποντα
καταβαλλόμενοι λόγον, οὐ μὴν τῇ γε οὐσίᾳ. Σωτὴρ μὲν 4
[y] γὰρ [z] ὄντως [a] ἁπάντων ἐστὶ καὶ [b] γενέτωρ τῶν ὁπωσδήποτε
κατὰ τόνδε τὸν κόσμον συντελουμένων ὁ θεός, οὐ μὴν αὐ-
τουργοῦ καὶ ἐπιπόνου ζῴου κάματον ὑπομένων, ἀλλὰ δυνάμει
[c] χρώμενος ἀτρύτῳ, δι' ἧς καὶ τῶν πόρρω δοκούντων εἶναι
περιγίνεται. Τὴν μὲν οὖν ἀνωτάτω καὶ πρώτην ἕδραν αὐτὸς 5
ἔλαχεν, ὕπατός τε διὰ τοῦτο ὠνόμασται, καὶ κατὰ τὸν ποιη-
τὴν ἀκροτάτῃ κορυφῇ τοῦ σύμπαντος ἐγκαθιδρυμένος οὐ-

[d] τὰ om. P. [e] ὑπ' αὐτὸν Q, ὑπ' αὐτῶν O. [f] ἠπιαίνουσιν Q.
[g] ἐπανασώζουσι P. [h] διατελεῖ P. [i] περιϊσταμένων O, τὰ περιϊστα-
μένων P. [k] δὲ om. Q. [l] δὴ] δεῖ O.P. [m] συνεκτικῆς τῶν ὅλων O.
[n] αἰτίας] οὐσίας Q. [o] εἰς om. O.Q. [p] τις om. P. [q] θεοῦ τὰ πάντα P.
[r] θεὸν Q. [s] ἐστιν om. P. [t] ταῦτα πάντα P. [v] ἔμπλεα O.Q. [w] τὰ]
τε O Q.R. [x] ἰδαλλόμενα P. [y] γὰρ om. O. [z] οὕτως O, om. P.
[a] πάντων P. [b] γενέτης τῶν ὄντων δὴ τούτων τῶν κατὰ Q. [c] χρώμενοι
ἀρρήτῳ Q.

ρανοῦ· μάλιστα δέ πως αὐτοῦ τῆς δυνάμεως ἀπολαύει τὸ
πλησίον [d] αὐτοῦ σῶμα, καὶ ἔπειτα τὸ μετ' ἐκεῖνο, καὶ ἐφεξῆς
6 οὕτως [e] ἄχρι τῶν καθ' ἡμᾶς [f] τόπων. Διὸ γῆ τε καὶ τὰ ἐπὶ
[g] τῆς γῆς ἔοικεν ἐν ἀποστάσει πλείστῃ τῆς ἐκ θεοῦ ὄντα
ὠφελείας ἀσθενῆ καὶ [h] ἀκατάλληλα εἶναι καὶ πολλῆς μεστὰ
ταραχῆς· οὐ μὴν [i] ἀλλὰ καὶ καθ' ὅσον ἐπὶ πᾶν [k] διικνεῖσθαι
πέφυκεν τὸ θεῖον, καὶ τὰ καθ' ἡμᾶς ὁμοίως συμβαίνει· τά τε
ὑπὲρ ἡμᾶς κατὰ τὸ ἐγγιόν τε καὶ πορρωτέρω [l] θεοῦ εἶναι
7 [m] μᾶλλόν τε καὶ ἧττον ὠφελείας μεταλαμβάνοντα. Κρεῖτ-
τον οὖν ὑπολαβεῖν, ὃ καὶ πρέπον ἐστὶ καὶ θεῷ μάλιστα
ἁρμόζον, ὡς ἡ ἐν οὐρανῷ δύναμις ἱδρυμένη καὶ τοῖς πλεῖστον
ἀφεστηκόσιν, ὡς ἔνι γε εἰπεῖν, καὶ σύμπασιν [n] αἰτία γίνεται
σωτηρίας, μᾶλλον ἢ ὡς διήκουσα καὶ φοιτῶσα ἔνθα μὴ καλὸν
8 μηδὲ εὔσχημον [o] αὐτουργεῖ τὰ [p] ἐπὶ γῆς. Τοῦτο μὲν γὰρ
οὐδὲ ἀνθρώπων ἡγεμόσιν ἁρμόττει, παντὶ καὶ τῷ τυχόντι
ἐφίστασθαι [q] ἔργῳ, οἷον στρατιᾶς [r] ἄρχοντι ἢ πόλεως ἢ οἴκου
καὶ εἰ χρεὼν στρωματόδεσμον εἴη δῆσαι, καὶ εἴ τι [s] φαυλό-
τερον ἀποτελεῖν ἔργον, ὃ ἐπὶ τοῦ μεγάλου βασιλέως οὐκ ἂν
τὸ τυχὸν ἀνδράποδον ποιήσειεν· ἀλλ' οἷον ἱστορεῖτο Καμ-
βύσου Ξέρξου τε καὶ [t] Δαρείου πρόσχημα, εἰς [v] σεμνότητος
9 καὶ ὑπεροχῆς ὕψος μεγαλοπρεπῶς διεκεκόσμητο. Αὐτὸς μὲν
γάρ, [w] ὡς λόγος, ἵδρυτο ἐν [x] Σούσοις ἢ Ἐκβατάνοις, παντὶ
ἀόρατος, θαυμαστὸν ἐπέχων βασίλειον οἶκον καὶ περίβολον
[y] χρυσῷ καὶ ἠλέκτρῳ καὶ ἐλέφαντι ἀστράπτοντα· πυλῶνες δὲ
πολλοὶ καὶ συνεχεῖς, πρόθυρά τε συχνοῖς εἰργόμενα σταδίοις
ἀπ' ἀλλήλων θύραις τε χαλκαῖς καὶ τείχεσι μεγάλοις ὠχύ-
ρωτο· ἔξω δὲ τούτων ἄνδρες οἱ πρῶτοι καὶ δοκιμώτατοι διε-
κεκόσμηντο, οἱ μὲν ἀμφ' [z] αὐτὸν βασιλέα, δορυφόροι τε καὶ
θεράποντες, οἱ δὲ ἑκάστου περιβόλου φύλακες, πυλωροί τε

[d] αὐτοῦ] ἀεὶ Q.R. [e] ἄχρι] ἔχει O. [f] τόπων] desinit pr. R. [g] τῆς om. O. [h] κατάλληλα Q. [i] ἀλλὰ om. O. [k] διϊκνεῖται Q. [l] εἶναι θεοῦ O. [m] libri μᾶλλον δὲ. [n] αἴτιος P. [o] libri αὐτουργεῖν. [p] ἐπὶ τῆς γ. O. [q] ἔργῳ λέγω δὲ οἷον Q. [r] ἄρχοντος P. [s] φαῦλον O. [t] δαρείου τὸ πρ. O.Q. [v] σεμνότητα O. [w] ὡς ὁ λόγος O.Q. [x] σούτοις ἢ ἐν βατάνοις P. [y] χρυσίῳ P. [z] αὐτὸν τὸν β. O.

καὶ ὠτακουσταὶ λεγόμενοι, ὡς ἂν ὁ βασιλεὺς αὐτὸς δεσπότης
καὶ θεὸς ὀνομαζόμενος πάντα μὲν βλέποι, πάντα δ' ἀκούοι.
Χωρὶς δὲ τούτων ἄλλοι [a] καθεστήκεσαν προσόδων [b] ταμίαι, 10
καὶ στρατηγοὶ πολέμων καὶ κυνηγεσίων, δώρων τε ἀποδεκτῆ-
ρες, τῶν τε λοιπῶν ἔργων ἕκαστοι κατὰ τὰς [c] χρείας ἐπι-
μεληταί. Τὴν δὲ σύμπασαν ἀρχὴν τῆς Ἀσίας, περατου- 11
μένην Ἑλλησπόντῳ [d] μὲν ἐκ τῶν πρὸς ἑσπέραν μερῶν, [e] Ἰνδῷ
δὲ ἐκ τῶν πρὸς [f] ἕω, [g] διειλήφεσαν κατὰ ἔθνη στρατηγοὶ καὶ
σατράπαι καὶ βασιλεῖς δοῦλοι τοῦ μεγάλου βασιλέως, ἡμε-
ροδρόμοι τε καὶ σκοποὶ καὶ [h] ἀγγελιαφόροι φρυκτωριῶν τε
ἐποπτῆρες. Τοσοῦτος δὲ ἦν ὁ κόσμος, καὶ μάλιστα τῶν 12
φρυκτωριῶν, κατὰ διαδοχὰς [i] πυρσευουσῶν [k] ἀλλήλαις ἐκ πε-
ράτων τῆς ἀρχῆς μέχρι Σούσων καὶ Ἐκβατάνων, ὥστε τὸν
βασιλέα γινώσκειν αὐθημερὸν πάντα τὰ ἐν τῇ Ἀσίᾳ [l] και-
νουργούμενα. Νομιστέον [m] δὴ τὴν τοῦ μεγάλου βασιλέως 13
ὑπεροχὴν πρὸς τὴν τοῦ τὸν κόσμον ἐπέχοντος θεοῦ [n] τοσοῦ-
τον καταδεεστέραν ὅσον τῆς ἐκείνου τὴν τοῦ φαυλοτάτου τε
καὶ ἀσθενεστάτου ζῴου, ὥστε εἴπερ [o] ἄσεμνον ἦν [p] αὐτῷ αὐτὸν
δοκεῖν Ξέρξην αὐτουργεῖν ἅπαντα καὶ [q] ἐπιτελεῖν ἃ βούλοιτο
καὶ ἐφιστάμενον διοικεῖν, πολὺ μᾶλλον ἀπρεπὲς ἂν [r] εἴη θεῷ·
σεμνότερον δὲ καὶ πρεπωδέστερον αὐτὸν μὲν ἐπὶ τῆς ἀνωτάτω
[s] χώρας ἱδρῦσθαι, τὴν δὲ δύναμιν διὰ τοῦ σύμπαντος κόσμου
διήκουσαν ἥλιόν τε κινεῖν καὶ σελήνην, καὶ τὸν πάντα οὐρανὸν
περιάγειν, αἴτιόν [t] τε [v] γίνεσθαι [w] τοῖς ἐπὶ [x] τῆς γῆς σωτη-
ρίας. [y] Οὐδὲν γὰρ ἐπιτεχνήσεως [z] αὐτῷ δεῖ καὶ ὑπηρεσίας 14
τῆς παρ' ἑτέρων, ὥσπερ τοῖς παρ' ἡμῖν ἄρχουσι τῆς [a] πολυ-
χειρίας διὰ τὴν ἀσθένειαν· ἀλλὰ τοῦτο ἦν τὸ θειότατον, τὸ
μετὰ ῥᾳστώνης καὶ ἁπλῆς κινήσεως παντοδαπὰς ἀποτελεῖν

[a] καθειστήκεσαν O.Q. [b] ταμιεῖαι Q. [c] χεῖρας P. [d] μὲν om. P. [e] ἰνδῶν Q. [f] ἑώαν O.P. [g] διειλ. δὲ κατὰ Q. [h] ἀγγ. καὶ φύλακες φρ. P. [i] πυρσευόντων O. [k] libri ἀλλήλοις. [l] κενουργούμενα Q. [m] δὲ P.Q. [n] τοσοῦτον δὲ κατ. O. [o] ἄσμενον Q. [p] αὐτὸν αὐτῷ O.Q. [q] διατελεῖν O.P. [r] εἴη τοῦτο θεῷ Q. [s] χωρίας P. [t] τε om. O. [v] γενέσθαι O. [w] τῶν Q, τῆς O. [x] τῆς om. O. [y] οὐδὲ P. [z] αὐτῷ om. O.Q. [a] πολυχερείας O.

ἰδέας, ὥσπερ ἀμέλει δρῶσιν οἱ [b] μεγαλότεχνοι, διὰ μιᾶς ὀργάνου [c] σχαστηρίας πολλὰς καὶ ποικίλας ἐνεργείας ἀπο-
15 τελοῦντες. Ὁμοίως δὲ [d] καὶ οἱ νευροσπάσται μίαν [e] μήρινθον ἐπισπασάμενοι ποιοῦσι καὶ αὐχένα κινεῖσθαι καὶ χεῖρα τοῦ ζῴου [f] καὶ ὦμον καὶ ὀφθαλμόν, ἔστι δὲ ὅτε πάντα τὰ
16 μέρη, μετά τινος εὐρυθμίας. Οὕτως οὖν καὶ ἡ θεία φύσις ἀπό τινος ἁπλῆς κινήσεως τοῦ πρώτου τὴν δύναμιν εἰς τὰ ξυνεχῆ δίδωσι, [g] καὶ ἀπ' ἐκείνων πάλιν εἰς τὰ πορρωτέρω, [h] μέχρι ἂν διὰ τοῦ παντὸς διεξέλθῃ· κινηθὲν γὰρ ἕτερον [i] ὑφ' ἑτέρου καὶ αὐτὸ πάλιν ἐκίνησεν ἄλλο σὺν κόσμῳ, [k] δρώντων [l] μὲν πάντων οἰκείως ταῖς σφετέραις κατασκευαῖς, οὐ τῆς αὐτῆς [m] δὲ ὁδοῦ πᾶσιν οὔσης, ἀλλὰ διαφόρου καὶ ἑτεροίας, ἔστι δὲ οἷς καὶ ἐναντίας, καίτοι τῆς πρώτης οἷον [n] ἐνδόσεως εἰς [o] κίνησιν μίαν γενομένης, ὥσπερ ἂν εἴ τις ἐξ ἄγγους ὁμοῦ ῥίψειε σφαῖραν καὶ κύβον καὶ κῶνον καὶ κύλινδρον· ἕκαστον γὰρ αὐτῶν κατὰ τὸ ἴδιον κινηθήσεται σχῆμα· ἢ εἴ [p] τις ὁμοῦ ζῷον ἔνυδρόν τε καὶ χερσαῖον καὶ πτηνὸν ἐν τοῖς κόλποις ἔχων ἐκβάλοι· δῆλον γὰρ ὅτι τὸ μὲν νηκτὸν [q] ἁλλόμενον εἰς τὴν ἑαυτοῦ δίαιταν ἐκνήξεται, τὸ δὲ χερσαῖον εἰς τὰ σφέτερα [r] ἤθη καὶ νομοὺς [s] διεξερπύσει, τὸ δὲ ἀέριον ἐξαρθὲν ἐκ γῆς μετάρσιον [t] οἰχήσεται [v] πετόμενον, μιᾶς τῆς πρώτης αἰτίας
17 πᾶσιν ἀποδούσης τὴν οἰκείαν εὐμάρειαν. Οὕτως [w] ἔχει καὶ [x] ἐπὶ κόσμου· διὰ γὰρ ἁπλῆς τοῦ σύμπαντος [y] οὐρανοῦ περιαγωγῆς ἡμέρᾳ καὶ νυκτὶ περατουμένης ἀλλοῖαι πάντων διέξοδοι γίνονται, καίτοι ὑπὸ μιᾶς σφαίρας περιεχομένων, τῶν μὲν θᾶττον τῶν δὲ σχολαιότερον κινουμένων παρά τε τὰ τῶν διαστημάτων μήκη καὶ τὰς ἰδίας [z] ἑκάστων κατα-
18 σκευάς. Σελήνη μὲν γὰρ ἐν μηνὶ τὸν ἑαυτῆς διαπεραίνεται

[b] μεγαλώτεροι O. [c] χαριστηρία O. [d] καὶ om. P. [e] ἐπισπ. μήρ. O. [f] καὶ ὦμον om. O.P, post ὀφθαλμὸν ponit Q. [g] καὶ ἀπ' ἐκ.] ἀπ' ἐκ. δὲ P. [h] μέχρις ἂν διὰ παντὸς O.Q. [i] ὑφ'] ἐξ O.P. [k] δρώντων] δέον P, δέων Q, incerto O. [l] μὲν] μετὰ O.P.Q. [m] δὲ om. O.P.Q. [n] ἐνδέσεως O.P. [o] μίαν κίνησιν O. [p] τις τῆς ὁμοῦ Q. [q] λαβόμενον O.P.Q. [r] ἤθη om. P. [s] ἐξερπύσει Q. [t] ἠχήσεται Q, οἴχεται O. [v] πετώμενον O.Q. [w] ἔχει om. P. [x] ἐπὶ τοῦ κ. O. [y] οὐρανοῦ om. O. [z] ἑκάστων διαφορὰς καὶ κατ. P.

κύκλον, [a] αὐξομένη τε καὶ μειουμένη καὶ φθίνουσα, ἥλιος [b] δὲ
[c] ἐν ἐνιαυτῷ καὶ οἱ τούτου ἰσόδρομοι, ὅ τε Φωσφόρος καὶ ὁ
Ἑρμῆς [d] λεγόμενος, ὁ δὲ Πυρόεις [e] ἐν διπλασίονι τούτων
χρόνῳ, ὁ δὲ Διὸς ἐν ἑξαπλασίονι τούτου, καὶ τελευταῖος ὁ
[f] τοῦ Κρόνου λεγόμενος ἐν διπλασίονι καὶ ἡμίσει τοῦ ὑποκάτω.
Μία δὲ ἐκ πάντων ἁρμονία συνᾳδόντων καὶ χορευόντων κατὰ 19
τὸν οὐρανὸν ἐξ ἑνός τε γίνεται καὶ εἰς [g] ἓν [h] ἀπολήγει, κόσμον
[i] ἐτύμως τὸ σύμπαν ἀλλ' οὐκ ἀκοσμίαν ὀνομάσασα. Καθάπερ 20
[k] δὲ ἐν χορῷ κορυφαίου κατάρξαντος συνεπηχεῖ πᾶς ὁ χορὸς
ἀνδρῶν, ἔσθ' ὅτε καὶ γυναικῶν, ἐν διαφόροις φωναῖς ὀξυτέραις καὶ βαρυτέραις μίαν ἁρμονίαν ἐμμελῆ κεραννύντων, οὕτως ἔχει καὶ ἐπὶ τοῦ τὸ σύμπαν διέποντος θεοῦ· κατὰ γὰρ
τὸ ἄνωθεν ἐνδόσιμον ὑπὸ τοῦ φερωνύμως ἂν κορυφαίου προσαγορευθέντος κινεῖται μὲν τὰ ἄστρα ἀεὶ καὶ ὁ σύμπας οὐρανός, πορεύεται δὲ διττὰς πορείας ὁ παμφαὴς ἥλιος, [l] τῇ μὲν
ἡμέραν καὶ νύκτα διορίζων ἀνατολῇ καὶ δύσει, τῇ δὲ τὰς
τέσσαρας ὥρας ἄγων τοῦ ἔτους, πρόσω τε βόρειος καὶ ὀπίσω
νότιος [m] διεξέρπων. Γίνονται δὲ ὑετοὶ κατὰ καιρὸν καὶ ἄνεμοι 21
καὶ δρόσοι, τά τε πάθη τὰ ἐν τῷ περιέχοντι συμβαίνοντα,
διὰ τὴν πρώτην καὶ ἀρχαιόγονον αἰτίαν. Ἕπονται δὲ τούτοις ποταμῶν ἐκροαί, θαλάσσης ἀνοιδήσεις, δένδρων ἐκφύσεις,
καρπῶν πεπάνσεις, γοναὶ ζῴων, ἐκτροφαί τε πάντων καὶ ἀκμαὶ καὶ φθίσεις, συμβαλλομένης πρὸς ταῦτα καὶ τῆς ἑκάστου κατασκευῆς, ὡς ἔφην. Ὅταν οὖν ὁ πάντων ἡγεμών τε 22
καὶ [n] γενέτωρ, ἀόρατος ὢν [o] ἄλλῳ πλὴν λογισμῷ, σημήνῃ
πάσῃ φύσει μεταξὺ οὐρανοῦ τε καὶ γῆς φερομένῃ, κινεῖται
[p] πᾶσα ἐνδελεχῶς ἐν κύκλοις καὶ πέρασιν ἰδίοις, ποτὲ μὲν
ἀφανιζομένη ποτὲ δὲ φαινομένη, μυρίας ἰδέας ἀναφαίνουσά
τε καὶ πάλιν ἀποκρύπτουσα ἐκ μιᾶς ἀρχῆς. Ἔοικε δὲ [q] κο- 23
μιδῇ τὸ δρώμενον τοῖς ἐν πολέμου καιροῖς μάλιστα γινομέ-

[a] αὐξανομένη O.P. [b] δὲ om. Q. [c] ἐν om. O.P. [d] καλούμενος P.
[e] ἐν—Κρόνου λεγόμενος om. pr. O. [f] τοῦ ante Κρ. om. P. [g] ἕνα
O.P.Q. [h] ἀπολήγει] κόσμον λήγει O. [i] τὸ σύμπαν ἐτύμως P, ἑτοίμως
τὸ σύμπαν O.Q. [k] δὲ] γὰρ O. [l] τὴν Q. [m] ἐξέρπων O. [n] γενέτης Q.
[o] ἄλλως Q. [p] πᾶσιν P, πᾶν O. [q] κομιδῇ om. P.

νοις, [r] ἐπειδὰν ἡ σάλπιγξ σημήνῃ τῷ στρατοπέδῳ· τότε γὰρ [s] τῆς φωνῆς ἕκαστος ἀκούσας ὁ μὲν ἀσπίδα ἀναιρεῖται, [t] ὁ δὲ θώρακα ἐνδύεται, ὁ δὲ κνημῖδας ἢ κράνος ἢ ζωστῆρα περιτίθεται· καὶ ὁ μὲν ἵππον χαλινοῖ, ὁ δὲ συνωρίδα ἀναβαίνει, ὁ δὲ σύνθημα παρεγγυᾷ· καθίσταται δὲ εὐθέως ὁ μὲν λοχαγὸς εἰς λόχον, ὁ δὲ ταξίαρχος εἰς τάξιν, ὁ δὲ ἱππεὺς ἐπὶ κέρας, ὁ δὲ ψιλὸς εἰς τὴν ἰδίαν ἐκτρέχει χώραν· πάντα δὲ ὑφ' ἕνα [v] σημάντορα δινεῖται κατὰ πρόσταξιν τοῦ τὸ κράτος
24 ἔχοντος ἡγεμόνος. Οὕτω χρὴ καὶ περὶ τοῦ σύμπαντος φρονεῖν· ὑπὸ γὰρ μιᾶς ῥοπῆς ὀτρυνομένων ἁπάντων γίνεται τὰ
25 οἰκεῖα, καὶ [w] ταύτης ἀοράτου καὶ ἀφανοῦς. Ὅπερ οὐδαμῶς ἐστὶν ἐμπόδιον οὔτε ἐκείνῃ πρὸς τὸ δρᾶν οὔτε ἡμῖν πρὸς τὸ πιστεῦσαι· καὶ γὰρ ἡ ψυχή, δι' ἣν ζῶμέν [x] τε καὶ [y] οἴκους καὶ πόλεις ἔχομεν, ἀόρατος οὖσα τοῖς ἔργοις [z] αὐτοῖς ὁρᾶται· πᾶς γὰρ ὁ τοῦ βίου διάκοσμος ὑπὸ ταύτης εὕρηται καὶ διατέτακται καὶ συνέχεται, γῆς ἀρόσεις καὶ φυτεύσεις, τέχνης [a] ἐπίνοιαι, χρήσεις νόμων, [b] κόσμος [c] πολιτείας, ἔνδημοι πρά-
26 ξεις, ὑπερόριος πόλεμος, εἰρήνη. Ταῦτα χρὴ καὶ [d] περὶ θεοῦ διανοεῖσθαι, δυνάμει μὲν ὄντος ἰσχυροτάτου, [e] κάλλει δὲ [f] εὐπρεπεστάτου, ζωῇ δὲ ἀθανάτου, ἀρετῇ δὲ κρατίστου, διότι πάσῃ θνητῇ φύσει γενόμενος ἀθεώρητος [g] ἀπ' αὐτῶν τῶν ἔρ-
27 γων θεωρεῖται. Τὰ γὰρ πάθη, καὶ τὰ δι' ἀέρος ἅπαντα καὶ τὰ ἐπὶ γῆς καὶ τὰ ἐν ὕδατι, θεοῦ [h] λέγοιτ' ἂν ὄντως ἔργα εἶναι τοῦ τὸν κόσμον ἐπέχοντος· ἐξ οὗ κατὰ τὸν φυσικὸν Ἐμπεδοκλέα

> πάνθ' [i] ὅσα τ' ἦν [k] ὅσα τ' ἐστὶν ὅσα τ' ἔσται [l] ὀπίσσω,
> [m] δένδρεά [n] τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες
> θῆρές [o] τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς.

[r] ὁπότ' ἂν P. [s] ἕκαστος τῆς φωνῆς P. [t] ὁ δὲ θώρακα ἐνδύεται om. O.P.Q. [v] σημάντορα δονεῖται O, δονεῖται σημάντορα P. [w] ταῦτα P. [x] τε om. P. [y] πόλεις καὶ οἴκους P.Q. [z] αὐτῆς P. [a] ἐπίνοια Q. [b] κόσμον corr. P. [c] καὶ πολιτεῖαι O, καὶ πολιτείας P. [d] παρὰ P. [e] κάλλει—ἀθανάτου om. pr. O. [f] ἐκπρεπεστάτου rc. O. [g] ἀπ'] δι' O. [h] λέγοιντ' ἂν ἔργα εἶναι ὄντως P. [i] ὅσα τ' ἦν om. O.P.Q. [k] ὅσσα P. [l] ὀπίσω O.P.Q. [m] δένδρα O. [n] τε βλαστήσειε P. [o] τ' om. O.

"Εοικε δὲ [p] ὄντως, εἰ καὶ μικρότερον, [q] παραβάλλειν τὸν κό- 28
σμον τοῖς [r] ὀμφαλοῖς λεγομένοις τοῖς ἐν ταῖς ψαλῖσι λίθοις,
οἳ μέσοι κείμενοι κατὰ τὴν εἰς ἑκάτερον μέρος ἔνδεσιν ἐν ἁρ-
μονίᾳ τηροῦσι καὶ ἐν τάξει τὸ πᾶν σχῆμα τῆς ψαλῖδος καὶ
ἀκίνητον. Φασὶ δὲ καὶ [s] τὸν ἀγαλματοποιὸν Φειδίαν κατα- 29
σκευαζόμενον τὴν ἐν ἀκροπόλει Ἀθηνᾶν ἐν [t] μέσῃ τῇ ταύτης
ἀσπίδι τὸ ἑαυτοῦ πρόσωπον [v] ἐντυπώσασθαι, καὶ συνδῆσαι
τῷ ἀγάλματι διά τινος ἀφανοῦς δημιουργίας, ὥστε ἐξ ἀνάγ-
κης, εἴ τις βούλοιτο [w] αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα
[x] λύειν τε καὶ συγχεῖν. Τοῦτον οὖν ἔχει τὸν λόγον ὁ θεὸς 30
ἐν κόσμῳ, συνέχων τὴν τῶν ὅλων ἁρμονίαν τε καὶ σωτηρίαν,
πλὴν οὔτε μέσος ὤν, ἔνθα ἡ γῆ τε καὶ ὁ [y] θολερὸς [z] τόπος
οὗτος, ἀλλ' [a] ἄνω καθαρὸς ἐν καθαρῷ χώρῳ βεβηκώς, ὃν ἐτύ-
μως καλοῦμεν οὐρανὸν [b] μὲν ἀπὸ τοῦ ὅρον εἶναι τῶν ἄνω,
ὄλυμπον δὲ οἷον ὁλολαμπῆ [c] καὶ παντὸς ζόφου καὶ ἀτάκτου
κινήματος κεχωρισμένον, [d] οἷα γίνεται παρ' ἡμῖν διὰ χει-
μῶνος καὶ ἀνέμων βίας, ὥσπερ ἔφη καὶ ὁ ποιητὴς Ὅμηρος

> [e] Οὔλυμπόνδ', [f] ὅθι φασὶ θεῶν [g] ἕδος ἀσφαλὲς αἰεὶ
> ἔμμεναι. Οὔτ' ἀνέμοισι τινάσσεται [h] οὔτε ποτ' ὄμβρῳ
> δεύεται, [i] οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη
> πέπταται [k] ἀννέφελος, [l] λευκὴ δ' ἀναδέδρομεν αἴγλη.

Συνεπιμαρτυρεῖ δὲ καὶ ὁ βίος ἅπας, τὴν ἄνω χώραν ἀποδοὺς 31
θεῷ· καὶ γὰρ πάντες [m] οἱ ἄνθρωποι ἀνατείνομεν τὰς χεῖρας
εἰς τὸν οὐρανὸν εὐχὰς ποιούμενοι. [n] Καθ' ὃν λόγον οὐ [o] κα-
κῶς κἀκεῖνο ἀναπεφώνηται

> Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.

Διὸ καὶ τῶν αἰσθητῶν τὰ τιμιώτατα τὸν αὐτὸν ἐπέχει τό- 32
πον, ἄστρα τε [p] καὶ ἥλιος καὶ σελήνη. Μόνα [q] τε τὰ οὐρά-

[p] οὕτως P. [q] παραβαλεῖν Q. [r] ὀφθαλμοῖς P.Q. [s] τὸν φειδίαν τὸν ἀγαλματοποιὸν O. [t] μέσῃ αὐτῆς τῆς ἀσπίδος O.P. [v] ἐκτυπώσασθαι O. [w] αὐτὸ om. P. [x] κωλύειν καὶ O. [y] θολερὸς] ἱερὸς O. [z] οὗτος τόπος Q. [a] ἄνω καὶ καθ. Q. [b] μὲν O.P. [c] καὶ π.] τε καὶ π. Q. [d] οἷος P. [e] οὔλυμπόν θ' P, οὔλυμπον O. [f] ὅτι Q, ὅσοι P. [g] ἕδος] ὕδατος Q. [h] οὔτε] οὐδὲ O. [i] οὔτ' αὖ χιόνες O. [k] ἀνέφελα P, ἀνέφελος Q. [l] λευκὴ] ἀλκὴ O. [m] οἱ om. P. [n] καθ' ὃν—ἀναπεφώνηται om. Q. [o] κἀκείνῳ κακῶς P. [p] καὶ ante ἥλιος om. O. [q] τε om. O.

*νια διὰ τοῦτο ἀεὶ τὴν αὐτὴν σώζοντα τάξιν διακεκόσμηται,
καὶ οὔ ποτε ἀλλοιωθέντα μετεκινήθη, καθάπερ τὰ ἐπὶ γῆς
[r] εὔτρεπτα ὄντα πολλὰς ἑτεροιώσεις καὶ πάθη [s] ἀναδέδεκται·
σεισμοί τε γὰρ ἤδη βίαιοι πολλὰ μέρη τῆς γῆς ἀνέρρηξαν,
ὄμβροι τε κατέκλυσαν [t] ἐξαίσιοι καταρραγέντες, ἐπιδρομαί
τε κυμάτων καὶ ἀναχωρήσεις [v] πολλάκις καὶ ἠπείρους [w] ἐθα-
λάττωσαν καὶ θαλάττας ἠπείρωσαν, βίαι τε πνευμάτων καὶ
τυφώνων ἔστιν ὅτε πόλεις ὅλας ἀνέτρεψαν, πυρκαϊαί τε καὶ
φλόγες αἱ μὲν ἐξ οὐρανοῦ γενόμεναι πρότερον, ὥσπερ φασίν,
ἐπὶ Φαέθοντος τὰ πρὸς ἕω μέρη [x] κατέφλεξαν, αἱ δὲ πρὸς
ἑσπέραν ἐκ γῆς ἀναβλύσασαι καὶ ἐκφυσήσασαι, καθάπερ τῶν
ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων καὶ ἀνὰ [y] τὴν γῆν φερομέ-
33 νων χειμάρρου δίκην. Ἔνθα καὶ τὸ τῶν εὐσεβῶν γένος ἐξ-
όχως ἐτίμησε τὸ δαιμόνιον, [z] περικαταληφθέντων [a] ὑπὸ τοῦ
ῥεύματος διὰ τὸ βαστάζειν γέροντας [b] ἐπὶ τῶν ὤμων γονεῖς
[c] καὶ σώζειν· πλησίον [d] γὰρ αὐτῶν γενόμενος ὁ τοῦ πυρὸς
ποταμὸς ἐξεσχίσθη, παρέτρεψέ τε τοῦ φλογμοῦ τὸ μὲν ἔνθα
τὸ δ' ἔνθα, καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι τοὺς
34 νεανίσκους.* Καθόλου δέ, *ὅπερ ἐν νηῒ μὲν κυβερνήτης, ἐν ἅρ-
ματι δὲ ἡνίοχος, ἐν χορῷ δὲ κορυφαῖος, ἐν πόλει δὲ νόμος,
ἐν στρατοπέδῳ δὲ ἡγεμών, [e] τοῦτο θεὸς ἐν κόσμῳ, πλὴν καθ'
ὅσον τοῖς μὲν καματηρὸν τὸ ἄρχειν πολυκίνητόν τε καὶ πο-
λυμέριμνον, τῷ δὲ [f] ἄλυπον ἄπονόν τε [g] καὶ πάσης κεχωρι-
σμένον σωματικῆς ἀσθενείας· ἐν ἀκινήτῳ γὰρ ἱδρυμένος πάντα
κινεῖ καὶ περιάγει, ὅπου [h] βούλεται καὶ ὅπως, [i] ἐν διαφόροις
[k] ἰδέαις τε καὶ φύσεσιν, ὥσπερ ἀμέλει καὶ ὁ τῆς πόλεως νό-
μος ἀκίνητος ὢν ἐν ταῖς τῶν [l] χρωμένων ψυχαῖς πάντα οἰκο-
νομεῖ τὰ [m] κατὰ τὴν πολιτείαν· ἐφεπόμενοι γὰρ αὐτῷ δῆλον*

[r] *ἄτρεπτα* Q. [s] *ἀναδέδεικται* Q. et pr. O.P. [t] *ἐξαίσιον* Q. [v] *πολλάκις*] *πόλεις* O.Q, *πόλεις ὅλας* P. [w] *ἐθαλάσσωσαν καὶ θαλάσσας* P. [x] *προσέφλεξαν* O. [y] *τῇ γῇ* P, *γῆν* O. [z] *περικαταλειφθέντων* P. [a] *ὑπὸ*] *γὰρ ὑπὸ* O.Q, *τινῶν ὑπὸ* P. [b] *γονεῖς ἐπὶ τῶν ὤμων* O.P. [c] *καὶ σώζειν* om. O. [d] *γὰρ* om. O. [e] *τοῦτο ὁ θεὸς* O. [f] *ἄπονον ἄλυπόν* P. [g] *καὶ* om. P.Q. [h] *βούλοιτο* P. [i] *ἐν*] *ἂν* O. [k] *τε ἰδέαις* Q. [l] *χρωμάτων* Q. [m] *κατὰ πόλιν* P.

*ὅτι ἐξίασιν ἄρχοντες μὲν ἐπὶ τὰ ἀρχεῖα, θεσμοθέται δὲ εἰς τὰ οἰκεῖα δικαστήρια, βουλευταὶ δὲ καὶ ἐκκλησιασταὶ εἰς συνέδρια τὰ προσήκοντα, καὶ ὁ μέν τις εἰς τὸ πρυτανεῖον βαδίζει [n] σιτησόμενος, ὁ δὲ πρὸς τοὺς [o] δικαστὰς [p] ἀπολογησόμενος, ὁ δὲ εἰς τὸ δεσμωτήριον ἀποθανούμενος. Γίνονται δὲ καὶ* 35
*δημοθοινίαι νόμιμοι καὶ πανηγύρεις ἐνιαύσιοι, θεῶν τε θυσίαι καὶ ἡρώων θεραπεῖαι καὶ χοαὶ κεκμηκότων· ἄλλα δὲ ἄλλοις ἐνεργούμενα κατὰ μίαν πρόσταξιν ἢ νόμιμον ἐξουσίαν σώζει [q] τὸ τοῦ ποιήσαντος ὄντως*

> [r] *πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,*
> *ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.*

*Οὕτως ὑποληπτέον καὶ [s] ἐπὶ τῆς μείζονος πόλεως, λέγω [t] δὲ* 36
*τοῦδε τοῦ κόσμου· νόμος [v] μὲν γὰρ ἡμῖν ἰσοκλινὴς ὁ θεός, οὐδεμίαν ἐπιδεχόμενος διόρθωσιν ἢ μετάθεσιν, κρείττων δέ, οἶμαι, καὶ βεβαιότερος τῶν ἐν [w] ταῖς κύρβεσιν ἀναγεγραμμένων. Ἡγουμένου δὲ [x] ἀεικινήτως αὐτοῦ [y] καὶ [z] ἐμμελῶς ὁ* 37
*σύμπας [a] διοικονομεῖται διάκοσμος οὐρανοῦ [b] καὶ γῆς, μεμερισμένος κατὰ τὰς φύσεις πάσας διὰ τῶν οἰκείων σπερμάτων εἴς τε τὰ φυτὰ καὶ ζῷα, κατὰ γένη τε καὶ εἴδη· καὶ γὰρ ἄμπελοι καὶ φοίνικες καὶ περσέαι [c] συκαῖ τε γλυκεραὶ καὶ ἐλαῖαι, ὥς φησιν ὁ ποιητής, τὰ δὲ ἄκαρπα μὲν ἄλλας δὲ παρεχόμενα χρείας, πλάτανοι καὶ πίτυες καὶ πύξοι*

> [d] *κλήθρη τ' αἴγειρός [e] τε καὶ εὐώδης κυπάρισσος,*

*αἵ τε [f] καρπὸν [g] ὀπώρης [h] ἡδὺν ἄλλως δὲ δυσθησαύριστον φέρουσαι,*

> [i] *ὄχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι,*

*τῶν [k] τε ζῴων τά τε ἄγρια καὶ ἥμερα, τά τε [l] ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ ἐν [m] ὕδατι βοσκόμενα, γίνεται καὶ ἀκμάζει καὶ*

[n] *σιτισόμενος* P.Q. [o] *δανειστὰς* O. [p] *ἀπολογισάμενος* O. [q] *τὸ* om. Q. [r] *πόλις δ'*] *ὅτι πόλις* O. [s] *ὑπὸ* Q. [t] *δὴ* O.P. [v] *μὲν* om. O.P. [w] *ταῖς* om. P. [x] *αὐτοῦ ἀεικινήτως* P, *ἀκινήτως αὐτοῦ* O. [y] *καὶ*—(c. 7. sect. 3.) *ὥσπερ οἱ ποιηταὶ λέγουσι* rc. in lacuna P. [z] *ὁμαλῶς* rc. P. [a] *οἰκονομεῖται* rc. P. [b] *καὶ*] *τε καὶ* rc. P. [c] *συκέαι* Q. [d] *κλεῖθραί* rc. P. [e] *τε* om. O. [f] *καρπῶν* rc. P. [g] *ὀπώρας* O. et rc. P. [h] *ἡδὺν*] *εἰδυῖα* O. [i] *ὄγχνη* corr. O. [k] *τε ζ.*] *δὲ ζ.* O. [l] *ἐναέρια* Q. [m] *ὕδασι* rc. P.

*φθείρεται τοῖς τοῦ θεοῦ πειθόμενα θεσμοῖς· πᾶν γὰρ ἑρπετὸν*
*τὴν γῆν νέμεται, ὥς φησιν* [t] *Ἡράκλειτος.*

7 *Εἷς δὲ ὢν πολυώνυμός ἐστι, κατονομαζόμενος τοῖς πάθεσι*
*πᾶσιν ἅπερ αὐτὸς* [n] *νεοχμοῖ. Καλοῦμεν δὲ αὐτὸν καὶ Ζῆνα*
*καὶ Δία, παραλλήλως χρώμενοι τοῖς ὀνόμασιν, ὡς* [o] *ἂν εἰ*
2 *λέγοιμεν δι' ὃν ζῶμεν. Κρόνου δὲ παῖς καὶ χρόνου λέγεται*
*διήκων ἐξ αἰῶνος ἀτέρμονος εἰς ἕτερον αἰῶνα· ἀστραπαῖός τε*
*καὶ βρονταῖος καὶ αἴθριος καὶ αἰθέριος κεραύνιός τε καὶ*
*ὑέτιος ἀπὸ τῶν ὑετῶν καὶ κεραυνῶν καὶ τῶν ἄλλων καλεῖται.*
3 *Καὶ μὴν ἐπικάρπιος μὲν ἀπὸ τῶν καρπῶν, πολιεὺς δὲ ἀπὸ*
*τῶν πόλεων ὀνομάζεται, γενέθλιός τε καὶ ἕρκειος καὶ ὁμό-*
*γνιος καὶ πάτριος ἀπὸ τῆς πρὸς ταῦτα κοινωνίας, ἑταιρεῖός*
[p] *τε καὶ φίλιος καὶ ξένιος καὶ στράτιος καὶ τροπαιοῦχος*
[q] *καθάρσιός τε καὶ παλαμναῖος καὶ ἱκέσιος καὶ μειλίχιος,*
*ὥσπερ οἱ ποιηταὶ λέγουσι, σωτήρ τε καὶ ἐλευθέριος ἐτύμως,*
*ὡς δὲ τὸ πᾶν εἰπεῖν, οὐράνιός τε καὶ χθόνιος, πάσης ἐπώνυ-*
*μος* [r] *ὢν φύσεώς τε καὶ τύχης ἅτε πάντων αὐτὸς αἴτιος* [s] *ὤν.*
4 *Διὸ καὶ ἐν* [t] *τοῖς Ὀρφικοῖς οὐ κακῶς λέγεται*

*Ζεὺς πρῶτος* [v] *γένετο, Ζεὺς ὕστατος* [w] *ἀργικέραυνος·*
[x] *Ζεὺς* [y] *κεφαλή, Ζεὺς* [z] *μέσσα· Διὸς δ' ἐκ* [a] *πάντα* [b] *τέτυκται.*
*Ζεὺς* [c] *πυθμὴν* [d] *γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.*
*Ζεὺς* [e] *ἄρσην γένετο, Ζεὺς ἄμβροτος* [f] *ἔπλετο νύμφη.*
[g] *Ζεὺς* [h] *πνοιὴ πάντων, Ζεὺς ἀκαμάτου πυρὸς ὁρμή.*
*Ζεὺς* [i] *πόντου ῥίζα, Ζεὺς ἥλιος* [k] *ἠδὲ σελήνη.*
*Ζεὺς βασιλεύς, Ζεὺς* [l] *ἀρχὸς ἁπάντων* [m] *ἀργικέραυνος·*
[n] *πάντας γὰρ* [o] *κρύψας αὖθις φάος* [p] *ἐς πολυγηθές*
[q] *ἐξ ἱερῆς* [r] *κραδίης ἀνενέγκατο, μέρμερα* [s] *ῥέζων.*

[n] *νεοχμεῖ. καλοῦσι δὲ αὐτοῦ* Q. [o] *ἂν*] *κἂν* Q. et rc. P. [p] *τε καὶ φίλιος* om. rc. P. [q] *καθάρσιος—μειλίχιος* om. rc. P. [r] *ὢν* O.P. [s] *ὢν* om. O. [t] *τῷ ὀρφικῷ* P. [v] *ἐγένετο* O.Q. [w] *ἀρχικέραυνος* P.Q, *ἀρχοκέραυνος* Regius 2494. [x] *Ζεὺς* om. Regius 1603. [y] *μεγάλως* Regius 2372. [z] *μέσος* 1603, *μέσα* O.P.Q. [a] *πάντων* P. [b] *τέτακται* 1603, *τέτμηται* O. [c] *πυγμὴν* Regius 2992. [d] *γαῖος* 2494. [e] *ἄρσην ἐγένετο* Q, *ἀρχιγενέτωρ* O. [f] *ἔμπλετο* 2494, *ἔπλετος* 2992. [g] *Ζεὺς—ῥίζα* om. O. [h] *πνοὴ* Q, *ποιὴ* Regius 2257. [i] *π.*] *τούτων* 1603. [k] *ἠδὲ*] *ἢ* O. [l] *ἀργὸς* 1603, *ἀρχὴ* P.Q, *ἀρχῆς* 2494, *ἀρχηγὸς* O. [m] *ἀργικέραυνος* 2992: ceteri *ἀρχικέραυνος*. [n] *πάντα* O. [o] *κρύψαι* 2372. [p] *εἰς πολυγηθὲς* P, *εἰς πολυγηθὴ* Q, *ἐπηλυγηθὲς* 2992. [q] *ἀξιερῆς* 1603. [r] *κραδίας* O. [s] *ῥέξων* O.

Οἶμαι δὲ καὶ τὴν ἀνάγκην οὐκ ἄλλο τι λέγεσθαι πλὴν τοῦ- 5
τον, οἱονεὶ [t] ἀνίκητον οὐσίαν [v] ὄντα, εἱμαρμένην δὲ διὰ τὸ
εἴρειν τε καὶ χωρεῖν ἀκωλύτως, πεπρωμένην δὲ διὰ τὸ πεπε-
ρατῶσθαι πάντα καὶ μηδὲν ἐν τοῖς οὖσιν [w] ἄπειρον εἶναι, καὶ
μοῖραν ἀπὸ τοῦ μεμερίσθαι, Νέμεσιν δὲ ἀπὸ τῆς [x] ἑκάστῳ
διανεμήσεως, Ἀδράστειαν δὲ ἀναπόδραστον [y] αἰτίαν οὖσαν
κατὰ φύσιν, αἶσαν δὲ ἀεὶ οὖσαν. Τά τε περὶ τὰς μοίρας 6
καὶ τὸν ἄτρακτον εἰς τοῦτό πως νεύει· τρεῖς μὲν γὰρ αἱ μοῖ-
ραι κατὰ [z] τοὺς χρόνους μεμερισμέναι, νῆμα δὲ ἀτράκτου τὸ
μὲν ἐξειργασμένον, τὸ δὲ μέλλον, τὸ δὲ περιστρεφόμενον·
τέτακται δὲ κατὰ μὲν τὸ γεγονὸς μία τῶν μοιρῶν, Ἄτρο-
πος, ἐπεὶ τὰ παρελθόντα πάντα ἄτρεπτά ἐστιν, κατὰ δὲ τὸ
μέλλον Λάχεσις (εἰς πάντα γὰρ ἡ κατὰ φύσιν μένει λῆξις),
κατὰ δὲ τὸ [a] ἐνεστὸς Κλωθώ, συμπεραίνουσά τε καὶ κλώ-
θουσα ἑκάστῳ τὰ οἰκεῖα. Περαίνεται δὲ καὶ ὁ μῦθος οὐκ 7
ἀτάκτως. Ταῦτα δὲ πάντα ἐστὶν οὐκ ἄλλο τι [b] πλὴν ὁ
θεός, καθάπερ καὶ ὁ γενναῖος Πλάτων φησίν. Ὁ μὲν δὴ
θεός, ὥσπερ ὁ παλαιὸς λόγος, ἀρχήν [c] τε καὶ τελευτὴν καὶ
[d] μέσα τῶν ὄντων ἁπάντων ἔχων, [e] εὐθείᾳ περαίνει κατὰ φύσιν
πορευόμενος· τῷ δὲ ἀεὶ ξυνέπεται δίκη, τῶν [f] ἀπολειπομένων
τοῦ θείου νόμου τιμωρός, ἧς ὁ εὐδαιμονήσειν μέλλων μακάριός
τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος [g] εἴη.

[t] ἀκίνητον O. [v] ὄντα om. P. [w] ἄπορον O. [x] ἑκάστου P.Q. [y] αἰτίαν] οὐσίαν O. [z] τοὺς] τρεῖς O. [a] ἐνεστὼς O.P. [b] πλὴν ὁ] ἢ P. [c] τε] μὲν P. [d] μέσην P. [e] εὐθείας περ. κ. φ. πορευομένας O. [f] ἀπολιπομένων O. [g] εἴη. γῆ μὲν ὡς κέντρον τῷ οὐρανίῳ κατὰ γεωμετρικὴν ἐπιστημονικωτάτη ἀπόδοσις περιεχομένη καὶ τῇ ἐν τοῖς τόποις ἐναντιωτάτη θέσει κατὰ διάμετρα ἑστηκυῖα λαμβάνει μὲν ἐξ αὐτοῦ τὴν ἕδραν τῷ ἀεικινήτου τῆς ἀξίας καὶ οὐρανοῦ περιδινήσεως——ὅρα γὰρ ὅτι τὸ ἐναπολαμβανόμενον πνεῦμα, ὡς εἴρηται, νέφους παχύτητα καὶ μὴ ἔχον διέξοδον θλίβεται, θλιβόμενον δὲ ἐκπυροῦται καὶ βιαίως ῥήγνυσι τὸ νέφος, καὶ τὸ μὲν ἐκπυρώμενον ἐξιὸν ἐξάπτει, τὸ δὲ νέφος ῥηγνύμενον ἠχεῖ ἤτοι βροντᾷ. 1603. fol. 296—299). τελος τῆς περὶ κόσμου κυκλικῆς θεωρίας ἀριστοτελους 2494.

# ΠΕΡΙ ΨΥΧΗΣ Α.

ΤΩΝ καλῶν καὶ τιμίων τὴν εἴδησιν ὑπολαμβάνοντες, μᾶλλον
δ' ἑτέραν ἑτέρας [a]ἢ κατ' ἀκρίβειαν ἢ [b]τῷ βελτιόνων [c]τε καὶ
θαυμασιωτέρων εἶναι, δι' ἀμφότερα [d]ταῦτα τὴν [e]τῆς ψυχῆς
ἱστορίαν [f]εὐλόγως ἂν ἐν πρώτοις τιθείημεν. Δοκεῖ δὲ [g]καὶ
πρὸς ἀλήθειαν [h]ἅπασαν ἡ γνῶσις αὐτῆς μεγάλα συμβάλ-
λεσθαι, μάλιστα [i]δὲ πρὸς τὴν φύσιν· ἔστι γὰρ οἷον ἀρχὴ
2 τῶν ζῴων. Ἐπιζητοῦμεν δὲ θεωρῆσαι καὶ γνῶναι τήν τε
φύσιν αὐτῆς καὶ τὴν οὐσίαν, εἶθ' ὅσα συμβέβηκε περὶ αὐτήν·
ὧν τὰ μὲν ἴδια πάθη τῆς ψυχῆς [k]εἶναι δοκεῖ, τὰ [l]δὲ δι'
ἐκείνην καὶ τοῖς ζῴοις ὑπάρχειν. Πάντῃ [m]δὲ πάντως [n]ἐστὶ
3 [o]τῶν χαλεπωτάτων λαβεῖν τινὰ πίστιν περὶ αὐτῆς. Καὶ
γὰρ ὄντος κοινοῦ τοῦ [p]ζητήματος πολλοῖς ἑτέροις, λέγω [q]δὲ
[r]τοῦ περὶ τὴν οὐσίαν καὶ [s]τοῦ τί ἐστι, τάχ' ἂν τῳ δόξειε
μία τις εἶναι μέθοδος κατὰ πάντων περὶ ὧν βουλόμεθα γνῶ-
ναι τὴν [t]οὐσίαν, ὥσπερ καὶ τῶν κατὰ συμβεβηκὸς ἰδίων
4 [v]ἀπόδειξιν, [w]ὥστε ζητητέον ἂν εἴη τὴν μέθοδον ταύτην. Εἰ
δὲ μή ἐστι μία [x]τις καὶ κοινὴ μέθοδος περὶ [y]τὸ τί ἐστιν,
[z]ἔτι χαλεπώτερον [a]γίνεται τὸ [b]πραγματευθῆναι· δεήσει
γὰρ λαβεῖν περὶ [c]ἕκαστον τίς ὁ τρόπος, [d]ἐὰν δὲ φανερὸν

Codices E S.T.U.V.W.X. et libro tertio L. [a] ἢ ante κατ' om. V. [b] τῶν S. [c] τε om. E. [d] ταῦτα om. E. [e] τῆς] περὶ V, περὶ τῆς E. [f] ἐν πρώτοις τ' ἂν εὐλόγως τίθεμεν V. [g] καὶ om. V. [h] ἡ γνῶσις αὐτῆς ἅπασαν T. [i] δὲ καὶ πρὸς V. [k] εἶναι om. T. [l] δὲ κοινὰ καὶ τοῖς ζῴοις δι' ἐκείνην U. [m] δὲ καὶ πάντως S.T.U.V.W. [n] εἶναι X. [o] τῶν χαλεπωτάτων] χαλεπώτατον W. [p] ζητήματος καὶ π. S.T.U.V.W. [q] δὴ V. [r] τοῦ] τὰ U.V. [s] τοῦ] τὸ E, τὰ T.U. [t] οὐσίαν ἴσως ὥσπερ S. [v] ἀπόδειξις E.V, ἡ ἀπόδειξις T. [w] ὥστε] ὅθεν V. [x] καὶ κοινή τις U.W.X. [y] τὸ] τοῦ S.T.U.W.X. [z] ἔτι om. V. [a] γίνεται om. T. [b] πραγματεύεσθαι U. [c] ἑκάστου V. [d] ὅταν S.U.W, εἰ V.

[e] ᾗ, πότερον ἀπόδειξίς [f] τίς ἐστιν ἢ διαίρεσις ἢ καί τις ἄλλη
μέθοδος. Ἔτι [g] δὲ [h] πολλὰς ἀπορίας ἔχει καὶ πλάνας, ἐκ
τίνων [i] δεῖ ζητεῖν· ἄλλαι γὰρ ἄλλων ἀρχαί, καθάπερ ἀρι-
θμῶν καὶ ἐπιπέδων. Πρῶτον δ' ἴσως ἀναγκαῖον διελεῖν ἐν 5
τίνι τῶν γενῶν καὶ [k] τί ἐστι, λέγω δὲ πότερον τόδε τι καὶ
οὐσία ἢ [l] ποιὸν ἢ ποσὸν ἢ καί τις ἄλλη τῶν διαιρεθεισῶν
κατηγοριῶν, ἔτι [m] δὲ πότερον τῶν ἐν δυνάμει ὄντων ἢ μᾶλ-
λον ἐντελέχειά τις· διαφέρει γὰρ οὔ [n] τι [o] σμικρόν. Σκε- 6
πτέον δὲ [p] καὶ εἰ μεριστὴ ἢ ἀμερής, καὶ πότερον [q] ὁμοειδὴς
[r] ἅπασα ψυχὴ ἢ οὔ· εἰ δὲ μὴ [q] ὁμοειδής, πότερον εἴδει [s] δια-
φέρουσιν [t] ἢ γένει. Νῦν μὲν γὰρ οἱ λέγοντες καὶ ζητοῦντες
περὶ ψυχῆς περὶ τῆς ἀνθρωπίνης [v] μόνης ἐοίκασιν [w] ἐπισκο-
πεῖν. Εὐλαβητέον δ' ὅπως μὴ λανθάνῃ πότερον εἷς [x] ὁ λό- 7
γος αὐτῆς [y] ἐστί, καθάπερ ζῴου, ἢ καθ' [z] ἕκαστον ἕτερος, οἷον
ἵππου, κυνός, ἀνθρώπου, θεοῦ· τὸ [a] δὲ ζῷον τὸ καθόλου ἤτοι
οὐθέν ἐστιν ἢ ὕστερον. Ὁμοίως δὲ κἂν εἴ τι κοινὸν ἄλλο
[b] κατηγοροῖτο. Ἔτι δ' εἰ μὴ πολλαὶ ψυχαὶ ἀλλὰ μόρια,
πότερον δεῖ ζητεῖν πρότερον [c] τὴν ὅλην ψυχὴν ἢ τὰ μόρια.
Χαλεπὸν δὲ καὶ [d] τούτων διορίσαι ποῖα πέφυκεν [e] ἕτερα ἀλ- 8
λήλων, καὶ πότερον τὰ μόρια [f] χρὴ ζητεῖν πρότερον ἢ τὰ
ἔργα αὐτῶν, οἷον τὸ νοεῖν ἢ τὸν νοῦν καὶ τὸ αἰσθάνεσθαι ἢ
τὸ αἰσθητικόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Εἰ δὲ τὰ
ἔργα πρότερον, πάλιν ἄν τις ἀπορήσειεν [g] εἰ τὰ ἀντικείμενα
[h] πρότερον τούτων ζητητέον, οἷον τὸ [i] αἰσθητὸν τοῦ αἰσθη-
τικοῦ καὶ τὸ νοητὸν τοῦ [k] νοητικοῦ. Ἔοικε δ' οὐ μόνον τὸ 9
τί ἐστι [l] γνῶναι χρήσιμον εἶναι πρὸς τὸ θεωρῆσαι τὰς αἰτίας
τῶν συμβεβηκότων ταῖς οὐσίαις, ὥσπερ ἐν τοῖς [m] μαθήμασι

[e] ᾗ] εἴη V. [f] τις om. T.U.W.X. [g] δὲ om. E.S.X. [h] πολλὰς ἂν ἀπ. U. [i] δεῖ] δὴ W. [k] τίς S. [l] ποσὸν ἢ ποιὸν W. [m] δὲ καὶ πότερον S. [n] τι om. S.V.W.X. [o] μικρὸν X. [p] καὶ ante εἰ om. X. [q] ὁμοιοειδὴς utrobique T.U V.W.X. [r] ἅπασα ἡ ψυχὴ U. [s] διαφέρουσα T. [t] ἢ καὶ γένει X. [v] μόνον pr. E. [w] ζητεῖν V. [x] ὁ om. X. [y] ἐστὶν ἢ καθ. X. [z] ἑκάστην pr. E, ἕτερον V. [a] δὲ] γὰρ V. [b] κατηγορεῖται E. [c] ὅλην τὴν V. [d] τοῦτο V. [e] ἀλλήλων ἕτερα X. [f] δεῖ U.W.X. [g] εἴ τε τὰ T.U. [h] πρότερα E.S. [i] αἰσθητικὸν S. [k] νοητοῦ S, νοῦ E.V.X. [l] γνῶναι om. X. [m] μαθήμασιν οἷον τί W.

τί τὸ εὐθὺ [n] καὶ καμπύλον ἢ τί γραμμὴ καὶ ἐπίπεδον πρὸς
τὸ κατιδεῖν πόσαις ὀρθαῖς αἱ τοῦ τριγώνου γωνίαι [o] ἴσαι,
ἀλλὰ καὶ ἀνάπαλιν τὰ συμβεβηκότα συμβάλλεται μέγα
μέρος πρὸς τὸ [p] εἰδέναι τὸ τί ἐστιν· ἐπειδὰν γὰρ [q] ἔχωμεν
ἀποδιδόναι κατὰ τὴν φαντασίαν περὶ τῶν συμβεβηκότων,
[r] ἢ πάντων ἢ τῶν πλείστων, τότε καὶ περὶ [s] τῆς οὐσίας [t] ἕξο-
μεν [v] λέγειν [w] κάλλιστα· πάσης γὰρ [x] ἀποδείξεως ἀρχὴ τὸ
τί ἐστιν, ὥστε καθ' ὅσους τῶν ὁρισμῶν [y] μὴ συμβαίνει τὰ
συμβεβηκότα γνωρίζειν, ἀλλὰ μηδ' εἰκάσαι περὶ αὐτῶν εὐ-
μαρές, δῆλον ὅτι διαλεκτικῶς εἴρηνται καὶ [z] κενῶς [a] ἅπαντες.
10 Ἀπορίαν δ' ἔχει καὶ τὰ πάθη τῆς ψυχῆς, πότερόν ἐστι
[b] πάντα κοινὰ καὶ τοῦ ἔχοντος ἢ ἐστί [c] τι καὶ τῆς ψυχῆς
ἴδιον αὐτῆς· τοῦτο γὰρ λαβεῖν μὲν ἀναγκαῖον, οὐ ῥᾴδιον δέ.
11 Φαίνεται [d] δὲ [e] τῶν πλείστων οὐθὲν [f] ἄνευ σώματος πάσχειν
οὐδὲ ποιεῖν, [g] οἷον ὀργίζεσθαι, θαρρεῖν, ἐπιθυμεῖν, ὅλως αἰ-
σθάνεσθαι. Μάλιστα δ' ἔοικεν [h] ἴδιον τὸ νοεῖν· εἰ δ' ἐστὶ
καὶ τοῦτο φαντασία τις ἢ [i] μὴ ἄνευ φαντασίας, οὐκ ἐνδέχοιτ'
12 ἂν [k] οὐδὲ τοῦτ' [l] ἄνευ σώματος εἶναι. Εἰ μὲν οὖν ἐστί [m] τι
τῶν τῆς ψυχῆς ἔργων ἢ παθημάτων ἴδιον, ἐνδέχοιτ' ἂν [n] αὐτὴν
χωρίζεσθαι· εἰ δὲ [o] μηθέν ἐστιν ἴδιον αὐτῆς, οὐκ ἂν εἴη χωρι-
στή, ἀλλὰ καθάπερ [p] τῷ εὐθεῖ, [q] ᾗ εὐθύ, πολλὰ συμβαίνει,
οἷον ἅπτεσθαι τῆς χαλκῆς σφαίρας κατὰ στιγμήν, οὐ μέντοι
[r] γ' ἅψεται [s] τούτου χωρισθὲν τὸ εὐθύ· ἀχώριστον γάρ,
13 εἴπερ ἀεὶ μετὰ σώματός τινός ἐστιν. Ἔοικε δὲ καὶ τὰ τῆς
ψυχῆς [t] πάθη πάντα εἶναι [v] μετὰ σώματος, θυμός, πραότης,
φόβος, ἔλεος, θάρσος, ἔτι χαρὰ καὶ τὸ φιλεῖν τε [w] καὶ μι-

[n] καὶ τί τὸ κ. S.U.W, καὶ τί κ. T.X. [o] ἴσαι εἰσὶν ἀλλὰ T. [p] εἰδήσειν V, εἰδῆσαι S.T.U.W.X. [q] ἔχομεν W. [r] ἢ τῶν πάντων U. [s] τῆς om. V. [t] ἔξωμεν U. [v] λέγειν] μὲν λέγειν W, τι λέγειν T.U.V. [w] κάλλιστα] ὅτι κάλλιστα T.V.X, τι κάλλιον W, ὅτι S. [x] ἀποδ. ἡ ἀρχὴ S.T.U. [y] μὴ om. S. [z] κενῶς] περιττῶς W. [a] πάντες V. [b] κοινὰ ἅπαντα V. [c] καὶ τῆς ψυχῆς τι V. [d] δὲ om. E. [e] τῶν μὲν πλ. E.X. [f] ἄνευ τοῦ σώματος E. [g] οἷον om. W. [h] ἰδίῳ S.W.X. [i] μὴ om. S. [k] οὐδὲ— παθημάτων ἴδιον om. X. [l] ἄνευ τοῦ σώματος W. [m] τι om. S. [n] αὐτοῦ T. [o] μηθέν] μή V. [p] τὸ εὐθὺ X. [q] ᾗ εὐθεῖ W. [r] γ' om. V.W, post ἅψεται ponit X. [s] οὕτω E. [t] πάθη πάντα] παθήματα W. [v] μετὰ τοῦ σ. V. [w] καὶ τὸ μισεῖν S.W.X.

σεῖν· ἅμα [x]γὰρ τούτοις πάσχει [x]τι τὸ σῶμα. [y]Μηνύει δὲ 14
τὸ ποτὲ [z]μὲν ἰσχυρῶν καὶ ἐναργῶν παθημάτων συμβαινόντων
μηδὲν παροξύνεσθαι ἢ φοβεῖσθαι, ἐνίοτε [a]δ' ὑπὸ [b]μικρῶν καὶ
ἀμαυρῶν κινεῖσθαι, [c]ὅταν ὀργᾷ τὸ σῶμα καὶ οὕτως ἔχῃ
ὥσπερ ὅταν [d]ὀργίζηται. Ἔτι δὲ [e]τοῦτο μᾶλλον φανερόν·
μηθενὸς γὰρ φοβεροῦ συμβαίνοντος ἐν τοῖς πάθεσι γίνονται
τοῖς τοῦ φοβουμένου. Εἰ δ' οὕτως [f]ἔχει, δῆλον [g]ὅτι τὰ 15
πάθη λόγοι [h]ἔνυλοί εἰσιν. [i]Ὥστε οἱ ὅροι τοιοῦτοι οἷον τὸ
[k]ὀργίζεσθαι [l]κίνησίς [m]τις τοῦ τοιουδὶ σώματος ἢ μέρους ἢ
δυνάμεως ὑπὸ τοῦδε [n]ἕνεκα τοῦδε. Καὶ διὰ ταῦτα [o]ἤδη φυ-
σικοῦ τὸ θεωρῆσαι περὶ ψυχῆς, ἢ πάσης ἢ [p]τῆς τοιαύτης.
[q]Διαφερόντως δ' ἂν [r]ὁρίσαιντο φυσικός τε [s]καὶ διαλεκτικὸς 16
ἕκαστον αὐτῶν, οἷον [t]ὀργὴ τί ἐστίν· ὁ μὲν γὰρ ὄρεξιν ἀντι-
λυπήσεως ἤ τι [v]τοιοῦτον, ὁ δὲ ζέσιν τοῦ [w]περὶ καρδίαν αἵ-
ματος [x]καὶ θερμοῦ. Τούτων δὲ ὁ μὲν τὴν ὕλην ἀποδίδωσιν,
ὁ δὲ τὸ εἶδος καὶ τὸν λόγον. Ὁ μὲν γὰρ λόγος [y]εἶδος τοῦ 17
πράγματος, ἀνάγκη δ' [z]εἶναι τοῦτον ἐν ὕλῃ τοιᾳδί, εἰ ἔσται,
[a]ὥσπερ οἰκίας ὁ μὲν λόγος τοιοῦτος, [b]ὅτι σκέπασμα κωλυ-
τικὸν φθορᾶς ὑπ' ἀνέμων καὶ [c]ὄμβρων καὶ καυμάτων, ὁ δὲ
[d]φήσει λίθους [e]καὶ πλίνθους καὶ ξύλα, ἕτερος δ' [f]ἐν τούτοις
τὸ εἶδος, ἕνεκα τωνδί. Τίς οὖν ὁ φυσικὸς τούτων; Πότερον 18
ὁ περὶ τὴν ὕλην, τὸν δὲ λόγον ἀγνοῶν, ἢ ὁ περὶ τὸν λόγον
μόνον; Ἢ μᾶλλον ὁ ἐξ ἀμφοῖν; Ἐκείνων δὲ [g]δὴ τίς ἑκά-
τερος; Ἢ οὐκ ἔστι τις ὁ περὶ τὰ πάθη τῆς ὕλης τὰ μὴ
χωριστά, μηδ' ᾗ χωριστά, ἀλλ' ὁ φυσικὸς περὶ [h]ἅπανθ' ὅσα

[x] γὰρ et τι om. E. [y] μηνύει] σημεῖον E. [z] μὲν ὑπὸ ἰσχ. T.U.V.W.X. [a] δ'] δὲ καὶ U.V.W. [b] σμικρῶν W. [c] ἐὰν S.T.V.W.X. [d] ἐργάζηται S. [e] μᾶλλον τοῦτο S.T.V.W.X. [f] ἔχοιεν V. [g] ὅτι καὶ τὰ U.V. [h] ἐν ὕλῃ E.T. [i] ὥστε καὶ οἱ V. [k] ἐργάζεσθαι S. [l] κίνησιν E. [m] τις om. E.S. [n] ἕνεκεν W, καὶ ἕνεκα U. [o] ἤδη] δὴ S.T.V.W, om. X. [p] τῆς om. X. [q] διαφόρως X. [r] ὁρίσαιτο φ. V, ὁρίσαιτο ὁ φ. S.T.U.W.X. [s] καὶ ὁ διαλεκτικὸς W. [t] ὀργὴν X. [v] τοιοῦτο S.T.U.V.W. [w] περικαρδίου T. [x] καὶ] ἢ S.T.U.V.W.X. [y] εἶδος τοῦ] ὅδε τοῦ W, ὁ δὲ τοῦ E.S.T.V. [z] εἶναι τοιοῦτον V, τοῦτον εἶναι W. [a] ὥσπερ ἐπὶ οἰκίας W. [b] ὅτι] τις S, τις ὅτι X, ἂν εἴη T.W, ἂν εἴη ὅτι U.V. [c] καυμάτων καὶ ὄμβρων W.X, ὄμβρων καὶ πνευμάτων E. [d] φησι S.V.X. [e] καὶ om. V. [f] ἐν om. W. [g] δὴ om. U.V. [h] πάνθ' T.

[i]τοῦ [k]τοιουδὶ σώματος καὶ τῆς τοιαύτης ὕλης ἔργα καὶ πάθη·
[l]ὁπόσα δὲ μὴ [m]ᾖ τοιαῦτα, ἄλλος, καὶ περὶ [n]τινῶν μὲν τεχνί-
της, ἐὰν τύχῃ, [o]οἷον τέκτων ἢ ἰατρός, τῶν δὲ μὴ χωριστῶν
μέν, ᾗ δὲ μὴ τοιούτου σώματος πάθη καὶ ἐξ ἀφαιρέσεως, [p]ὁ
19 μαθηματικός, ᾗ δὲ κεχωρισμένα, ὁ πρῶτος φιλόσοφος. ˈἈλλ'
ἐπανιτέον ὅθεν ὁ λόγος. ˈἘλέγομεν δ' ὅτι τὰ πάθη τῆς
ψυχῆς [q]ἀχώριστα τῆς φυσικῆς ὕλης τῶν ζῴων, [r]ᾗ δὴ [s]τοιαῦθ'
ὑπάρχει, θυμὸς καὶ φόβος, καὶ οὐχ ὥσπερ γραμμὴ καὶ ἐπί-
πεδον.

2 ˈἘπισκοποῦντας [t]δὲ περὶ ψυχῆς ἀναγκαῖον ἅμα διαπο-
ροῦντας περὶ ὧν εὐπορεῖν δεῖ, [v]προελθόντας τὰς τῶν προτέ-
ρων δόξας [w]συμπαραλαμβάνειν ὅσοι τι περὶ αὐτῆς ἀπεφή-
ναντο, ὅπως τὰ μὲν [x]καλῶς εἰρημένα λάβωμεν, εἰ δέ [y]τι μὴ
καλῶς, [z]τοῦτ' εὐλαβηθῶμεν. ˈἈρχὴ δὲ τῆς ζητήσεως προ-
2 θέσθαι τὰ μάλιστα δοκοῦνθ' ὑπάρχειν αὐτῇ κατὰ φύσιν. Τὸ
ἔμψυχον δὴ τοῦ ἀψύχου [a]δυοῖν [b]μάλιστα [c]διαφέρειν δοκεῖ,
κινήσει τε καὶ τῷ αἰσθάνεσθαι. Παρειλήφαμεν δὲ καὶ παρὰ
τῶν προγενεστέρων σχεδὸν δύο ταῦτα περὶ ψυχῆς· [d]φασὶ
[e]γὰρ ἔνιοι καὶ μάλιστα καὶ [f]πρώτως ψυχὴν εἶναι τὸ κινοῦν.
Οἰηθέντες δὲ τὸ μὴ κινούμενον αὐτὸ [g]μὴ ἐνδέχεσθαι κινεῖν
3 ἕτερον, τῶν κινουμένων τι τὴν [h]ψυχὴν ὑπέλαβον εἶναι. [i]ˈὍθεν
Δημόκριτος μὲν πῦρ τι καὶ θερμόν [k]φησιν αὐτὴν εἶναι· ἀπεί-
ρων γὰρ ὄντων σχημάτων καὶ ἀτόμων τὰ σφαιροειδῆ πῦρ
καὶ ψυχὴν λέγει, οἷον ἐν τῷ ἀέρι τὰ καλούμενα ξύσματα, ἃ
φαίνεται ἐν ταῖς διὰ τῶν θυρίδων ἀκτῖσιν, ὧν τὴν πανσπερ-
4 μίαν [l]στοιχεῖα λέγει τῆς ὅλης φύσεως. ˈὉμοίως [m]δὲ καὶ

[i] τοῦ om. S.U.W. [k] τοιουδὶ] φυσικοῦ T. [l] ὅσα E. [m] ἦν E. [n] τινος T, τινα U.W. [o] οἷον] ἢ X. [p] ὁ om. E. [q] χωριστὰ T.V.X, οὔτε ὡς χωριστὰ E. [r] ᾗ δὴ] ᾗ γε U, εἴγε T, ἢ X. [s] τοιαύτη X. [t] δὲ πάλιν περὶ S. [v] προδιελθόντας S, διελθόντας X. et pr. T. [w] συμπεριλαμβάνειν T.W.X, διαλαμβάνειν V. [x] καλῶς om. T, post εἰρημένα ponit U. [y] μήτι U.V. [z] τοῦτ' ἀληθῆ θῶμεν S. [a] δυεῖν E, δυσὶ S.V.W.X. [b] μάλιστα ante δυσὶ W. [c] δοκεῖ διαφέρειν X. [d] φασὶ] φασὶ μὲν V. [e] ἔνιοι γὰρ W. [f] πρῶτον E.T. [g] μὴ ἐνδ.] μηδ' ἐνδ. V. [h] ψυχὴν οὕτως ὑπ. U. [i] ὅθεν καὶ δημόκριτος πῦρ V. [k] αὐτήν φησιν T.W. [l] τῆς ὅλης φύσεως στοιχεῖα λέγει E. [m] δὴ W.

Λεύκιππος. Τούτων [m] δὲ τὰ [n] σφαιροειδῆ ψυχήν, διὰ τὸ
μάλιστα [o] διὰ παντὸς δύνασθαι διαδύνειν τοὺς τοιούτους ῥυ-
σμούς, καὶ κινεῖν τὰ λοιπὰ κινούμενα καὶ αὐτά, ὑπολαμβά-
νοντες τὴν ψυχὴν εἶναι [p] τὸ παρέχον τοῖς ζώοις τὴν κίνησιν.
[q] Διὸ καὶ τοῦ ζῆν ὅρον εἶναι [r] τὴν ἀναπνοήν· συνάγοντος γὰρ 5
τοῦ περιέχοντος τὰ σώματα, καὶ ἐκθλίβοντος τῶν σχημάτων
τὰ παρέχοντα τοῖς ζώοις τὴν κίνησιν διὰ τὸ μηδ᾽ αὐτὰ ἠρε-
μεῖν μηδέποτε, βοήθειαν γίγνεσθαι [s] θύραθεν [t] ἐπεισιόντων
ἄλλων τοιούτων ἐν τῷ ἀναπνεῖν· [v] κωλύειν γὰρ [w] αὐτὰ καὶ
τὰ ἐνυπάρχοντα ἐν τοῖς ζώοις ἐκκρίνεσθαι, συνανείργοντα τὸ
συνάγον καὶ πηγνύον· καὶ ζῆν δὲ ἕως ἂν δύνωνται τοῦτο ποι-
εῖν. Ἔοικε δὲ καὶ τὸ παρὰ τῶν Πυθαγορείων λεγόμενον 6
τὴν αὐτὴν ἔχειν διάνοιαν· [x] ἔφασαν [y] γάρ τινες αὐτῶν ψυχὴν
εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα, οἱ δὲ τὸ ταῦτα κινοῦν. [z] Περὶ
δὲ τούτων εἴρηται, [a] διότι [b] συνεχῶς φαίνεται κινούμενα, κἂν
ᾖ νηνεμία παντελής. Ἐπὶ ταὐτὸ δὲ φέρονται καὶ ὅσοι λέ- 7
γουσι τὴν ψυχὴν τὸ [c] αὐτὸ κινοῦν· ἐοίκασι γὰρ [d] οὗτοι
πάντες ὑπειληφέναι τὴν κίνησιν οἰκειότατον εἶναι τῇ ψυχῇ,
καὶ τὰ μὲν ἄλλα πάντα κινεῖσθαι διὰ τὴν ψυχήν, ταύτην δ᾽
[e] ὑφ᾽ [f] ἑαυτῆς, διὰ τὸ μηθὲν ὁρᾶν κινοῦν ὃ μὴ καὶ αὐτὸ κι-
νεῖται. Ὁμοίως δὲ καὶ [g] Ἀναξαγόρας ψυχὴν εἶναι [h] λέγει 8
[i] τὴν κινοῦσαν, καὶ εἴ τις ἄλλος εἴρηκεν ὡς τὸ πᾶν [k] ἐκίνησε
νοῦς, οὐ μὴν παντελῶς [l] γ᾽ ὥσπερ Δημόκριτος. Ἐκεῖνος
μὲν γὰρ ἁπλῶς [m] ταὐτὸν ψυχὴν [n] καὶ νοῦν· τὸ γὰρ [o] ἀληθὲς
εἶναι τὸ φαινόμενον· διὸ καλῶς ποιῆσαι τὸν Ὅμηρον [p] ὡς
Ἕκτωρ κεῖτ᾽ ἀλλοφρονέων. Οὐ δὴ χρῆται τῷ νῷ ὡς δυνάμει
τινὶ περὶ τὴν ἀλήθειαν, [q] ἀλλὰ ταὐτὸ λέγει ψυχὴν καὶ νοῦν.

[m] δὴ W. [n] σφαιρ. πῦρ καὶ ψυχὴν V. [o] δύνασθαι διὰ παντὸς W.
[p] τὸ om. V. [q] διὸ—κίνησιν om. V. [r] τὴν εἰσπνοὴν καὶ τὴν ἀναπνοὴν S.
[s] οὐρανόθεν T. [t] εἶτ᾽ εἰσιόντων E. [v] κωλύουσι X. [w] ταῦτα U.
[x] ἔφασκον X. [y] γὰρ om. S. [z] περὶ δὲ] καὶ περὶ X. [a] ὅτι S.
[b] συχνῶς W. [c] ἑαυτὸ S.T.V.W.X. [d] πάντες οὗτοι V. [e] ἀφ᾽ V.
[f] αὐτῆς E. [g] ἐξαγόρας S. [h] λέγει om. V. [i] τὴν] εἶναι τὴν S.
[k] ἐκίνησεν ὁ νοῦς S.W.X. [l] γ᾽ om. W. [m] ταυτὸ T, ταυτὸ τὴν U.W.
[n] καὶ τὸν νοῦν U. [o] ἀληθῶς U.W. [p] ὡς ὁ ἕκτωρ S.W. [q] ἀλλ᾽
αὐτὸ V.

9 Ἀναξαγόρας δ' ἧττον [r] διασαφεῖ περὶ αὐτῶν· [s] πολλαχοῦ
μὲν [t] γὰρ [v] τὸ αἴτιον τοῦ καλῶς καὶ ὀρθῶς τὸν νοῦν λέγει,
ἑτέρωθι [w] δὲ τοῦτον εἶναι τὴν ψυχήν· [x] ἐν ἅπασι γὰρ [y] ὑπάρ-
χειν αὐτὸν τοῖς ζῴοις, καὶ μεγάλοις καὶ μικροῖς, καὶ τιμίοις καὶ
[z] ἀτιμοτέροις. Οὐ φαίνεται δ' ὅ γε κατὰ φρόνησιν [a] λεγό-
μενος νοῦς πᾶσιν [b] ὁμοίως ὑπάρχειν τοῖς ζῴοις, ἀλλ' οὐδὲ τοῖς
10 ἀνθρώποις [c] πᾶσιν. Ὅσοι μὲν [d] οὖν ἐπὶ τὸ κινεῖσθαι τὸ ἔμ-
ψυχον ἀπέβλεψαν, οὗτοι [e] τὸ κινητικώτατον ὑπέλαβον τὴν
ψυχήν· ὅσοι δ' ἐπὶ τὸ γινώσκειν καὶ [f] τὸ αἰσθάνεσθαι τῶν
ὄντων, οὗτοι [g] δὲ λέγουσι τὴν ψυχὴν τὰς ἀρχάς, οἱ [h] μὲν
πλείους [i] ποιοῦντες, οἱ δὲ μίαν [k] ταύτην, ὥσπερ Ἐμπεδοκλῆς
[l] μὲν ἐκ τῶν στοιχείων [m] πάντων εἶναι δὲ [n] καὶ ἕκαστον ψυ-
χὴν [o] τούτων, [p] λέγων οὕτω

*γαίῃ μὲν [q] γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι [r] δ' ὕδωρ,*
*αἰθέρι δ' αἰθέρα [s] δῖαν, ἀτὰρ πυρὶ πῦρ [t] ἀΐδηλον,*
*[v] στοργῇ δὲ στοργήν, νεῖκος δέ [w] τε νείκεϊ λυγρῷ.*

11 Τὸν αὐτὸν δὲ τρόπον [x] καὶ [y] Πλάτων ἐν τῷ Τιμαίῳ τὴν ψυ-
χὴν ἐκ τῶν στοιχείων ποιεῖ· γινώσκεσθαι γὰρ [z] τῷ ὁμοίῳ τὸ
ὅμοιον, τὰ δὲ πράγματα ἐκ τῶν ἀρχῶν εἶναι. Ὁμοίως δὲ
καὶ ἐν τοῖς περὶ φιλοσοφίας [a] λεγομένοις διωρίσθη, αὐτὸ μὲν
τὸ ζῷον ἐξ [b] αὐτῆς [c] τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μή-
12 κους καὶ πλάτους καὶ βάθους, τὰ δ' ἄλλα ὁμοιοτρόπως. Ἔτι
δὲ καὶ ἄλλως, νοῦν μὲν τὸ ἕν, ἐπιστήμην δὲ τὰ δύο· μοναχῶς
[d] γὰρ [e] ἐφ' ἕν· τὸν δὲ [f] τοῦ ἐπιπέδου ἀριθμὸν δόξαν, αἴσθησιν

[r] ἀσαφεῖ X. [s] πολλαχῇ E, πολλαχῶς W. [t] γὰρ ante τοῦ E. [v] τὸ om. V. [w] δὲ ταὐτὸν εἶναι τὸν νοῦν τῇ ψυχῇ V, δὲ τὸν νοῦν εἶναι ταὐτὸν τῇ ψυχῇ T.W. et, qui τὸν αὐτὸν, U. [x] ἐν om. X. [y] αὐτὸν ὑπάρχειν X. [z] ἀτιμιωτέροις U. [a] νοῦς λεγόμενος W. [b] ὑπάρχειν ὁμοίως V.X. [c] πᾶσιν om. S.T.W.X. [d] οὖν om. V. [e] τὸ om. X. [f] τὸ post καὶ om. S.T.V.W. [g] δὴ U, om. V.W. [h] μὲν οὖν πλ. X. [i] ποιοῦντες ταύτας οἱ V.W, ποιοῦντες τὰς ἀρχὰς οἱ T.U, ποιοῦντες τὰς ἀρχὰς ταύτας οἱ S.X. [k] τοιαύτην S. [l] μὲν om. S.T.W. [m] ἁπάντων W. [n] καὶ om. V. [o] τούτων om. X. [p] οὕτω λέγων S.U, om. T.W. [q] γὰρ om. V. [r] δ' om. E. [s] δία S, δῖον T.U.V.W. [t] ἄδηλον E. [v] στοργὴν δὲ στοργῇ X, στοργῇ δέ τε στοργὴν W. [w] τε] γε T, πε S, om. V.W. [x] καὶ] καὶ ὁ E, om. S.T.U.V.W. [y] πλάτων post τιμαίῳ U.W, post ψυχὴν S.T. [z] τῷ et τὸ om. U. [a] λόγοις V. [b] αὐτῆς om. U. [c] τῆς om. S. [d] γὰρ om. S.T. [e] ἐφ' ἕν] γίνεται X, om. S.T. [f] τοῦ om. S.

[g] δὲ τὸν τοῦ στερεοῦ· οἱ μὲν γὰρ ἀριθμοὶ τὰ εἴδη [h] αὐτὰ καὶ
[i] αἱ [k] ἀρχαὶ ἐλέγοντο, εἰσὶ δ' ἐκ τῶν στοιχείων. Κρίνεται δὲ
τὰ πράγματα [l] τὰ μὲν νῷ, τὰ δ' ἐπιστήμῃ, τὰ δὲ δόξῃ, τὰ δ'
αἰσθήσει· εἴδη δ' οἱ ἀριθμοὶ οὗτοι τῶν πραγμάτων. [m] Ἐπεὶ 13
δὲ καὶ κινητικὸν [n] ἐδόκει [o] ἡ ψυχὴ εἶναι καὶ [p] γνωριστικόν, οὕ-
τως ἔνιοι [q] συνέπλεξαν ἐξ ἀμφοῖν, ἀποφηνάμενοι τὴν ψυχὴν
ἀριθμὸν κινοῦνθ' ἑαυτόν. Διαφέρονται δὲ περὶ τῶν ἀρχῶν, τίνες
καὶ πόσαι, μάλιστα [r] μὲν οἱ σωματικὰς ποιοῦντες [s] τοῖς ἀσω-
μάτοις, τούτοις δ' οἱ μίξαντες καὶ ἀπ' ἀμφοῖν τὰς ἀρχὰς ἀπο-
φηνάμενοι. Διαφέρονται δὲ καὶ περὶ [t] τὸ πλῆθος· οἱ μὲν γὰρ 14
μίαν οἱ δὲ πλείους λέγουσιν. Ἑπομένως δὲ τούτοις καὶ τὴν
ψυχὴν ἀποδιδόασιν· τό [v] τε γὰρ κινητικὸν τὴν φύσιν τῶν
πρώτων ὑπειλήφασιν, οὐκ ἀλόγως. [w] Ὅθεν ἔδοξέ τισι πῦρ
εἶναι· καὶ γὰρ τοῦτο λεπτομερέστατόν τε καὶ μάλιστα τῶν
στοιχείων ἀσώματον, [x] ἔτι δὲ κινεῖταί [y] τε καὶ κινεῖ τὰ [z] ἄλλα
πρώτως. Δημόκριτος δὲ καὶ γλαφυρωτέρως εἴρηκεν [a] ἀπο- 15
φηνάμενος διὰ [b] τί τούτων ἑκάτερον· ψυχὴν μὲν [c] γὰρ εἶναι
[d] ταὐτὸ καὶ νοῦν, τοῦτο δ' [e] εἶναι τῶν πρώτων καὶ ἀδιαιρέτων
σωμάτων, κινητικὸν δὲ διὰ [f] μικρομέρειαν καὶ τὸ σχῆμα· τῶν
[g] δὲ σχημάτων εὐκινητότατον τὸ σφαιροειδὲς λέγει· τοιοῦ-
τον δ' εἶναι τόν τε νοῦν καὶ τὸ πῦρ. Ἀναξαγόρας δ' ἔοικε 16
μὲν ἕτερον λέγειν ψυχήν [h] τε καὶ νοῦν, ὥσπερ [i] εἴπομεν καὶ
πρότερον, [k] χρῆται δ' ἀμφοῖν ὡς μιᾷ φύσει, πλὴν ἀρχήν γε
τὸν νοῦν τίθεται μάλιστα [l] πάντων· μόνον γοῦν φησὶν αὐτὸν
τῶν ὄντων ἁπλοῦν εἶναι καὶ ἀμιγῆ [m] τε καὶ καθαρόν. Ἀπο- 17
δίδωσι δ' ἄμφω τῇ αὐτῇ ἀρχῇ, τό τε γινώσκειν καὶ τὸ κινεῖν,

[g] δὲ] γὰρ S. [h] αὐτὰ om. S.X. [i] αἱ om. S.T.U.V.W.X. [k] ἀρχαὶ τῶν ὄντων ἐλέγοντο U. [l] τὰ ante μὲν om. S. [m] ἐπειδὴ X. [n] ἐδόκει om. V. [o] εἶναι ἡ ψυχὴ W, ψυχῇ εἶναι U. [p] γνωστικόν V. [q] συνέλεξαν δι' V. [r] μὲν] δὲ X. [s] τὰς ἀσωμάτους X. [t] τοῦ πλήθους S.T.V.X. [v] τε om. S.T. [w] ὅθεν καὶ ἔδοξε V. [x] ἔτι δὲ] ἔτι δὲ καὶ S.T.W, καὶ V.X. [y] τε om. S.T.W. [z] ἄλλα om. S. [a] ἀποφαινόμενος E. [b] τί τὸ κινεῖσθαι καὶ κινεῖν τούτων S. [c] γὰρ om. V. [d] ταυτὸν S.T.V.X. [e] εἶναι ἐκ τῶν T.U.V.W.X. [f] λεπτομέρειαν T, μικρολεπτομέρειαν S. [g] δὲ] τε S. [h] τε om. X. [i] καὶ πρότερον εἴπομεν V. [k] χρῆσθαι E.X. [l] ἁπάντων E.S. [m] τε om. S.V.W.

λέγων νοῦν κινῆσαι τὸ πᾶν. Ἔοικε [n] δὲ καὶ Θαλῆς ἐξ ὧν ἀπομνημονεύουσι κινητικόν [o] τι τὴν ψυχὴν [p] ὑπολαβεῖν, εἴπερ
18 [q] τὸν λίθον [r] ἔφη ψυχὴν ἔχειν, ὅτι τὸν σίδηρον κινεῖ. Διογένης δ' ὥσ[s]περ καὶ ἕτεροί τινες, ἀέρα τοῦτον οἰηθεὶς πάντων [t] λεπτομερέστατον εἶναι καὶ ἀρχήν· καὶ διὰ τοῦτο γινώσκειν τε καὶ κινεῖν τὴν ψυχήν, ᾗ [v] μὲν πρῶτόν [w] ἐστι, καὶ [x] ἐκ τούτου τὰ λοιπά, γινώσκειν, ᾗ δὲ [y] λεπτότατον, κινητικὸν εἶναι.
19 Καὶ Ἡράκλειτος δὲ τὴν ἀρχὴν εἶναί [z] φησι ψυχήν, [a] εἴπερ τὴν ἀναθυμίασιν, ἐξ ἧς τἆλλα συνίστησιν· [b] καὶ ἀσωματώτατον [c] δὴ [d] καὶ ῥέον ἀεί· [e] τὸ δὲ κινούμενον κινουμένῳ γινώσκεσθαι. Ἐν κινήσει δ' εἶναι τὰ ὄντα [f] κἀκεῖνος ᾤετο καὶ
20 οἱ πολλοί. Παραπλησίως δὲ τούτοις καὶ Ἀλκμαίων ἔοικεν [g] ὑπολαβεῖν περὶ ψυχῆς· φησὶ γὰρ αὐτὴν ἀθάνατον εἶναι διὰ τὸ ἐοικέναι τοῖς ἀθανάτοις, τοῦτο δ' ὑπάρχειν αὐτῇ ὡς ἀεὶ κινουμένῃ· κινεῖσθαι [h] γὰρ καὶ τὰ θεῖα [i] πάντα συνεχῶς ἀεί, σελήνην, ἥλιον, [k] τοὺς ἀστέρας καὶ τὸν οὐρανὸν ὅλον.
21 Τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ τινὲς ἀπεφήναντο, καθάπερ Ἵππων. Πεισθῆναι δ' [l] ἐοίκασιν ἐκ τῆς γονῆς, ὅτι πάντων ὑγρά· καὶ γὰρ ἐλέγχει τοὺς αἷμα φάσκοντας τὴν ψυχήν, [m] ὅτι ἡ γονὴ οὐχ αἷμα· ταύτην δ' εἶναι [n] τὴν [o] πρώτην ψυ-
22 χήν. Ἕτεροι δ' αἷμα, καθάπερ Κριτίας, τὸ [p] αἰσθάνεσθαι ψυχῆς οἰκειότατον [q] ὑπολαμβάνοντες, τοῦτο δ' ὑπάρχειν διὰ τὴν τοῦ αἵματος φύσιν. Πάντα [r] γὰρ τὰ στοιχεῖα κριτὴν εἴληφε, πλὴν τῆς γῆς· ταύτην δ' οὐθεὶς [s] ἀποπέφανται, πλὴν εἴ τις αὐτὴν εἴρηκεν ἐκ πάντων εἶναι τῶν στοιχείων ἢ πάντα.
23 Ὁρίζονται δὲ πάντες [t] τὴν ψυχὴν τρισὶν [v] ὡς εἰπεῖν, κινήσει,

[n] δὲ om. V. [o] τι om. V. [p] ὑπολαμβάνειν T.U.V.W, ἀπολαμβάνειν S. [q] τὴν X. [r] ψυχὴν ἔφησεν S. om. ἔφη V. [s] περ om. W. [t] λεπτομερέστερον X. [v] μὲν γὰρ πρῶτον V. [w] ἔσται S. [x] ἐκ τούτου καὶ T. [y] λεπτομερέστατον T.U.V.W. [z] φησι τὴν ψυχὴν U.W. [a] εἴπερ καὶ τὴν V. [b] καὶ γὰρ ἀσ. T.U. [c] δὲ S.X, τε E.W, om. V. [d] καὶ τὸ ῥέον X. [e] τὰ δὲ κινούμενα T, τὸ κινούμενον δὲ W. [f] κἀκεῖνός τε καὶ οἱ πολλοὶ ᾤοντο X. [g] περὶ ψυχῆς ὑπολαβεῖν W. [h] γὰρ] δὲ U. [i] ἅπαντα S.T.U.V.X. [k] τοὺς om. U.V.W. [l] ἔοικεν T. [m] ὅτι—ψυχήν om. X. [n] τὴν om. S.T. [o] πρώτην om. W. [p] αἰσθ. τῆς ψυχῆς U. [q] ὑπολαβόντες X. [r] γὰρ] δ' οὖν T.V. [s] ἀποφαίνεται S.T.V.W.X. [t] τὴν om. S.T, τὴν ψυχὴν om. V. [v] ὡς om. S.

αἰσθήσει, τῷ ἀσωματῷ· τούτων δ' ἕκαστον [w] ἀνάγεται πρὸς
τὰς ἀρχάς. Διὸ καὶ οἱ τῷ γινώσκειν ὁριζόμενοι αὐτὴν [x] ἢ
στοιχεῖον ἢ ἐκ τῶν στοιχείων ποιοῦσι, λέγοντες παραπλησίως
ἀλλήλοις, πλὴν ἑνός· φασὶ γὰρ [y] γινώσκεσθαι [z] τὸ ὅμοιον
τῷ ὁμοίῳ· ἐπειδὴ γὰρ [a] ἡ ψυχὴ πάντα γιγνώσκει, [b] συνι-
στᾶσιν αὐτὴν ἐκ πασῶν τῶν ἀρχῶν. Ὅσοι μὲν οὖν μίαν 24
τινὰ λέγουσιν αἰτίαν καὶ στοιχεῖον ἕν, καὶ τὴν ψυχὴν ἓν
τιθέασιν, οἷον πῦρ ἢ ἀέρα· οἱ δὲ [c] πλείους λέγοντες τὰς
ἀρχὰς καὶ τὴν ψυχὴν πλείω [d] ποιοῦσιν. Ἀναξαγόρας [e] δὲ
μόνος ἀπαθῆ [f] φησὶν εἶναι τὸν νοῦν, καὶ κοινὸν οὐθὲν οὐθενὶ
τῶν ἄλλων ἔχειν. Τοιοῦτος δ' ὢν πῶς [g] γνωριεῖ καὶ διὰ τίν' 25
αἰτίαν, οὔτ' ἐκεῖνος εἴρηκεν οὔτ' ἐκ τῶν εἰρημένων συμφανές
ἐστιν. Ὅσοι δ' ἐναντιώσεις ποιοῦσιν ἐν ταῖς ἀρχαῖς, καὶ
τὴν ψυχὴν ἐκ τῶν ἐναντίων [h] συνιστᾶσιν· οἱ δὲ θάτερον τῶν
ἐναντίων, [i] οἷον θερμὸν ἢ ψυχρὸν ἤ τι τοιοῦτον [k] ἄλλο, καὶ
τὴν ψυχὴν ὁμοίως ἕν τι [l] τούτων τιθέασιν. Διὸ καὶ τοῖς 26
ὀνόμασιν ἀκολουθοῦσιν, οἱ [m] μὲν τὸ θερμὸν λέγοντες, [n] ὅτι
διὰ τοῦτο καὶ τὸ ζῆν ὠνόμασται, οἱ δὲ τὸ ψυχρὸν διὰ τὴν
ἀναπνοὴν καὶ τὴν κατάψυξιν καλεῖσθαι ψυχήν. Τὰ μὲν οὖν
[o] παραδεδομένα περὶ ψυχῆς, καὶ δι' ἃς αἰτίας λέγουσιν οὕτω,
ταῦτ' ἐστίν.

Ἐπισκεπτέον δὲ πρῶτον μὲν περὶ κινήσεως· ἴσως γὰρ οὐ 3
μόνον [p] ψεῦδός [q] ἐστι τὸ τὴν οὐσίαν αὐτῆς τοιαύτην εἶναι
[r] οἵαν φασὶν οἱ λέγοντες [s] ψυχὴν εἶναι τὸ κινοῦν [t] ἑαυτὸ ἢ
δυνάμενον [v] κινεῖν, ἀλλ' ἕν τι τῶν ἀδυνάτων τὸ ὑπάρχειν
[w] αὐτῇ κίνησιν. Ὅτι μὲν οὖν [x] οὐκ ἀναγκαῖον τὸ κινοῦν καὶ
αὐτὸ κινεῖσθαι, πρότερον εἴρηται. Διχῶς δὲ κινουμένου 2

[w] ἀνάγεσθαι U.W. [x] ἢ post αὐτὴν om. S.X. [y] γιγν. καὶ τὸ ὅμοιον U, τὸ ὅμοιον γιγν. S.T, καὶ τὸ ὅμοιον γίγν. V.W. [z] τῷ ὁμ. τὸ ὅμ. X. [a] ἡ om. E. [b] συνίστησιν X. [c] πλείω U.V.W. [d] ποιοῦσιν] λέγουσιν S.T.U.W. [e] δὲ om. S. [f] φύσιν V. [g] γνωρίζει S.U. [h] συνιστᾶσιν om. T. [i] οἷον om. T.V. [k] ἄλλο om. X, ἄλλο—τούτων om. E. [l] τούτων εἶναι τιθ. U. [m] μὲν γὰρ τὸ E. [n] ὅτι—ὠνόμασται om. V. [o] παραδεόμενα S. [p] ψευδές W. [q] ἐστι om. X. [r] οἵαν—ψυχὴν margo W. [s] εἶναι τὴν ψυχὴν U. [t] αὐτὸ U.W. [v] κινοῦν X. [w] αὐτῇ τὴν κ. W. [x] οὐκ om. S.

[y]παντός (ἡ [z]γὰρ καθ' ἕτερον ἢ καθ' αὑτό· καθ' ἕτερον δὲ
λέγομεν, ὅσα κινεῖται τῷ ἐν κινουμένῳ εἶναι, [a]οἷον πλωτῆρες·
οὐ γὰρ ὁμοίως κινοῦνται τῷ πλοίῳ· τὸ μὲν γὰρ καθ' αὑτὸ
3 κινεῖται, οἱ δὲ τῷ [b]ἐν κινουμένῳ εἶναι. Δῆλον δ' ἐπὶ τῶν
μορίων· οἰκεία [c]μὲν γάρ ἐστι κίνησις ποδῶν [d]βάδισις, αὕτη
δὲ [e]καὶ [f]ἀνθρώπων· οὐχ ὑπάρχει δὲ τοῖς πλωτῆρσι τότε)
[g]διχῶς [h]δὲ λεγομένου τοῦ κινεῖσθαι, νῦν [i]ἐπισκοποῦμεν περὶ
τῆς ψυχῆς εἰ καθ' αὑτὴν κινεῖται καὶ μετέχει κινήσεως.
4 Τεσσάρων δὲ [k]κινήσεων οὐσῶν, [l]φορᾶς ἀλλοιώσεως [m]φθί-
σεως αὐξήσεως, ἢ μίαν τούτων κινοῖτ' ἂν ἢ πλείους ἢ πάσας.
Εἰ δὲ κινεῖται μὴ κατὰ συμβεβηκός, φύσει ἂν ὑπάρχοι κίνη-
σις αὐτῇ· εἰ δὲ τοῦτο, καὶ τόπος· πᾶσαι γὰρ αἱ λεχθεῖσαι
5 κινήσεις ἐν τόπῳ. Εἰ δ' ἐστὶν [n]ἡ οὐσία τῆς ψυχῆς τὸ κι-
νεῖν ἑαυτήν, οὐ κατὰ συμβεβηκὸς [o]αὐτῇ τὸ κινεῖσθαι [p]ὑπάρ-
ξει, ὥσπερ τῷ λευκῷ ἢ [q]τῷ τριπήχει· κινεῖται γὰρ καὶ
ταῦτα, ἀλλὰ κατὰ συμβεβηκός· ᾧ γὰρ ὑπάρχουσιν, ἐκεῖνο
κινεῖται τὸ σῶμα. Διὸ [r]καὶ οὐκ [s]ἔστι τόπος αὐτῶν· [t]τῆς
6 δὲ ψυχῆς ἔσται, εἴπερ φύσει κινήσεως μετέχει. Ἔτι δ' εἰ
φύσει κινεῖται, [v]κἂν βίᾳ κινηθείη· κἂν εἰ βίᾳ, [w]καὶ φύσει.
Τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ ἠρεμίας· εἰς ὃ γὰρ κινεῖ-
ται φύσει, καὶ ἠρεμεῖ ἐν τούτῳ φύσει· ὁμοίως δὲ [x]καὶ εἰς ὃ
κινεῖται βίᾳ, καὶ ἠρεμεῖ ἐν τούτῳ βίᾳ. Ποῖαι δὲ βίαιοι τῆς
[y]ψυχῆς κινήσεις ἔσονται καὶ ἠρεμίαι, οὐδὲ [z]πλάττειν βουλο-
7 μένοις ῥᾴδιον ἀποδοῦναι. Ἔτι δ' εἰ μὲν ἄνω κινήσεται, πῦρ
ἔσται, εἰ δὲ κάτω, γῆ· τούτων γὰρ τῶν σωμάτων [a]αἱ κινή-
σεις αὗται. Ὁ δ' [b]αὐτὸς λόγος καὶ περὶ [c]τῶν μεταξύ.
[d]Ἔτι δ' ἐπεὶ φαίνεται κινοῦσα τὸ σῶμα, [e]ταύτας εὔλογον

[y] παντός om. S. [z] γὰρ om. W. [a] οἷον οἱ πλ. W. [b] ἐν τῷ S.X. [c] μὲν om. S. [d] βάσις U. [e] καὶ om. W. [f] ἀνθρώπῳ V. [g] δισσῶς E. [h] δὲ] οὖν U. [i] περισκοποῦμεν V. [k] οὐσῶν κινήσεων V. [l] φθορᾶς S. [m] φθίσεως om. pr. E. [n] ἡ om. X. [o] τὸ κινεῖσθαι αὐτῇ S.U. [p] ὑπάρχει E. [q] τῷ post ἢ om. E.S.X. [r] καὶ om. V.W. [s] ἔστιν ὁ τόπος T. [t] τῇ δὲ ψυχῇ V. [v] καὶ ἂν W. [w] καὶ φύσει] κατὰ φύσιν E. [x] καὶ post δὲ om. T. [y] ψυχῆς αἱ κ. T. [z] πλάσσειν X. [a] αὗται αἱ κινήσεις V. [b] αὐτὸς] αὖ S. [c] τῶν ἀέρος λέγω καὶ ὕδατος μεταξύ W. [d] ἔπειτα δ' εἰ E. corr. [e] εὔλογον ταύτας S.T.V.W.X.

κινεῖν τὰς κινήσεις ἃς [f] καὶ αὐτὴ κινεῖται. Εἰ δὲ τοῦτο, καὶ
ἀντιστρέψασιν εἰπεῖν ἀληθὲς ὅτι ἣν τὸ σῶμα κινεῖται, ταύ-
την καὶ αὐτή. Τὸ δὲ σῶμα κινεῖται [g] φορᾷ· ὥστε καὶ ἡ 8
ψυχὴ μεταβάλλοι ἂν κατὰ τὸ [h] σῶμα ἢ ὅλη ἢ κατὰ μόρια
μεθισταμένη. Εἰ δὲ τοῦτ' [i] ἐνδέχεται, καὶ ἐξελθοῦσαν
[k] εἰσιέναι πάλιν [l] ἐνδέχοιτ' ἄν· τούτῳ δ' ἕποιτ' ἂν τὸ ἀνί-
στασθαι τὰ τεθνεῶτα τῶν ζῴων. Τὴν δὲ κατὰ συμβεβηκὸς
κίνησιν [m] κἂν ὑφ' ἑτέρου κινοῖτο· ὠσθείη γὰρ ἂν βίᾳ τὸ
ζῷον. Οὐ δεῖ δὲ ᾧ τὸ ὑφ' [n] ἑαυτοῦ κινεῖσθαι ἐν τῇ οὐσίᾳ, 9
τοῦθ' ὑπ' ἄλλου κινεῖσθαι, πλὴν εἰ [o] μὴ κατὰ συμβεβηκός,
ὥσπερ οὐδὲ τὸ καθ' αὑτὸ ἀγαθὸν ἢ δι' αὑτό, τὸ μὲν δι' ἄλλο
[p] εἶναι, τὸ δ' ἑτέρου [q] ἕνεκεν. Τὴν δὲ ψυχὴν [r] μάλιστα φαίη
[s] τις ἂν ὑπὸ τῶν [t] αἰσθητῶν κινεῖσθαι, εἴπερ κινεῖται. Ἀλλὰ 10
μὴν καὶ εἰ κινεῖ [v] γε αὐτὴ [w] αὑτήν, καὶ αὐτὴ κινοῖτ' ἄν, [x] ὥστ'
εἰ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ κινουμένου [y] ᾗ κινεῖται, καὶ
ἡ ψυχὴ [z] ἐξίσταιτ' ἂν [a] ἐκ τῆς οὐσίας, εἰ μὴ κατὰ συμβεβη-
κὸς [b] αὑτὴν κινεῖ. Ἀλλ' ἔστιν ἡ κίνησις τῆς οὐσίας [c] αὐτῆς
καθ' αὑτήν. Ἔνιοι δὲ καὶ κινεῖν [d] φασὶ τὴν ψυχὴν τὸ σῶ- 11
μα ἐν ᾧ ἐστίν, ὡς αὐτὴ κινεῖται, οἷον Δημόκριτος, παραπλη-
σίως λέγων Φιλίππῳ τῷ [e] κωμῳδοδιδασκάλῳ. Φησὶ γὰρ
τὸν Δαίδαλον κινουμένην ποιῆσαι τὴν ξυλίνην Ἀφροδίτην,
ἐγχέαντ' ἄργυρον χυτόν. Ὁμοίως [f] δὲ [g] καὶ Δημόκριτος 12
λέγει· κινουμένας γάρ [h] φησι τὰς ἀδιαιρέτους σφαίρας διὰ
τὸ πεφυκέναι μηδέποτε μένειν, συνεφέλκειν [i] καὶ κινεῖν τὸ
σῶμα πᾶν. Ἡμεῖς δ' [k] ἐρωτήσομεν εἰ καὶ [l] ἠρέμησιν ποιεῖ

[f] καὶ om. V. [g] φορὰν S. [h] σῶμα καὶ αὐτὴ ἢ U. [i] ἐνδέχοιτο S.T.V.W. [k] εἰσιέναι καὶ πάλιν W. [l] ἐνδέχοιτ' ἂν om. S.W.X. [m] καὶ W. [n] αὑτοῦ V. [o] μὴ om. E. [p] εἶναι] ἐστὶ X. [q] ἕνεκα T.U. [r] μάλιστα ante ὑπὸ W. [s] ἄν τις X. [t] αἰσθητικῶν S. [v] γε om. S.T.V.W. [w] ἑαυτὴν S.T.U.V.W. [x] ὥστ'] εἶτ' V. [y] ᾗ om. V. [z] ἐξισταίη T, ἐξίσταται (omisso ἂν) S.W.X. [a] ἐκ] αὐτῆς V, om. T.W. [b] ἑαυτὴν E.S. [c] αὐτῇ S.V. [d] τὴν ψυχήν φασι S.T.W. [e] κωμῳδιδασκάλῳ T.U.V.W.X. [f] δὲ om. W. [g] καὶ ὁ δ. S. [h] φησι om. X. [i] καὶ] τε καὶ T.V. [k] ἐρωτήσωμεν S.T.U.V.W. [l] ἠρεμήσειν ποιεῖ τοῦτ' αὐτὸ S.T.U.W, ἠρεμεῖν ποιεῖ τοῦτ' αὐτό X, ἠρεμήσειν τοῦτο ποιεῖ ποτέ V.

*ταὐτὰ ταῦτα. Πῶς δὲ* [m] *ποιήσει, χαλεπὸν* [n] *ἢ* [o] *καὶ ἀδύνα-*
13 *τον εἰπεῖν. Ὅλως δ' οὐχ οὕτω φαίνεται* [p] *κινεῖν ἡ ψυχὴ*
*τὸ ζῷον, ἀλλὰ διὰ προαιρέσεώς τινος καὶ νοήσεως. Τὸν*
*αὐτὸν δὲ τρόπον καὶ ὁ Τίμαιος φυσιολογεῖ τὴν ψυχὴν κινεῖν*
*τὸ σῶμα· τῷ γὰρ κινεῖσθαι αὐτὴν καὶ τὸ σῶμα κινεῖν διὰ τὸ*
14 [q] *συμπεπλέχθαι πρὸς αὐτό.* [r] *Συνεστηκυῖαν γὰρ ἐκ τῶν*
*στοιχείων,* [s] *καὶ μεμερισμένην κατὰ τοὺς ἁρμονικοὺς ἀριθμούς,*
*ὅπως αἴσθησίν* [t] *τε σύμφυτον* [v] *ἁρμονίας ἔχῃ καὶ τὸ πᾶν*
[w] *φέρηται συμφώνους φοράς, τὴν εὐθυωρίαν εἰς κύκλον κατέ-*
*καμψεν· καὶ* [x] *διελὼν ἐκ τοῦ* [y] *ἑνὸς* [z] *δύο κύκλους δισσαχῇ συν-*
*ημμένους πάλιν τὸν ἕνα διεῖλεν εἰς ἑπτὰ κύκλους, ὡς οὔσας*
15 *τὰς τοῦ οὐρανοῦ φορὰς τὰς τῆς ψυχῆς κινήσεις. Πρῶτον*
*μὲν* [a] *οὖν οὐ καλῶς τὸ λέγειν τὴν ψυχὴν μέγεθος εἶναι· τὴν*
*γὰρ τοῦ παντὸς δῆλον ὅτι τοιαύτην* [b] *εἶναι βούλεται οἷόν ποτ'*
*ἐστὶν ὁ καλούμενος νοῦς· οὐ γὰρ* [c] *δὴ οἷόν* [d] *γ'* [e] *ἡ αἰσθητική,*
*οὐδ' οἷον ἡ ἐπιθυμητική· τούτων γὰρ ἡ κίνησις οὐ κυκλοφο-*
16 *ρία. Ὁ δὲ νοῦς εἷς καὶ συνεχής, ὥσπερ καὶ* [f] *ἡ νόησις· ἡ*
*δὲ νόησις τὰ νοήματα· ταῦτα δὲ τῷ ἐφεξῆς ἕν,* [g] *ὡς ἀριθμός,*
*ἀλλ' οὐχ ὡς τὸ μέγεθος. Διόπερ* [h] *οὐδ' ὁ νοῦς οὕτω συνεχής,*
*ἀλλ' ἤτοι ἀμερὴς ἢ οὐχ ὡς μέγεθός τι συνεχής· πῶς γὰρ δὴ*
*καὶ νοήσει μέγεθος* [i] *ὢν ὁτῳοῦν* [k] *τῶν μορίων* [l] *τῶν* [m] *αὐτοῦ;*
*μορίων δ' ἤτοι κατὰ μέγεθος ἢ κατὰ στιγμήν, εἰ δεῖ καὶ*
17 *τοῦτο μόριον εἰπεῖν. Εἰ μὲν οὖν κατὰ στιγμήν, αὗται δ'*
*ἄπειροι, δῆλον ὡς οὐδέποτε διέξεισιν, εἰ δὲ κατὰ μέγεθος,*
*πολλάκις ἢ ἀπειράκις νοήσει* [n] *τὸ αὐτό. Φαίνεται δὲ καὶ*
*ἅπαξ ἐνδεχόμενον. Εἰ* [o] *δ'* [p] *ἱκανὸν θιγεῖν ὁτῳοῦν τῶν μο-*
*ρίων, τί δεῖ κύκλῳ κινεῖσθαι ἢ* [q] *καὶ ὅλως μέγεθος ἔχειν; Εἰ*

[m] *ποιήσει τοῦτο χ.* U. [n] *ἢ* om. W. [o] *καὶ* om. V.X. [p] *ἡ ψυχὴ κινεῖν* V. [q] *συμπεπλῆχθαι* E. [r] *συνεστηκέναι* V. [s] *καὶ* om. V. [t] *τε*] *τε καὶ* T.U. [v] *ἁρμονίαν* T.U.W. [w] *συμφέρηται* W, *φθείρηται* T. [x] *διόλων* S. [y] *ἑνὸς κύκλου δύο κ.* U.W. [z] *κύκλους δύο* E. [a] *οὖν* om. W. [b] *βούλεται εἶναι* X. [c] *δὴ* om. S. [d] *γ'* om. W. [e] *ἡ* post *γ'* om. X. [f] *ἡ δὲ νόησις*] *καὶ* X. [g] *ὡς ὁ ἀριθμὸς* U. [h] *οὐδὲ νοῦς* U.W. [i] *ὢν*] *ὢν πότερον* E, *ὢν ἐν* V. [k] *τῶν μορίων*] *μορίῳ* E. [l] *τῶν* om. V [m] *ἑαυτοῦ* T. [n] *ταυτό* X. [o] *δ'*] *δὴ* X. [p] *ἱκανὸν* om. W. [q] *καὶ* om. S.V.W.

δ' ἀναγκαῖον νοῆσαι τῷ ὅλῳ κύκλῳ [r] θιγόντα, τίς ἐστιν ἡ
[s] τοῖς μορίοις θίξις; Ἔτι δὲ πῶς νοήσει τὸ μεριστὸν ἀμε- 18
ρεῖ καὶ τὸ ἀμερὲς μεριστῷ; [t] Ἀναγκαῖον [v] δὲ [w] τὸν νοῦν
[x] εἶναι τὸν κύκλον τοῦτον. Νοῦ μὲν γὰρ κίνησις νόησις,
κύκλου δὲ περιφορά. [y] Εἰ οὖν ἡ νόησις περιφορά, καὶ νοῦς
ἂν [z] εἴη ὁ κύκλος, οὗ ἡ τοιαύτη περιφορὰ νόησις. Ἀεὶ [a] δὲ 19
δή τι νοήσει· δεῖ γάρ, εἴπερ ἀΐδιος ἡ περιφορά· τῶν μὲν
[b] γὰρ πρακτικῶν [c] νοήσεων ἔστι πέρατα (πᾶσαι γὰρ ἑτέρου
χάριν), αἱ δὲ θεωρητικαὶ τοῖς λόγοις ὁμοίως ὁρίζονται.
Λόγος δὲ [d] πᾶς ὁρισμὸς ἢ ἀπόδειξις. [e] Αἱ δ' ἀποδείξεις καὶ 20
ἀπ' ἀρχῆς, καὶ [f] ἔχουσί πως τέλος τὸν συλλογισμὸν ἢ τὸ
συμπέρασμα· εἰ δὲ μὴ περατοῦνται, ἀλλ' οὐκ ἀνακάμπτουσί
[g] γε πάλιν ἐπ' ἀρχήν, [h] προσλαμβάνουσαι δ' ἀεὶ μέσον καὶ
ἄκρον εὐθυποροῦσιν· ἡ δὲ περιφορὰ πάλιν ἐπ' ἀρχὴν ἀνα-
κάμπτει. Οἱ δ' ὁρισμοὶ πάντες πεπερασμένοι. Ἔτι [i] εἰ ἡ 21
αὐτὴ [k] περιφορὰ πολλάκις, δεήσει πολλάκις νοεῖν [l] τὸ αὐτό.
Ἔτι δ' ἡ νόησις ἔοικεν ἠρεμήσει τινὶ καὶ ἐπιστάσει μᾶλλον
ἢ κινήσει· τὸν αὐτὸν [m] δὲ τρόπον καὶ ὁ συλλογισμός.
Ἀλλὰ μὴν οὐδὲ μακάριόν γε τὸ μὴ ῥᾴδιον ἀλλὰ βίαιον· εἰ
δ' ἐστὶν ἡ κίνησις αὐτῆς μὴ [n] οὐσία, παρὰ φύσιν [o] ἂν κινοῖτο.
Ἐπίπονον δὲ καὶ τὸ μεμῖχθαι τῷ σώματι μὴ δυνάμενον 22
ἀπολυθῆναι, καὶ προσέτι φευκτόν, εἴπερ βέλτιον τῷ νῷ μὴ
μετὰ σώματος [p] εἶναι, καθάπερ εἴωθέ τε λέγεσθαι καὶ πολ-
λοῖς [q] συνδοκεῖ. Ἄδηλος δὲ [r] καὶ τοῦ κύκλῳ φέρεσθαι τὸν 23
οὐρανὸν ἡ αἰτία· οὔτε γὰρ τῆς ψυχῆς ἡ οὐσία αἰτία τοῦ
κύκλῳ φέρεσθαι, ἀλλὰ κατὰ συμβεβηκὸς οὕτω κινεῖται, οὔτε
τὸ σῶμα αἴτιον, ἀλλ' ἡ ψυχὴ μᾶλλον [s] ἐκείνῳ. Ἀλλὰ μὴν
[t] οὐδ' ὅτι βέλτιον λέγεται· καίτοι γ' ἐχρῆν διὰ τοῦτο τὸν

[r] θίγοντι V. [s] τῶν μορίων W. [t] ἀνάγκη W. [v] τε X. [w] τὸ S. [x] εἶναι post ἀναγκαῖον δὲ V. [y] εἰ οὖν ἡ] ἡ οὖν W. [z] ὁ κύκλος εἴη X. [a] δή om. W. [b] γὰρ ποιητικῶν ἢ πρ. S.U.W.X. [c] κινήσεων S. [d] πᾶς] πᾶς ἢ U. [e] αἱ δ' ἀπ. καὶ] ἡ μὲν οὖν ἀπόδειξις E. [f] ἔχουσα E. [g] γε om. V. [h] προσαναλαμβάνουσαι E. [i] εἰ] δ' S. [k] φορὰ X. [l] ταυτὸ X. [m] δὴ V. [n] οὐσία καὶ παρὰ X. [o] ἂν κινοῖτο E: ceteri κινοῖτ' ἄν. [p] εἶναι καὶ καθάπερ S. [q] δοκεῖ W. [r] καὶ om. W. [s] ἐκεῖνο T. [t] οὐ βελτιον δ' ὅτι S.

θεὸν [v] κύκλῳ ποιεῖν φέρεσθαι τὴν ψυχήν, ὅτι βέλτιον αὐτῇ
24 τὸ κινεῖσθαι τοῦ μένειν, κινεῖσθαι δ' οὕτως ἢ ἄλλως. Ἐπεὶ
δ' ἐστὶν ἡ τοιαύτη σκέψις ἑτέρων λόγων οἰκειοτέρα, ταύτην
μὲν ἀφῶμεν [w] τὸ νῦν. Ἐκεῖνο δὲ ἄτοπον συμβαίνει καὶ
τούτῳ τῷ λόγῳ καὶ τοῖς πλείστοις [x] τῶν περὶ ψυχῆς· συν-
άπτουσι γὰρ καὶ τιθέασιν εἰς σῶμα τὴν ψυχήν, οὐθὲν [y] προσ-
διορίσαντες διὰ τίν' αἰτίαν καὶ πῶς ἔχοντος τοῦ σώματος.
25 Καίτοι [z] δόξειεν ἂν τοῦτ' ἀναγκαῖον εἶναι· διὰ γὰρ τὴν κοι-
νωνίαν τὸ μὲν [a] ποιεῖ τὸ δὲ πάσχει καὶ τὸ μὲν κινεῖται τὸ δὲ
κινεῖ, τούτων δ' οὐθὲν ὑπάρχει πρὸς ἄλληλα τοῖς τυχοῦσιν.
26 Οἱ δὲ [b] μόνον ἐπιχειροῦσι λέγειν ποῖόν τι ἡ ψυχή, περὶ δὲ
τοῦ [c] δεξομένου σώματος οὐθὲν ἔτι προσδιορίζουσιν, ὥσπερ
ἐνδεχόμενον κατὰ τοὺς Πυθαγορικοὺς μύθους τὴν τυχοῦσαν
ψυχὴν εἰς τὸ τυχὸν [d] ἐνδύεσθαι σῶμα· δοκεῖ γὰρ ἕκαστον
[e] ἴδιον ἔχειν εἶδος [f] καὶ μορφήν. [g] Παραπλήσιον [h] δὲ λέγου-
σιν ὥσπερ εἴ τις φαίη τὴν τεκτονικὴν εἰς αὐλοὺς ἐνδύεσθαι·
δεῖ γὰρ τὴν μὲν τέχνην χρῆσθαι τοῖς ὀργάνοις, τὴν δὲ ψυ-
χὴν τῷ σώματι.

4 Καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς, πιθανὴ
μὲν [i] πολλοῖς οὐδεμιᾶς [k] ἧττον τῶν λεγομένων, [l] λόγους δ'
ὥσπερ εὐθύνας δεδωκυῖα καὶ τοῖς [m] ἐν κοινῷ [n] γινομένοις λό-
γοις· ἁρμονίαν γάρ τινα [o] αὐτὴν λέγουσι· καὶ γὰρ τὴν [p] ἁρ-
μονίαν κρᾶσιν καὶ σύνθεσιν [q] ἐναντίων εἶναι, καὶ τὸ σῶμα
2 [r] συγκεῖσθαι ἐξ ἐναντίων. Καίτοι [s] γε ἡ μὲν ἁρμονία λόγος
τίς ἐστι τῶν μιχθέντων [t] ἢ σύνθεσις, τὴν δὲ ψυχὴν οὐδέτερον
[v] οἷόν τ' εἶναι τούτων. Ἔτι δὲ τὸ κινεῖν οὐκ ἔστιν ἁρμο-

[v] ποιεῖν κύκλῳ S.V.W. [w] τὰ T. [x] τῶν] τοῖς E. [y] προδιορίσαντες S, προσδιορίσαντες καὶ V. [z] δόξειέ γ' ἂν S. [a] ποιεῖ τι τὸ S.T.V.W.X. [b] λέγειν μόνον ἐπιχειροῦσιν W. [c] δεξαμένου S. [d] ἐνδύεσθαι om. S. [e] εἶδος ἴδιον ἔχειν W. [f] καὶ] σῶμα καὶ E. [g] παραπλησίως S. [h] δὴ S.X, δή τι T.V.W. [i] πολλοῖς καὶ οὐδεμιᾶς T.W. [k] ἥττων T.V.W.X. et corr. S. [l] λόγοις V. [m] ἐν τῷ κοινῷ S. [n] γινομένοις λόγοις] λεγομένοις λόγοις W, λεγομένοις S. [o] αὐτήν τινες λ. V.W. [p] ἁρμονίας S. [q] ἐναντίον S. [r] κινεῖσθαι S. [s] γε om. E. [t] ἢ] ἢ καὶ T.W. [v] τούτων οἷόν τ' εἶναι V.

νίας, ψυχῇ δὲ [w]πάντες ἀπονέμουσι τοῦτο μάλισθ' ὡς εἰπεῖν.
‘Ἁρμόζει [x]δὲ μᾶλλον καθ' [y]ὑγιείας λέγειν ἁρμονίαν, καὶ
ὅλως τῶν σωματικῶν ἀρετῶν, ἢ κατὰ ψυχῆς. [z]Φανερώτα- 3
τον [a]δ' εἴ τις ἀποδιδόναι πειραθείη τὰ πάθη καὶ τὰ ἔργα
τῆς ψυχῆς ἁρμονίᾳ τινί· χαλεπὸν γὰρ ἐφαρμόζειν. ‘Ἔτι
δ' [b]εἰ [c]λέγοιμεν τὴν ἁρμονίαν εἰς δύο ἀποβλέποντες, κυριώ-
τατα μὲν τῶν μεγεθῶν ἐν τοῖς ἔχουσι κίνησιν καὶ [d]θέσιν τὴν
σύνθεσιν αὐτῶν, ἐπειδὰν οὕτω [e]συναρμόζωσιν ὥστε μηδὲν
[f]συγγενὲς παραδέχεσθαι, ἐντεῦθεν δὲ καὶ τὸν τῶν μεμιγμέ-
νων λόγον. Οὐδετέρως μὲν οὖν εὔλογον, ἡ δὲ σύνθεσις τῶν 4
τοῦ σώματος μερῶν λίαν εὐεξέταστος· πολλαί τε γὰρ [g]αἱ
συνθέσεις τῶν [h]μερῶν καὶ πολλαχῶς· τίνος οὖν ἢ πῶς ὑπο-
λαβεῖν [i]τὸν νοῦν χρὴ σύνθεσιν εἶναι, ἢ [k]καὶ τὸ αἰσθητικὸν
[l]ἢ ὀρεκτικόν; ‘Ὁμοίως δὲ ἄτοπον καὶ [m]τὸν λόγον [n]τῆς 5
μίξεως εἶναι τὴν ψυχήν· οὐ γὰρ τὸν αὐτὸν ἔχει λόγον ἡ
μίξις τῶν στοιχείων καθ' ἣν σὰρξ καὶ καθ' ἣν ὀστοῦν. Συμ-
βήσεται οὖν πολλάς τε ψυχὰς ἔχειν καὶ κατὰ πᾶν τὸ σῶμα,
εἴπερ πάντα μὲν ἐκ τῶν στοιχείων μεμιγμένων, [o]ὁ δὲ τῆς
μίξεως λόγος ἁρμονία καὶ ψυχή. ‘Ἀπαιτήσειε δ' ἄν τις 6
[p]τοῦτό γε καὶ παρ' ‘Ἐμπεδοκλέους· ἕκαστον γὰρ [q]αὐτῶν
λόγῳ τινί φησιν εἶναι· πότερον οὖν [r]ὁ λόγος ἐστὶν ἡ ψυχή,
ἢ μᾶλλον ἕτερόν τι οὖσα [s]ἐγγίνεται τοῖς [t]μέλεσιν; ‘Ἔτι
δὲ [v]πότερον ἡ φιλία τῆς [w]τυχούσης αἰτία μίξεως ἢ τῆς κατὰ
[x]τὸν λόγον; Καὶ αὕτη πότερον ὁ λόγος ἐστὶν ἢ παρὰ τὸν
λόγον ἕτερόν τι; Ταῦτα μὲν οὖν ἔχει τοιαύτας ἀπορίας· 7
εἰ δ' ἐστὶν ἕτερον ἡ ψυχὴ τῆς μίξεως, τί δή ποτε [y]ἅμα [z]τῷ
σαρκὶ εἶναι ἀναιρεῖται καὶ [a]τῷ τοῖς ἄλλοις μορίοις τοῦ ζῴου;

[w] ἀπονέμουσιν ἅπαντες τοῦτο S.T.V.W, ἅπαντες ἀπ. τ. X. [x] τε X. [y] ὑγείας X. [z] φανερωτάτων E, φανερώτερον S.V. [a] δ' ἂν εἴη εἰ W. [b] ἐπεὶ V. [c] λέγομεν S.T.V.X. [d] θέσιν καὶ τὴν X. [e] συναρμοσθῶσιν X. [f] συνγενέσθαι E. [g] αἱ om. T.V. [h] μερῶν] πολλῶν T. [i] χρὴ τὸν νοῦν S.T.V.W. [k] καὶ om. W. [l] ἢ καὶ ὀρ. X, ἢ τὸ ὀρ. W. [m] τὸ V.X. [n] εἶναι τῆς μίξεως X. [o] ὁ] οὐ W. [p] γε τοῦτο W. [q] αὐτῶν ἐν λόγῳ W. [r] ὁ om. V. [s] ἐγίνετο T. [t] μέρεσιν W. et pr. E, μιχθεῖσιν X. [v] ἡ φίλια πότερον X. [w] τυχούσης] ψυχῆς S. [x] τὸν om. W. [y] ἅμα post ἀναιρεῖται W. [z] τὸ V. [a] τὸ T, om. S.V.W.

Πρὸς δὲ τούτοις εἴπερ μὴ ἕκαστον τῶν μορίων ψυχὴν ἔχει, εἰ
μή ἐστιν ἡ ψυχὴ [b]ὁ λόγος τῆς μίξεως, τί ἐστιν ὃ φθείρεται τῆς
8 ψυχῆς [c]ἀπολειπούσης; ʹΟτι μὲν οὖν οὐθ' ἁρμονίαν οἷόν τ' εἶναι
τὴν ψυχὴν οὔτε κύκλῳ περιφέρεσθαι, δῆλον ἐκ τῶν εἰρημέ-
νων. Κατὰ συμβεβηκὸς δὲ [d]κινεῖσθαι, καθάπερ εἴπομεν,
[e]ἔστι [f]καὶ κινεῖν ἑαυτήν, οἷον κινεῖσθαι μὲν ἐν ᾧ ἐστί, τοῦτο
δὲ κινεῖσθαι ὑπὸ τῆς ψυχῆς· ἄλλως δ' οὐχ οἷόν τε [g]κινεῖσθαι
9 κατὰ τόπον αὐτήν. Εὐλογώτερον δ' ἀπορήσειεν ἄν τις περὶ
αὐτῆς ὡς κινουμένης, εἰς τὰ τοιαῦτα ἀποβλέψας. Φαμὲν
γὰρ τὴν ψυχὴν λυπεῖσθαι χαίρειν, θαρρεῖν φοβεῖσθαι, ἔτι δὲ
ὀργίζεσθαί [h]τε καὶ αἰσθάνεσθαι [i]καὶ διανοεῖσθαι· ταῦτα δὲ
10 πάντα κινήσεις εἶναι δοκοῦσιν. ʹΟθεν οἰηθείη τις ἂν αὐτὴν
[k]κινεῖσθαι· τὸ δ' οὐκ ἔστιν ἀναγκαῖον· εἰ γὰρ καὶ ὅτι μά-
λιστα τὸ λυπεῖσθαι ἢ χαίρειν ἢ διανοεῖσθαι κινήσεις εἰσί, καὶ
ἕκαστον κινεῖσθαι [l]τούτων, τὸ δὲ κινεῖσθαί ἐστιν ὑπὸ τῆς
ψυχῆς, οἷον τὸ ὀργίζεσθαι [m]ἢ φοβεῖσθαι [n]τῷ τὴν καρδίαν
ὡδὶ [o]κινεῖσθαι, τὸ δὲ διανοεῖσθαι ἢ τοιοῦτον [p]ἴσως ἢ ἕτερόν
τι· τούτων δὲ συμβαίνει τὰ μὲν κατὰ φορὰν τινῶν κινουμέ-
νων, τὰ δὲ κατ' ἀλλοίωσιν. Ποῖα δὲ καὶ πῶς, ἕτερός ἐστι
11 λόγος. [q]Τὸ δὲ λέγειν ὀργίζεσθαι τὴν ψυχὴν ὅμοιον κἂν
εἴ τις [r]λέγοι τὴν ψυχὴν ὑφαίνειν ἢ οἰκοδομεῖν· βέλτιον γὰρ
ἴσως μὴ λέγειν τὴν ψυχὴν ἐλεεῖν ἢ μανθάνειν ἢ διανοεῖσθαι,
12 ἀλλὰ τὸν ἄνθρωπον τῇ ψυχῇ. [s]Τοῦτο δὲ μὴ ὡς ἐν ἐκείνῃ
τῆς κινήσεως [t]οὔσης, ἀλλ' ὁτὲ μὲν [v]μέχρι ἐκείνης, ὁτὲ [w]δ'
ἀπ' ἐκείνης, οἷον ἡ μὲν αἴσθησις ἀπὸ [x]τωνδί, ἡ δ' ἀνάμνησις
ἀπ' ἐκείνης ἐπὶ τὰς ἐν τοῖς αἰσθητηρίοις κινήσεις ἢ μονάς.
ʹΟ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι οὐσία τις οὖσα, καὶ οὐ φθείρε-
13 σθαι. Μάλιστα γὰρ ἐφθείρετ' ἂν ὑπὸ τῆς ἐν τῷ γήρᾳ

[b] ὁ om. T. [c] ἀπολιπούσης T.V.X. [d] καθάπερ εἴπομεν κινεῖσθαι V.
[e] ἔστι om. W. [f] κινεῖν καὶ W. [g] κινεῖσθαι post τόπον V, om. W.
[h] τε om. V. [i] καὶ διανοεῖσθαι om. T. [k] κινεῖσθαι ἢ χαίρειν. τὸ W.
[l] τούτων] τι X. [m] ἢ τὸ φ. X. [n] τὸ V. [o] κιν. ἢ οἰδεῖν. τὸ V. [p] ἴσως
ἢ] ἢ ἴσως S.V, ἢ ἴσως δὲ W, ἴσως T.X. [q] τὸ δὲ] τὸ δὴ T. [r] λέγῃ T.
[s] τούτῳ E. [t] οὔσης om. E. [v] μέχρις T.V.W.X. [w] δ' ὡς ἀπ' W.
[x] τῶνδε X.

ἀμαυρώσεως, [y] νῦν δ' ἴσως ὅπερ ἐπὶ τῶν αἰσθητηρίων συμ-
βαίνει· εἰ γὰρ λάβοι ὁ πρεσβύτης ὄμμα τοιονδί, [z] βλέποι ἂν
ὥσπερ [a] καὶ ὁ νέος. Ὥστε τὸ γῆρας οὐ τῷ [b] τὴν ψυχήν τι
πεπονθέναι, ἀλλ' ἐν ᾧ, καθάπερ ἐν μέθαις καὶ νόσοις. Καὶ 14
τὸ νοεῖν δὴ καὶ τὸ θεωρεῖν μαραίνεται [c] ἄλλου τινὸς ἔσω
φθειρομένου, αὐτὸ δὲ ἀπαθές ἐστιν. Τὸ δὲ διανοεῖσθαι [d] καὶ
φιλεῖν ἢ μισεῖν οὐκ ἔστιν ἐκείνου πάθη, ἀλλὰ τουδὶ τοῦ
ἔχοντος ἐκεῖνο, [e] ᾗ ἐκεῖνο ἔχει. Διὸ καὶ τούτου φθειρομένου 15
οὔτε μνημονεύει οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν, ἀλλὰ τοῦ
κοινοῦ, ὃ ἀπόλωλεν· ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές
ἐστιν. Ὅτι μὲν [f] οὖν οὐχ οἷόν τε κινεῖσθαι τὴν ψυχήν, φα-
νερὸν ἐκ τούτων· εἰ δ' ὅλως μὴ κινεῖται, δῆλον ὡς οὐδ' ὑφ'
[g] ἑαυτῆς. Πολὺ δὲ τῶν εἰρημένων [h] ἀλογώτατον τὸ λέγειν 16
ἀριθμὸν εἶναι τὴν ψυχὴν κινοῦνθ' ἑαυτόν· ὑπάρχει γὰρ αὐ-
τοῖς ἀδύνατα [i] πρῶτα μὲν τὰ ἐκ τοῦ κινεῖσθαι συμβαίνοντα,
ἰδίᾳ δ' ἐκ τοῦ λέγειν [k] αὐτὴν ἀριθμόν· πῶς γὰρ χρὴ νοῆσαι
μονάδα κινουμένην, καὶ ὑπὸ τίνος, καὶ πῶς, ἀμερῆ καὶ ἀδιά-
φορον οὖσαν; [l] Εἰ γάρ ἐστι [m] κινητικὴ καὶ κινητή, διαφέρειν
δεῖ. Ἔτι δ' ἐπεί φασι κινηθεῖσαν γραμμὴν ἐπίπεδον ποιεῖν, 17
στιγμὴν δὲ γραμμήν, καὶ αἱ τῶν μονάδων κινήσεις γραμμαὶ
ἔσονται· ἡ γὰρ [n] στιγμὴ μονάς ἐστι θέσιν ἔχουσα· ὁ δ'
ἀριθμὸς τῆς ψυχῆς ἤδη πού ἐστι καὶ θέσιν ἔχει. Ἔτι δ' 18
ἀριθμοῦ μὲν ἐὰν [o] ἀφέλῃ τις ἀριθμὸν ἢ μονάδα, λείπεται
ἄλλος ἀριθμός· τὰ δὲ φυτὰ καὶ τῶν ζῴων πολλὰ διαιρούμενα
ζῇ, καὶ δοκεῖ τὴν [p] αὐτὴν [q] ψυχὴν ἔχειν τῷ εἴδει. [r] Δόξειε δ' 19
[s] ἂν [t] οὐθὲν διαφέρειν μονάδας λέγειν ἢ σωμάτια [v] μικρά· καὶ
γὰρ ἐκ τῶν Δημοκρίτου [w] σφαιρίων ἐὰν γένωνται στιγμαί,
μόνον δὲ [x] μένῃ τὸ ποσόν, ἔσται τι ἐν αὐτῷ τὸ μὲν κινοῦν τὸ

[y] νυνὶ δ' ὥσπερ S.T.V.W.X. [z] βλέπῃ V. [a] καὶ om. X. [b] πεπονθέναι τι τὴν ψυχὴν V.W, τὴν ψυχὴν πεπονθέναι S. [c] ἀλλ' οὗ S. [d] καὶ] ἢ T. [e] ᾗ] οὗ V. [f] οὖν om. S. [g] αὐτῆς X. [h] ἀλογώτερον T. [i] πρῶτον X. [k] αὐτὸν S. [l] εἰ] ἢ T, ᾗ X. [m] κινητὴ καὶ κινητικὴ W, κινητικὴ καὶ κινεῖται X. [n] μονὰς στιγμή T. [o] ἀφέλῃ τε τις S. [p] αὐτὴν om. E. [q] ἔχειν ψυχὴν S.T.U.V. [r] δόξει X. [s] ἂν] ἂν οὖν T. [t] οὐθὲν] ὁμοίως μηδὲν V.W. [v] σμικρὰ S.T. [w] σφαιρῶν T.X. [x] μένει V.

δὲ κινούμενον, ὥσπερ ἐν τῷ [y] συνεχεῖ· οὐ γὰρ διὰ τὸ μεγέθει
διαφέρειν ἢ [z] μικρότητι [a] συμβαίνει τὸ λεχθέν, ἀλλ' ὅτι πο-
20 σόν. Διὸ ἀναγκαῖον εἶναί τι τὸ [b] κινῆσον τὰς μονάδας. Εἰ
δ' ἐν τῷ ζῴῳ τὸ κινοῦν ἡ ψυχή, [c] καὶ ἐν τῷ ἀριθμῷ, ὥστε οὐ
τὸ κινοῦν καὶ [d] τὸ κινούμενον ἡ ψυχή, ἀλλὰ τὸ κινοῦν μόνον.
21 Ἐνδέχεται [e] δὲ δή πως μονάδα [f] ταύτην εἶναι· δεῖ γὰρ ὑπάρ-
χειν [g] τινὰ αὐτῇ [h] διαφορὰν πρὸς τὰς ἄλλας· στιγμῆς δὲ
22 μοναδικῆς τίς ἂν [i] εἴη διαφορὰ πλὴν θέσις; Εἰ μὲν οὖν εἰσὶν
ἕτεραι αἱ ἐν τῷ σώματι μονάδες [k] καὶ αἱ στιγμαί, ἐν τῷ
αὐτῷ ἔσονται αἱ μονάδες· καθέξει γὰρ χώραν στιγμῆς.
Καίτοι τί [l] κωλύει ἐν τῷ αὐτῷ εἶναι, εἰ δύο, καὶ ἀπείρους;
23 Ὧν γὰρ ὁ τόπος ἀδιαίρετος, καὶ αὐτά. Εἰ δ' [m] αἱ ἐν τῷ
σώματι στιγμαὶ [n] ὁ ἀριθμὸς ὁ τῆς ψυχῆς, [o] ἢ εἰ ὁ [p] ἐκ τῶν
ἐν τῷ σώματι στιγμῶν ἀριθμὸς ἡ ψυχή, διὰ τί οὐ πάντα
ψυχὴν ἔχουσι τὰ σώματα; Στιγμαὶ γὰρ ἐν ἅπασι δοκοῦσιν
[q] εἶναι καὶ ἄπειροι. Ἔτι δὲ πῶς οἷόν τε χωρίζεσθαι τὰς
[r] ψυχὰς καὶ ἀπολύεσθαι τῶν σωμάτων, εἴ [s] γε μὴ διαιροῦνται
αἱ γραμμαὶ [t] εἰς στιγμάς;

5 [v] Συμβαίνει [w] δέ, καθάπερ εἴπομεν, [x] τῇ μὲν [y] ταὐτὸ λέγειν
τοῖς σῶμά [z] τι λεπτομερὲς αὐτὴν τιθεῖσι, τῇ δ', ὥσπερ Δη-
μόκριτος κινεῖσθαί φησιν ὑπὸ τῆς ψυχῆς, [a] ἴδιον [b] τὸ ἄτοπον·
εἴ[c]περ γάρ ἐστιν ἡ ψυχὴ ἐν παντὶ τῷ αἰσθανομένῳ [d] σώ-
ματι, ἀναγκαῖον ἐν τῷ αὐτῷ δύο εἶναι σώματα, εἰ σῶμά τι ἡ
ψυχή· τοῖς δ' ἀριθμὸν λέγουσιν, ἐν τῇ μιᾷ στιγμῇ πολλὰς
στιγμὰς ἢ πᾶν σῶμα ψυχὴν ἔχειν, εἰ μὴ διαφέρων τις ἀρι-
θμὸς ἐγγίνεται καὶ ἄλλος [e] τις τῶν ὑπαρχουσῶν ἐν [f] τῷ σώ-

[y] συνεχεῖ] μεγέθει T.W. [z] σμικρότητι plerique. [a] συμβ.] τοῦτο συμβαίνει W. [b] κινῆσαν T.W. [c] καὶ τὸ ἐν T. [d] τὸ post καὶ om. S.U.W.X. [e] δὲ om. V.W.X. [f] αὐτὴν T.X. [g] αὐτῇ τινα V.W, τινα αὐτῆς S. [h] διαφορὰν—εἴη om. S. [i] εἴη] ᾖ E. [k] καὶ αἱ] καὶ S.U.V.W, ἢ T. [l] κωλύσει V.W. [m] αἱ om. S. [n] ὁ prius om. X, alterum E. [o] ἢ om. V. [p] ἐκ om. E. [q] καὶ ἄπειροι εἶναι W. [r] στιγμὰς V.W.X. [s] γε om. E. [t] εἰς τὰς στ. T.W. [v] συμβαίη U. [w] δὲ καὶ καθ. E. [x] πῇ W. [y] ταὐτὸν T. [z] τι om. T, in margine ponit W. [a] ἴδιον om. S. [b] τὸ om. X. [c] περ om. pr. E. [d] σώματι om. W. [e] τις ante τῶν om. X. [f] τοῖς σώμασιν E.

*ματι στιγμῶν.* [g] Συμβαίνει [h] τε [i] κινεῖσθαι τὸ ζῷον ὑπὸ 2
τοῦ ἀριθμοῦ, καθάπερ [k] καὶ Δημόκριτον [l] ἔφαμεν αὐτὸ κινεῖν·
τί γὰρ διαφέρει σφαίρας λέγειν σμικρὰς ἢ μονάδας μεγά-
λας, ἢ ὅλως μονάδας φερομένας; ˈἈμφοτέρως γὰρ ἀναγ-
καῖον κινεῖν τὸ ζῷον τῷ κινεῖσθαι [m] ταύτας. Τοῖς [n] δὴ συμ- 3
πλέξασιν εἰς τὸ αὐτὸ κίνησιν καὶ ἀριθμὸν ταῦτά [o] τε συμβαί-
νει καὶ πολλὰ ἕτερα [p] τοιαῦτα· οὐ γὰρ μόνον ὁρισμὸν ψυχῆς
[q] ἀδύνατον τοιοῦτον εἶναι, ἀλλὰ καὶ συμβεβηκός. Δῆλον δ' 4
εἴ τις [r] ἐπιχειρήσειεν ἐκ τοῦ λόγου τούτου τὰ πάθη καὶ τὰ
ἔργα τῆς ψυχῆς ἀποδιδόναι, οἷον λογισμούς, αἰσθήσεις, ἡδο-
νάς, λύπας, ὅσα ἄλλα τοιαῦτα· ὥσπερ γὰρ εἴπομεν πρότε-
ρον, οὐδὲ [s] μαντεύσασθαι ῥᾴδιον ἐξ αὐτῶν. Τριῶν δὲ τρόπων 5
παραδεδομένων καθ' οὓς ὁρίζονται τὴν ψυχήν, οἱ μὲν τὸ κι-
νητικώτατον ἀπεφήναντο [t] τῷ κινεῖν ἑαυτό, οἱ δὲ σῶμα [v] τὸ
λεπτομερέστατον ἢ τὸ [w] ἀσωματώτατον τῶν ἄλλων. Ταῦτα
[x] δὲ τίνας ἀπορίας [y] τε [z] καὶ ὑπεναντιώσεις ἔχει, διεληλύθαμεν
σχεδόν. Λείπεται δ' ἐπισκέψασθαι πῶς λέγεται [a] τὸ ἐκ τῶν
στοιχείων αὐτὴν εἶναι. Λέγουσι μὲν γάρ, [b] ἵν' [c] αἰσθάνηταί 6
[d] τε τῶν ὄντων καὶ ἕκαστον [e] γνωρίζῃ, ἀναγκαῖον δὲ συμβαί-
νειν πολλὰ καὶ ἀδύνατα τῷ λόγῳ· τίθενται γὰρ γνωρίζειν
τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ ἂν εἰ τὴν ψυχὴν τὰ πράγματα
τιθέντες. Οὐκ ἔστι δὲ μόνα ταῦτα, [f] πολλὰ δὲ καὶ ἕτερα,
μᾶλλον δ' ἴσως ἄπειρα τὸν ἀριθμόν, τὰ ἐκ τούτων. ˈἘξ ὧν 7
μὲν οὖν [g] ἐστὶν ἕκαστον [h] τούτων, [i] ἔστω γινώσκειν τὴν ψυχὴν
καὶ αἰσθάνεσθαι· ἀλλὰ τὸ σύνολον [k] τίνι [l] γνωριεῖ ἢ αἰσθή-
σεται, οἷον τί θεὸς [m] ἢ ἄνθρωπος ἢ σὰρξ ἢ ὀστοῦν; ˈὉμοίως
δὲ καὶ [n] ἄλλο ὁτιοῦν τῶν συνθέτων· οὐ γὰρ ὁπωσοῦν ἔχοντα

[g] *συμβαίνῃ* E. [h] *δὲ* U.X, om. S. [i] *τὸ ζῷον κιν.* W, *τὸ σῶμα κιν.* T. [k] *καὶ* om. S.U. [l] *αὐτὸ ἔφαμεν* E.X. [m] *αὐτάς* S.T.U.V.W.X. [n] *δὲ* V. [o] *τε*] *γε* X, om. U. [p] *τοιαῦτα* om. U. [q] *τοιοῦτον ἀδύνατον* X. [r] *ἐπιχειρήσοι* T. [s] *μαντεύεσθαι* S.T.U.V.W. [t] *τῷ*] *τὸ* V. [v] *τὸ*] *τι* V. [w] *ἀσώματον* X. [x] *δὲ* om. X. [y] *τε* om. V.W. [z] *ἔχει καὶ ὑπεναντιώσεις* W. [a] *τὸ*] *τὰ* E. [b] *ἵν'* om. pr. E. [c] *αἴσθηται* T.W. [d] *τε* om. V.X. [e] *γνωρίζειν* T. [f] *πολλὰ δὲ καὶ ἕτερα* om. V. [g] *ἐστὶν* post *τούτων* W. [h] *τούτων* om. X. [i] *ἔστω* om. S. [k] *τίνι—ἢ*] *οὐ—οὐδ'* W.X. [l] *γνωρίσαι* V. [m] *ἢ τί ἄνθρωπος* S. [n] *ὅτι οὖν ἄλλο* S.T.U.V.W.X.

τὰ στοιχεῖα τούτων ἕκαστον, ἀλλὰ λόγῳ τινὶ καὶ συνθέσει, καθάπερ φησὶ [o]καὶ Ἐμπεδοκλῆς τὸ ὀστοῦν.

Ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισιν
[p]τὰ δύο τῶν ὀκτὼ [q]μερέων λάχε νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα [r]λευκ' [s]ἐγένοντο.

8 Οὐδὲν οὖν ὄφελος [t]εἶναι τὰ στοιχεῖα [v]ἐν τῇ ψυχῇ, εἰ μὴ καὶ [w]οἱ λόγοι ἐνέσονται καὶ ἡ σύνθεσις· γνωριεῖ γὰρ ἕκαστον τὸ ὅμοιον, τὸ δ' ὀστοῦν [x]ἢ τὸν ἄνθρωπον οὐθέν, εἰ μὴ καὶ ταῦτ' ἐνέσται. Τοῦτο δ' ὅτι ἀδύνατον, [y]οὐθὲν δεῖ λέγειν· τίς γὰρ [z]ἂν ἀπορήσειεν εἰ [a]ἔνεστιν ἐν τῇ ψυχῇ λίθος ἢ ἄνθρωπος;

9 Ὁμοίως δὲ καὶ τὸ ἀγαθὸν καὶ τὸ μὴ ἀγαθόν. Τὸν αὐτὸν δὲ τρόπον καὶ [b]περὶ τῶν ἄλλων. Ἔτι δὲ πολλαχῶς λεγομένου τοῦ ὄντος (σημαίνει γὰρ τὸ μὲν τόδε τι, τὸ δὲ ποσὸν ἢ ποιὸν ἢ καί τινα ἄλλην τῶν διαιρεθεισῶν κατηγοριῶν) πότερον ἐξ ἁπάντων [c]ἔσται ἡ ψυχὴ ἢ οὔ; Ἀλλ' οὐ δοκεῖ

10 [d]κοινὰ πάντων [e]εἶναι στοιχεῖα. Ἆρ' οὖν ὅσα τῶν οὐσιῶν ἐκ τούτων [f]μόνον; Πῶς οὖν γινώσκει καὶ τῶν ἄλλων ἕκαστον; Ἢ φήσουσιν ἑκάστου γένους εἶναι στοιχεῖα καὶ ἀρχὰς [g]ἰδίας, ἐξ ὧν τὴν ψυχὴν συνεστάναι; [h]Ἔσται [i]ἄρα ποσὸν καὶ ποιὸν καὶ οὐσία. Ἀλλ' ἀδύνατον [k]ἐκ τῶν τοῦ ποσοῦ στοιχείων [l]οὐσίαν εἶναι καὶ μὴ ποσόν. Τοῖς [m]δὴ λέγουσιν

11 ἐκ πάντων [n]ταῦτά τε καὶ τοιαῦθ' ἕτερα συμβαίνει. Ἄτοπον [o]δὲ καὶ τὸ φάναι μὲν ἀπαθὲς εἶναι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, αἰσθάνεσθαι δὲ τὸ ὅμοιον τοῦ ὁμοίου καὶ γινώσκειν τῷ ὁμοίῳ τὸ ὅμοιον. Τὸ [p]δ' αἰσθάνεσθαι πάσχειν [q]τι καὶ [r]κινεῖσθαι

12 τιθέασιν· ὁμοίως [s]δὲ καὶ τὸ νοεῖν [t]τε καὶ γινώσκειν. Πολλὰς δ' ἀπορίας καὶ δυσχερείας ἔχοντος τοῦ λέγειν, καθάπερ

[o] καὶ om. X. [p] τὰ] τῶν E.S.T U.X, τὰς W. [q] μοιράων U.V.W. [r] λευκὰ E.T.V.W. [s] γένοντο T.V.W. [t] ἐνεῖναι E. [v] ἐν om. X. [w] οἱ om. V. [x] ἢ] καὶ S.U. [y] οὐδὲ X. [z] ἂν om. X. [a] ἐστὶν U.W.X. [b] ἐπὶ T.X. [c] ἐστὶν X. [d] κοινὰ] τινὰ S. [e] εἶναι τὰ στ. E. [f] μόνων S.T.U.V.X. [g] ἰδίως S, ἰδίας corr. E. [h] ἐστὶν X. [i] ἄρα καὶ π. W. [k] ἐκ om. U.V. [l] εἶναι οὐσίαν V. [m] δὲ V. [n] ταῦτά τε καὶ om. V. [o] δὲ om. W. [p] δ'] γὰρ T.X. [q] τε E. [r] κινεῖν E, ποιεῖν U.X. [s] δὲ om. V. [t] τε] τι V om. E.

Ἐμπεδοκλῆς, ὡς τοῖς σωματικοῖς στοιχείοις ἕκαστα γνωρί-
ζεται καὶ πρὸς τὸ ὅμοιον, μαρτυρεῖ τὸ νῦν [v] λεχθέν· ὅσα
γὰρ [w] ἔνεστιν ἐν τοῖς τῶν ζῴων σώμασιν ἁπλῶς γῆς, οἷον
ὀστᾶ νεῦρα τρίχες, οὐθενὸς αἰσθάνεσθαι δοκεῖ, [x] ὥστ' οὐδὲ
τῶν ὁμοίων. Καίτοι [y] προσῆκεν. [z] Ἔτι δ' ἑκάστῃ τῶν ἀρ- 13
χῶν ἄγνοια [a] πλείων ἢ σύνεσις [b] ὑπάρξει· γνώσεται μὲν γὰρ
ἓν [c] ἕκαστον, πολλὰ δ' ἀγνοήσει· [d] πάντα γὰρ τἆλλα. Συμ-
βαίνει [e] δ' Ἐμπεδοκλεῖ γε καὶ ἀφρονέστατον εἶναι τὸν θεόν·
μόνος γὰρ τῶν στοιχείων [f] ἓν οὐ [g] γνωριεῖ, τὸ νεῖκος, τὰ δὲ
θνητὰ πάντα· ἐκ πάντων γὰρ ἕκαστον. Ὅλως [h] τε διὰ τίν' 14
αἰτίαν οὐχ ἅπαντα ψυχὴν ἔχει τὰ ὄντα, ἐπειδὴ [i] πᾶν ἢ στοι-
χεῖον ἢ [k] ἐκ στοιχείου ἑνὸς [l] ἢ πλειόνων ἢ πάντων; Ἀναγ-
καῖον γάρ ἐστιν [m] ἕν τι γινώσκειν ἢ τινὰ ἢ πάντα. Ἀπορή- 15
σειε δ' ἄν τις καὶ τί ποτ' ἐστὶ τὸ ἑνοποιοῦν αὐτά· ὕλῃ γὰρ
ἔοικε τά [n] γε στοιχεῖα· κυριώτατον [o] γὰρ ἐκεῖνο τὸ συνέχον
ὅ τί ποτ' ἐστίν· τῆς [p] δὲ ψυχῆς [q] εἶναί τι κρεῖττον καὶ [r] ἄρ-
χον ἀδύνατον· ἀδυνατώτερον [s] δ' ἔτι τοῦ νοῦ· [t] εὔλογον [v] γὰρ
[w] τοῦτον εἶναι [x] προγενέστατον καὶ [y] κύριον κατὰ φύσιν, τὰ
δὲ στοιχεῖά [z] φασι πρῶτα τῶν ὄντων εἶναι. Πάντες δὲ καὶ 16
οἱ διὰ τὸ γνωρίζειν καὶ αἰσθάνεσθαι [a] τὰ ὄντα τὴν ψυχὴν ἐκ
τῶν στοιχείων λέγοντες αὐτήν, καὶ οἱ τὸ κινητικώτατον, οὐ
περὶ [b] πάσης λέγουσι ψυχῆς· οὔτε γὰρ τὰ αἰσθανόμενα πάντα
κινητικά· φαίνεται [c] γὰρ εἶναί τινα [d] μόνιμα τῶν ζῴων κατὰ

[v] λεχθησόμενον T. et corr. U. [w] ἔστιν E.W.X. [x] ὥστ'] ὥσπερ V. [y] προσῆκεν τὰ νεῦρα καὶ τὰς τρίχας γεηρὰ ὄντα τῶν ὁμοίων αἰσθάνεσθαι. ἔτι W. [z] ἔτι] εἰ U. [a] πλέον S.U.V.W.X. [b] ὑπάρχει W.X. [c] ἑκάστη T.W.X. [d] πάντα γὰρ τὰ ἄλλα om. pr. E. [e] δ'] δὲ καὶ S. [f] ἓν om. T. [g] γνωρίζει E. [h] δὲ S.T.U.V.W. [i] πᾶν om. pr. E. [k] ἐκ στοιχείου] ἐκ στοιχείων καὶ στοιχείων ἢ W, ἐκ τῶν στοιχείων καὶ στοιχείων X. [l] ἢ ἐκ πλ. T.V.W. [m] ἕν τι] ἓν S.U.X, ἢ ἓν W. [n] γε om. S.T.W.X. [o] γὰρ] δ' pr. E. [p] δὲ om. S. [q] εἶναί τι κρεῖσσον E.W.X, κρεῖττον εἶναί τι U. [r] ἀρχὴ S. [s] δέ τι W. [t] εὐλογώτερον T.W, εὐλογώτατον S.V. [v] γε S, γὰρ ἄρα X. [w] τοῦτο εἶναι X, εἶναι τοῦτον T.V. [x] προγενέστερον X, προσγενέστατον T.U.V. [y] κυριώτατον T. [z] φασὶ] ταυτὶ V. [a] τὴν ψ. τὰ ὄντα S.T.U, τὰ κατὰ τὴν ψ. V. [b] ἁπάσης S.T.U.V.W.X. [c] γὰρ] γε S. [d] μόρια S, ἑστῶτα margo S.

τόπον. Καίτοι [e] δοκεῖ γε ταύτην μόνην τῶν κινήσεων κινεῖν
17 ἡ [f] ψυχὴ τὸ ζῷον. ˈΟμοίως δὲ καὶ ὅσοι τὸν νοῦν καὶ τὸ αἰ-
σθητικὸν ἐκ τῶν στοιχείων ποιοῦσιν· φαίνεται γὰρ τά τε
φυτὰ ζῆν οὐ μετέχοντα [g] φορᾶς οὐδ' αἰσθήσεως, καὶ τῶν ζῴων
πολλὰ διάνοιαν οὐκ [h] ἔχειν. Εἰ δέ τις καὶ ταῦτα παραχωρή-
σειε, καὶ θείη τὸν νοῦν μέρος τι τῆς ψυχῆς, [i] ὁμοίως δὲ καὶ τὸ
αἰσθητικόν, οὐδ' ἂν οὕτω λέγοιεν [k] καθόλου [l] περὶ πάσης ψυ-
18 χῆς οὐδὲ περὶ ὅλης [m] οὐδὲ μιᾶς. Τοῦτο δὲ πέπονθε καὶ ὁ ἐν
τοῖς ˈΟρφικοῖς [n] ἔπεσι καλουμένοις λόγος· φησὶ γὰρ τὴν
ψυχὴν ἐκ τοῦ [o] ὅλου εἰσιέναι ἀναπνεόντων, φερομένην ὑπὸ τῶν
ἀνέμων. Οὐχ οἷόν τε [p] δὴ [q] τοῖς φυτοῖς τοῦτο συμβαίνειν οὐδὲ
19 τῶν ζῴων [r] ἐνίοις, εἴπερ μὴ πάντα ἀναπνέουσιν. Τοῦτο [s] δὲ
λέληθε τοὺς οὕτως ὑπειληφότας. [t] Εἴτε [v] δεῖ τὴν ψυχὴν ἐκ
τῶν στοιχείων ποιεῖν, οὐθὲν [v] δεῖ ἐξ ἁπάντων· ἱκανὸν γὰρ
θάτερον μέρος τῆς ἐναντιώσεως ἑαυτό τε κρίνειν καὶ τὸ ἀντι-
20 κείμενον. Καὶ γὰρ τῷ εὐθεῖ καὶ αὐτὸ [w] καὶ τὸ καμπύλον
γινώσκομεν· κριτὴς γὰρ ἀμφοῖν ὁ κανών, τὸ δὲ καμπύλον
οὔθ' ἑαυτοῦ οὔτε τοῦ εὐθέος. καὶ ἐν τῷ ὅλῳ δέ τινες αὐτὴν
μεμῖχθαί φασιν, ὅθεν [x] ἴσως καὶ [y] Θαλῆς ᾠήθη πάντα πλήρη
21 θεῶν εἶναι. Τοῦτο δ' ἔχει τινὰς ἀπορίας· διὰ [z] τίνα γὰρ
αἰτίαν ἐν [a] μὲν τῷ ἀέρι [b] ἢ τῷ πυρὶ οὖσα ἡ ψυχὴ οὐ ποιεῖ
ζῷον, ἐν δὲ τοῖς μικτοῖς, καὶ [c] ταῦτα [d] βελτίων [e] ἐν τούτοις
εἶναι δοκοῦσα; ˈΕπιζητήσειε [f] γὰρ ἄν τις καὶ διὰ τίν' αἰτίαν
ἡ ἐν τῷ ἀέρι ψυχὴ τῆς ἐν τοῖς ζῴοις βελτίων ἐστὶ καὶ ἀθα-
22 νατωτέρα. Συμβαίνει δ' ἀμφοτέρως ἄτοπον καὶ παράλογον·
καὶ γὰρ τὸ λέγειν ζῷον τὸ πῦρ ἢ τὸν ἀέρα τῶν [g] παραλο-

[e] γε δοκεῖ X. [f] ψυχὴ καὶ τὸ U. [g] φθορᾶς S. [h] ἔχει W. [i] ὁμοίως —πάσης ψυχῆς margo T. [k] καθόλου om. T.U.V. [l] περὶ τῆς πάσης U. [m] οὐδὲ περὶ μιᾶς S.X. [n] καλουμένοις ἔπεσι T.V.W, ἔπεσιν ᾀδόμενος λόγος U, ἔπεσι (omisso καλουμένοις) S. [o] λόγου, ut videtur, E. [p] δὲ T.W.X. et corr. E. [q] τοῖς φυτοῖς om. U. [r] ἐνίαις T. [s] δὴ E. [t] εἰ δὲ X, εἴ τε δὲ E, εἴπερ S.V.W, εἴπερ δὲ T. [v] δεῖ] δὴ S. [w] καὶ ante τὸ om. X. [x] ἴσως om. V. [y] θαλλῆς U. [z] τίνα μὲν γὰρ V. et corr. E. [a] μὲν om. S.T.V. [b] ἢ ἐν τῷ S.T.U. [c] ταῦτα] τοι X. [d] βελτιον E. [e] εἶναι ἐν τούτοις S. [f] γὰρ] γ' E, δ' W.X. [g] παρα-λόγων S.U.X.

γωτέρων ἐστί, καὶ [h] τὸ μὴ λέγειν ζῷα ψυχῆς ἐνούσης ἄτο-
πον. Ὑπολαβεῖν δ' [i] ἐοίκασιν [k] εἶναι τὴν ψυχὴν ἐν τούτοις,
[l] ὅτι τὸ [m] ὅλον τοῖς μορίοις ὁμοειδές. Ὥστ' ἀναγκαῖον 23
αὐτοῖς λέγειν καὶ τὴν ψυχὴν ὁμοειδῆ τοῖς μορίοις [n] εἶναι,
[o] εἰ [p] τῷ [q] ἀπολαμβάνεσθαί τι τοῦ [r] περιέχοντος ἐν τοῖς
ζῴοις ἔμψυχα [s] τὰ ζῷα γίνεται. Εἰ δ' ὁ μὲν ἀὴρ [t] διασπώ-
μενος ὁμοειδής, ἡ δὲ ψυχὴ ἀνομοιομερής, τὸ μέν τι αὐτῆς
ὑπάρξει δῆλον ὅτι, τὸ δ' οὐχ ὑπάρξει. Ἀναγκαῖον οὖν 24
αὐτὴν [v] ἢ ὁμοιομερῆ εἶναι ἢ μὴ ἐνυπάρχειν ἐν ὁτῳοῦν μορίῳ
τοῦ παντός. Φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς οὔτε τὸ
γινώσκειν ὑπάρχει τῇ ψυχῇ διὰ τὸ ἐκ [w] τῶν στοιχείων εἶναι,
[x] οὔτε τὸ κινεῖσθαι αὐτὴν καλῶς [y] οὐδ' ἀληθῶς λέγεται.
[z] Ἐπεὶ δὲ τὸ γινώσκειν [a] τῆς ψυχῆς ἐστὶ καὶ τὸ αἰσθάνε- 25
σθαί τε καὶ [b] τὸ δοξάζειν, ἔτι [c] δὲ τὸ ἐπιθυμεῖν καὶ [e] βού-
λεσθαι καὶ ὅλως [f] αἱ [g] ὀρέξεις, γίνεται δὲ καὶ ἡ κατὰ τόπον
κίνησις τοῖς ζῴοις ὑπὸ [h] τῆς ψυχῆς, ἔτι δ' [i] αὔξη τε καὶ
ἀκμὴ καὶ φθίσις, πότερον ὅλῃ τῇ ψυχῇ τούτων ἕκαστον
ὑπάρχει, καὶ πάσῃ νοοῦμέν τε καὶ [k] αἰσθανόμεθα καὶ τῶν
ἄλλων ἕκαστον ποιοῦμέν τε καὶ πάσχομεν, ἢ μορίοις ἑτέροις
ἕτερα; Καὶ τὸ ζῆν [l] δὴ πότερον ἔν τινι τούτων ἐστὶν [m] ἑνὶ 26
ἢ καὶ [n] ἐν πλείοσιν [o] ἢ πᾶσιν, ἢ καὶ ἄλλο τι αἴτιον; Λέ-
γουσι [p] δή τινες μεριστὴν [q] αὐτήν, καὶ [r] ἄλλῳ μὲν νοεῖν
[r] ἄλλῳ δὲ ἐπιθυμεῖν. Τί οὖν δή ποτε συνέχει τὴν ψυχήν, 27
εἰ μεριστὴ πέφυκεν; Οὐ γὰρ δὴ τό [s] γε σῶμα· δοκεῖ γὰρ

[h] τὸ om. T.V.W. [i] ἔοικε T. [k] εἶναι om. S.U.X, post ψυχὴν ponunt T.V.W. [l] ὅτι] ἐπεὶ T.V. [m] ὅλον ἐν τοῖς E. [n] εἶναι om. pr. E. [o] εἰ] ἐν S, εἰ ἐν U.X, εἴπερ ἐν V. [p] τὸ T.W. [q] ἀπολαμβάνειν S.T.U.W. [r] περιέχοντος ἀέρος ἐν V. [s] τὰ om. S.T.U.V.W. [t] διασπώμενον ὁμοειδὲς U. [v] ἢ ante ὁμ. om. E. [w] τῶν om. W. [x] οὔτε δὲ τὸ V. [y] οὐδ' ἀληθῶς om. pr. E. [z] ἐπειδὴ U.W. [a] τῆς om. T.W. [b] τὸ ante δοξ. om. S.T.U.W. [c] δὲ καὶ τὸ U.W.X. [e] βουλεύεσθαι T.U.V.W.X. [f] αἱ om. T.X. [g] ὄρεξις T. [h] τῆς om. T.V. [i] αὔξησις S.T.U.V.W.X. [k] αἰσθ. καὶ κινούμεθα καὶ E.V.W, αἰσθ. καὶ κινοῦμεν καὶ X. [l] δὲ V. [m] ἑνὶ] ἢ ἑνὶ E. [n] ἐν om. S.X. [o] ἢ καὶ πᾶσιν T.U.W.X, ἢ καὶ ἐν πᾶσιν S.V. [p] δέ S.T.U.V. [q] αὐτὴν εἶναι καὶ T.V. [r] ἄλλο E.W. [s] γε ante τό T.V, om. S.U.W.X.

[t] τοὐναντίον μᾶλλον ἡ ψυχὴ τὸ σῶμα συνέχειν· ἐξελθούσης [v] γοῦν διαπνεῖται καὶ σήπεται. Εἰ οὖν ἕτερόν τι μίαν [w] αὐτὴν ποιεῖ, [x] ἐκεῖνο μάλιστ' ἂν [y] εἴη ψυχή. Δεήσει δὲ
28 καὶ πάλιν κἀκεῖνο ζητεῖν, πότερον ἓν ἢ πολυμερές. Εἰ μὲν γὰρ ἕν, διὰ τί οὐκ εὐθέως [z] καὶ ἡ ψυχὴ ἕν; Εἰ δὲ μεριστόν, πάλιν ὁ λόγος ζητήσει τί τὸ συνέχον ἐκεῖνο, καὶ οὕτω δὴ πρόεισιν ἐπὶ τὸ ἄπειρον. Ἀπορήσειε δ' ἄν τις καὶ περὶ τῶν μορίων αὐτῆς, τίν' ἔχει [a] δύναμιν ἕκαστον ἐν τῷ σώματι.
29 [b] Εἰ γὰρ [c] ἡ ὅλη ψυχὴ πᾶν τὸ σῶμα συνέχει, προσήκει καὶ τῶν μορίων ἕκαστον συνέχειν τι τοῦ σώματος. Τοῦτο δ' ἔοικεν ἀδυνάτῳ· ποῖον γὰρ μόριον ἢ πῶς ὁ νοῦς [d] συνέξει,
30 χαλεπὸν καὶ πλάσαι. Φαίνεται δὲ [e] καὶ [f] τὰ φυτὰ διαιρούμενα ζῆν καὶ τῶν ζῴων ἔνια τῶν ἐντόμων, ὡς τὴν αὐτὴν ἔχοντα [g] ψυχὴν τῷ εἴδει, εἰ [h] καὶ μὴ ἀριθμῷ· ἑκάτερον [i] γοῦν τῶν μορίων αἴσθησιν ἔχει καὶ κινεῖται κατὰ τόπον ἐπί τινα χρόνον. Εἰ δὲ μὴ διατελοῦσιν, οὐθὲν ἄτοπον· ὄργανα γὰρ
31 οὐκ ἔχουσιν ὥστε σώζειν τὴν φύσιν. Ἀλλ' οὐδὲν ἧττον ἐν ἑκατέρῳ τῶν μορίων ἅπαντ' ἐνυπάρχει τὰ μόρια τῆς ψυχῆς, καὶ [k] ὁμοειδῆ εἰσὶν ἀλλήλοις καὶ τῇ ὅλῃ, [l] ἀλλήλων μὲν ὡς [m] οὐ χωριστὰ ὄντα, τῆς δ' ὅλης ψυχῆς [n] ὡς διαιρετῆς οὔσης. Ἔοικε δὲ καὶ ἡ ἐν τοῖς φυτοῖς ἀρχὴ [o] ψυχή τις εἶναι· [p] μόνης γὰρ ταύτης κοινωνεῖ [q] καὶ ζῷα καὶ φυτά. Καὶ [r] αὕτη μὲν χωρίζεται τῆς [s] αἰσθητικῆς ἀρχῆς, αἴσθησιν δ' οὐθὲν ἄνευ ταύτ ς ἔχει.

[t] μᾶλλον τοὐναντίον W. [v] οὖν X. [w] αὐτὴν om. W. [x] ἐκεῖνο δὲ μ. T. [y] εἴη ἡ ψυχὴ T.V.W. [z] καὶ τὴν ψυχὴν ἓν S.U.W.X, καὶ τὴν ψυχὴν ἓν εἶναι T, ἓν καὶ τὴν ψυχὴν εἶναι V. [a] ἕκαστον δύναμιν S.V. [b] εἰ] ἡ W. [c] ἡ post ὅλη W, om. V. [d] συνέχει E.V. [e] καὶ om. S. [f] τὰ φυτὰ τὰ δ. W. [g] ψυχὴν om. V. [h] μὴ καὶ E, καὶ μὴ τῷ V. [i] οὖν U.W, γὰρ E.T. [k] ὁμοειδεῖς εἰσὶν ἀλλήλαις E.S.T.U.V.X. [l] ἀλλήλων] ἀλλήλοις W, ἀλλήλαις V. [m] οὐδὲ χ. X. [n] ὡς οὐ διαιρετῆς W. [o] ψυχὴ ante ἀρχὴ T, om. S.U. [p] μόνη X. [q] καὶ τὰ ζῷα E. [r] αὐτὴ X. [s] αἰσθητῆς X.

# Β.

[t] Τὰ μὲν δὴ ὑπὸ τῶν [v] πρότερον παραδεδομένα περὶ ψυ-
χῆς [w] εἰρήσθω· πάλιν δ' ὥσπερ ἐξ ὑπαρχῆς ἐπανίωμεν, πει-
ρώμενοι διορίσαι τί [x] ἐστι ψυχὴ καὶ [y] τίς [z] ἂν εἴη [a] κοινότα-
τος λόγος αὐτῆς. [b] Λέγομεν [c] δὴ [d] γένος ἕν τι τῶν ὄντων 2
τὴν οὐσίαν, ταύτης δὲ τὸ μὲν ὡς ὕλην, ὃ καθ' αὑτὸ μὲν οὐκ
ἔστι τόδε τι, ἕτερον δὲ μορφὴν καὶ εἶδος, καθ' ἣν ἤδη λέγε-
ται τόδε τι, καὶ τρίτον τὸ ἐκ τούτων. Ἔστι δ' ἡ μὲν ὕλη
δύναμις, τὸ δ' εἶδος ἐντελέχεια, καὶ τοῦτο [e] διχῶς, τὸ μὲν ὡς
ἐπιστήμη, τὸ δ' [f] ὡς τὸ θεωρεῖν. Οὐσίαι δὲ μάλιστ' εἶναι 3
δοκοῦσι τὰ σώματα, καὶ τούτων τὰ φυσικά· ταῦτα γὰρ τῶν
[g] ἄλλων ἀρχαί. Τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δ'
οὐκ ἔχει· ζωὴν δὲ λέγομεν τὴν δι' [h] αὑτοῦ τροφήν [i] τε καὶ
αὔξησιν καὶ φθίσιν. Ὥστε πᾶν σῶμα φυσικὸν μετέχον
ζωῆς [k] οὐσία [l] ἂν εἴη, οὐσία [m] δ' οὕτως ὡς [n] συνθέτη. Ἐπεὶ 4
[o] δ' [p] ἐστὶ σῶμα [q] τοιόνδε, ζωὴν γὰρ ἔχον, οὐκ ἂν εἴη [r] τὸ
σῶμα [s] ψυχή· οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ σῶμα,

[t] Τὰ μὲν—ἐπανίωμεν] Ἐπεὶ δὲ τὰ παραδεδομένα περὶ ψυχῆς παρὰ τῶν ἄλλων, ἐφ' ὅσον (ὅσων X.) ἕκαστος ἀπεφήνατο, πρότερον (πρῶτον W.X ) εἴρηται σχεδόν, νῦν (νῦν δὲ W.) ὥσπερ ἐξ ἀρχῆς πάλιν ἐπανίωμεν S.U. W.X.m. et E. folio 186, quod exit in hæc Ἐπεὶ—(sect. 3.) τὰ φυσικά, decem illa versibus comprehensa. idem E. Τὰ μὲν—(sect. 3.) ὥστε πᾶν σῶμα et in margine habet, præfatus γρ. ἀρχὴ τοῦ β λόγου ἐν ἄλλῳ, a manu earum quæ scholia scripserunt antiquissima, et folio 187, ubi librum secundum de integro exorditur, manu a superiore folio non multum dissimili. [v] προτέρων V. [w] εἴρηται margo E. [x] ἐστὶν ἡ ψ. E. 186. [y] τίς] τί U.X. [z] ἂν εἴη] ἐστι S.U.W.X. [a] κοινὸς U.W.X. [b] λέγομεν—φυσικά] χωρίζομεν δὴ τὰς μὲν οὐσίας ἀπὸ τῶν ὄντων τῶν ἄλλων. τῆς δὲ οὐσίας τὸ μὲν ὡς ὕλην λέγεσθαι τίθεμεν· ὁ καθ' αὑτὸ δὲ ἡ μορφή, τὸ δ' ἐκ τούτων. ἔστιν δ' ἡ μὲν ὕλη δυνάμει, τὸ δ' εἶδος ἐντελεχεία. αὕτη δ' ὑπάρχει διχῶς· ἢ γὰρ ὡς ἡ ἐπιστήμη ἢ ὡς τὸ θεωρεῖν. οὐσίαι δὲ μάλιστα δοκοῦσιν εἶναι τὰ σώματα, καὶ τούτων τὰ φυσικά E. 186. [c] δὲ U.V. [d] ἕν τι γένος S.W.X. [e] διττῶς W. [f] ὡς τὸ om. E. et margo E. [g] ἄλλων αἱ ἀρχαὶ S. [h] αὐτῆς τροφῆς V. [i] τε post αὔξησιν S, om. U.X. [k] οὐσία ἂν εἴη margo U. [l] ἂν εἴη· οὐσία om. X. [m] δ' om. V.X. [n] σύνθετος U. [o] δή E. [p] ἐστι] ἐστι καὶ E.S.T. [q] τοιόνδε] καὶ τοιονδὶ τοῦτο S.U.V.W.X. [r] τὸ om. S.U. [s] ἡ ψυχὴ S.U.V.W.X.

μᾶλλον δ' ὡς ὑποκείμενον καὶ ὕλη. Ἀναγκαῖον ἄρα τὴν
ψυχὴν οὐσίαν εἶναι ὡς εἶδος σώματος φυσικοῦ δυνάμει ζωὴν
5 ἔχοντος. Ἡ δ' οὐσία ἐντελέχεια. [t] Τοιούτου ἄρα σώματος
ἐντελέχεια. Αὕτη δὲ λέγεται διχῶς, ἡ μὲν ὡς ἐπιστήμη, ἡ
δ' ὡς τὸ θεωρεῖν. Φανερὸν οὖν ὅτι ὡς ἐπιστήμη· ἐν γὰρ
τῷ ὑπάρχειν τὴν ψυχὴν [v] καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν,
ἀνάλογον δ' ἡ μὲν ἐγρήγορσις τῷ θεωρεῖν, ὁ δ' ὕπνος τῷ
ἔχειν καὶ μὴ ἐνεργεῖν. Προτέρα [w] δὲ τῇ γενέσει ἐπὶ τοῦ
6 αὐτοῦ ἡ ἐπιστήμη. [x] Διὸ ψυχή ἐστιν ἐντελέχεια ἡ πρώτη
σώματος [y] φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. [z] Τοιοῦτο δέ, [a] ὃ
ἂν ᾖ ὀργανικόν. Ὄργανα δὲ καὶ τὰ τῶν φυτῶν μέρη, ἀλλὰ
παντελῶς ἁπλᾶ, οἷον τὸ φύλλον περικαρπίου σκέπασμα, τὸ
δὲ περικάρπιον καρποῦ. [b] Αἱ δὲ ῥίζαι τῷ στόματι ἀνάλο-
7 γον· ἄμφω γὰρ ἕλκει τὴν τροφήν. Εἰ [c] δή τι [d] κοινὸν ἐπὶ
πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν [e] ἐντελέχεια ἡ πρώτη σώμα-
τος [f] φυσικοῦ ὀργανικοῦ. Διὸ [g] καὶ οὐ δεῖ ζητεῖν εἰ ἓν ἡ
[h] ψυχὴ καὶ τὸ σῶμα, ὥσπερ οὐδὲ τὸν κηρὸν καὶ τὸ σχῆμα,
οὐδ' ὅλως τὴν ἑκάστου ὕλην καὶ τὸ [i] οὗ ὕλη· τὸ γὰρ ἓν καὶ
τὸ εἶναι ἐπεὶ πλεοναχῶς [k] λέγεται, τὸ κυρίως ἡ ἐντελέχειά
8 ἐστιν. Καθόλου μὲν οὖν εἴρηται τί ἐστιν ἡ ψυχή· οὐσία
γὰρ ἡ κατὰ [l] τὸν λόγον. Τοῦτο δὲ τὸ τί ἦν εἶναι τῷ τοιῳδὶ
σώματι, καθάπερ εἴ τι τῶν ὀργάνων [m] φυσικὸν ἦν σῶμα,
οἷον πέλεκυς· ἦν γὰρ [n] ἂν [o] τὸ πελέκει εἶναι ἡ οὐσία αὐτοῦ,
καὶ ἡ ψυχὴ [p] τοῦτο· χωρισθείσης [q] γὰρ [r] ταύτης οὐκ [s] ἂν ἔτι
9 πέλεκυς ἦν, ἀλλ' ἢ ὁμωνύμως. Νῦν δ' ἐστὶ πέλεκυς· οὐ γὰρ
τοιούτου σώματος τὸ τί ἦν εἶναι καὶ ὁ λόγος ἡ ψυχή, ἀλλὰ
φυσικοῦ τοιουδὶ ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν

[t] τοιούτου ἄρα σ. ἐντ. om. V, post διχῶς ponit T. [v] καὶ post ψ. om. U. [w] δὴ U. [x] διὸ ἡ ψ. E.T.V. [y] φυσικοῦ ὀργανικοῦ δυνάμει X. [z] τοιοῦτον S.T.V.W.X. [a] ὃ] ὅ τ' W. [b] ἡ δὲ ῥίζα V. [c] δέ E.S.T.V. [d] κοινὸν] καὶ V. [e] ἡ πρώτη ἐντ. W.X. [f] ὀργανικοῦ φυσικοῦ S. [g] καὶ ante οὐ om. V. [h] ψυχὴ κατὰ τὸ εἶδος καὶ V. [i] οὗ ἡ ὕλη E.T.V. [k] λέγεται om. S.U.W.X. [l] τὸν om. pr. S. [m] ἦν φυσικὸν V. [n] ἂν om. X. [o] τὸ] τῷ E.T.W. et rc. X. [p] τούτῳ V. [q] γὰρ] δὲ E.T.U.V.W. [r] αὐτῆς S. [s] ἂν om. V.

[t] ἑαυτῷ. Θεωρεῖν δὲ καὶ ἐπὶ τῶν μερῶν δεῖ τὸ λεχθέν. Εἰ γὰρ [v] ἦν ὁ ὀφθαλμὸς ζῷον, ψυχὴ ἂν [w] ἦν αὐτοῦ ἡ ὄψις· αὕτη γὰρ οὐσία ὀφθαλμοῦ ἡ κατὰ [x] τὸν λόγον. Ὁ δ' 10
ὀφθαλμὸς ὕλη ὄψεως, ἧς [y] ἀπολειπούσης οὐκ [z] ἔστιν ὀφθαλμός, πλὴν [a] ὁμωνύμως, καθάπερ ὁ [b] λίθινος καὶ [c] ὁ γεγραμμένος. Δεῖ [d] δὴ [e] λαβεῖν τὸ ἐπὶ μέρους ἐφ' ὅλου τοῦ ζῶντος σώματος· ἀνάλογον γὰρ ἔχει ὡς τὸ μέρος πρὸς τὸ μέρος, [f] οὕτως ἡ ὅλη αἴσθησις πρὸς τὸ ὅλον σῶμα τὸ αἰσθητικόν, [g] ᾗ [h] τοιοῦτο. Ἔστι δὲ οὐ τὸ ἀποβεβληκὸς τὴν ψυχὴν τὸ 11
δυνάμει ὂν ὥστε ζῆν, ἀλλὰ τὸ ἔχον. Τὸ δὲ σπέρμα καὶ ὁ καρπὸς τὸ δυνάμει τοιονδὶ σῶμα. Ὡς μὲν οὖν ἡ τμῆσις καὶ ἡ ὅρασις, οὕτω [i] καὶ ἡ ἐγρήγορσις ἐντελέχεια, ὡς δ' [k] ἡ ὄψις καὶ ἡ δύναμις τοῦ ὀργάνου, ἡ ψυχή· τὸ δὲ σῶμα τὸ δυνάμει ὄν· ἀλλ' ὥσπερ [l] ὁ ὀφθαλμὸς ἡ κόρη καὶ ἡ ὄψις, κἀκεῖ ἡ ψυχὴ καὶ τὸ σῶμα [m] τὸ ζῷον. Ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ 12
ψυχὴ χωριστὴ τοῦ σώματος, ἢ μέρη [n] τινὰ αὐτῆς, εἰ μεριστὴ πέφυκεν, οὐκ ἄδηλον· ἐνίων γὰρ ἡ ἐντελέχεια τῶν μερῶν ἐστὶν αὐτῶν. [o] Οὐ μὴν ἀλλ' ἔνιά γε οὐθὲν [p] κωλύει, διὰ τὸ [q] μηθενὸς εἶναι σώματος ἐντελεχείας. Ἔτι [r] δὲ ἄδηλον εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ ὥσπερ πλωτὴρ πλοίου. Τύπῳ μὲν [s] οὖν ταύτῃ διωρίσθω καὶ ὑπογεγράφθω περὶ ψυχῆς.

Ἐπεὶ δ' ἐκ τῶν ἀσαφῶν [t] μὲν φανερωτέρων δὲ γίγνεται 2
τὸ σαφὲς καὶ κατὰ [v] τὸν λόγον γνωριμώτερον, πειρατέον πάλιν [w] οὕτως ἐπελθεῖν περὶ αὐτῆς· οὐ γὰρ μόνον τὸ ὅτι δεῖ τὸν ὁριστικὸν λόγον δηλοῦν, ὥσπερ οἱ πλεῖστοι τῶν ὅρων λέγουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ἐνυπάρχειν καὶ ἐμφαίνεσθαι.

[t] αὐτῷ X, αὑτῷ S.U.V.W. [v] ἦν ὁ om. pr. S. [w] ἦν om. V.X. [x] τὸν om. W. [y] ἀπολιπούσης T.V.W. [z] ἔστιν] ἔτι E.X. [a] ὁμώνυμος E. [b] λίθος X. [c] ὁ om. W. [d] δὲ V.X. [e] λαβεῖν] λέγειν S. [f] οὕτως om. U.V.W.X. [g] ᾗ] ἢ V. [h] τοιοῦτον S.T.V.X. [i] καὶ post οὕτω om. S.X. [k] ἡ primum om. V. [l] ὁ om. E.S.V. [m] τὸ ante ζ. om. E.T.V. [n] τινὰ om. W. [o] οὐ μὴν om. X. [p] κωλύει εἶναι διὰ V. [q] μηδὲν X, οὐθὲν S. [r] τε E. [s] οὖν om. W. [t] μὲν om. X, μὲν τῇ φύσει W. [v] τὸν om. V. [w] οὕτως γ' ἐπελθεῖν E, οὕτως ἐπανελθεῖν S.

2 Νῦν δ' ὥσπερ συμπεράσμαθ' οἱ λόγοι τῶν ὅρων εἰσίν· οἷον [x] τί [y] ἐστι τετραγωνισμός; Τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον εἶναι ἰσόπλευρον. Ὁ δὲ τοιοῦτος ὅρος [z] λόγος τοῦ συμπεράσματος. Ὁ δὲ λέγων [a] ὅτι ἐστὶν [b] ὁ τετραγωνισμὸς
3 [c] μέσης [d] εὕρεσις, τοῦ πράγματος λέγει τὸ αἴτιον. [e] Λέγομεν οὖν ἀρχὴν [f] λαβόντες [g] τῆς [h] σκέψεως, διωρίσθαι τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ζῆν. Πλεοναχῶς δὲ τοῦ ζῆν λεγομένου, κἂν ἕν τι τούτων [i] ἐνυπάρχῃ μόνον, ζῆν αὐτό φαμεν, οἷον νοῦς, αἴσθησις, κίνησις καὶ στάσις ἡ κατὰ τόπον, ἔτι
4 κίνησις ἡ κατὰ τροφὴν [k] καὶ [l] φθίσις [m] τε καὶ [n] αὔξησις. Διὸ [o] καὶ τὰ φυόμενα πάντα δοκεῖ ζῆν· φαίνεται γὰρ [p] ἐν αὐτοῖς ἔχοντα δύναμιν καὶ ἀρχὴν τοιαύτην, δι' ἧς αὔξησίν τε καὶ φθίσιν λαμβάνουσι κατὰ τοὺς ἐναντίους τόπους· οὐ γὰρ [q] ἄνω μὲν αὔξεται, κάτω δ' οὔ, ἀλλ' ὁμοίως ἐπ' ἄμφω καὶ [r] πάντοσε καὶ τρέφεται καὶ ζῇ διὰ τέλους, ἕως ἂν δύνηται
5 λαμβάνειν τροφήν. Χωρίζεσθαι δὲ τοῦτο μὲν τῶν ἄλλων δυνατόν, τὰ δ' ἄλλα τούτου ἀδύνατον [s] ἐν τοῖς θνητοῖς. Φανερὸν δ' ἐπὶ τῶν φυομένων· οὐδεμία [t] γὰρ αὐτοῖς ὑπάρχει
6 δύναμις ἄλλη ψυχῆς. Τὸ μὲν οὖν ζῆν διὰ τὴν ἀρχὴν ταύτην ὑπάρχει [v] τοῖς ζῶσι, τὸ δὲ ζῷον διὰ τὴν αἴσθησιν πρώτως· καὶ γὰρ τὰ [w] μὴ κινούμενα μηδ' ἀλλάττοντα τόπον, [x] ἔχοντα δ' αἴσθησιν [y] ζῷα λέγομεν καὶ οὐ ζῆν μόνον. Αἰσθήσεως δὲ
7 [z] πρῶτον ὑπάρχει πᾶσιν ἁφή. Ὥσπερ [a] δὲ τὸ θρεπτικὸν δύναται χωρίζεσθαι τῆς ἁφῆς καὶ πάσης αἰσθήσεως, οὕτως ἡ ἁφὴ τῶν ἄλλων αἰσθήσεων. Θρεπτικὸν δὲ λέγομεν τὸ τοιοῦτον μόριον τῆς ψυχῆς οὗ καὶ τὰ [b] φυτὰ μετέχει· τὰ δὲ

[x] τίς X. [y] ἐστιν ὁ τετρ. E.S.T.U.X. [z] λόγος om. E.T.V. [a] ὅτι] τί V. [b] ὁ om. W.X. [c] μέσου T, ὅτι μέσης V. [d] εὕρησις T.U.W.X. [e] λέγωμεν T.W. [f] λαβόντες ante διωρίσθαι W. [g] τῆς om. S.X. [h] σκέψεως] σκέψεως τοῦ πράγματος S.U.W.X. [i] ὑπάρχῃ S.W.X. [k] καὶ om. V. [l] φθίσιν S.U.W.X. [m] τε om. W. [n] αὔξησιν S.U.W.X. [o] καὶ om. W. [p] ἐν om. X. [q] ἄνω μὲν] ἄνωθεν V. [r] πάντῃ ἐκτρέφεταί τε καὶ S.U.X, πάντῃ ὅσα ἀεὶ τρέφεταί τε καὶ E.T. et omisso τε W. [s] ἕν γε τοῖς T. [t] γὰρ δύναμις τούτοις ὑπάρχει W. [v] τοῖς ζ.] πᾶσι τοῖς ζῶσι S.U, τοῖς ζῶσι πᾶσι X. [w] μὴ om. X. [x] αἴσθησιν δ' ἔχοντα V. [y] ζῷα λέγομεν ante ἔχοντα X. [z] ὑπάρχει πρῶτον πᾶσιν S, πᾶσιν ὑπάρχει πρῶτον X. [a] δὲ] γὰρ X. [b] φυόμενα E.T.V.W.

ζῷα [c] πάντα φαίνεται τὴν ἁπτικὴν αἴσθησιν ἔχοντα· δι' ἣν δ' αἰτίαν ἑκάτερον τούτων συμβέβηκεν, ὕστερον ἐροῦμεν.
Νῦν δ' ἐπὶ τοσοῦτον εἰρήσθω μόνον, ὅτι ἐστὶν ἡ ψυχὴ τῶν 8
εἰρημένων τούτων ἀρχὴ καὶ τούτοις ὥρισται, θρεπτικῷ, αἰσθητικῷ, διανοητικῷ, κινήσει. Πότερον δὲ τούτων ἕκαστόν [d] ἐστι ψυχὴ ἢ μόριον ψυχῆς, καὶ εἰ μόριον, πότερον οὕτως ὥστ' εἶναι χωριστὸν λόγῳ μόνον ἢ καὶ τόπῳ, περὶ [e] μὲν τινῶν [f] τούτων οὐ χαλεπὸν ἰδεῖν, ἔνια δὲ ἀπορίαν ἔχει.
[g] Ὥσπερ γὰρ ἐπὶ τῶν φυτῶν ἔνια διαιρούμενα φαίνεται 9
[h] ζῶντα καὶ χωριζόμενα ἀπ' ἀλλήλων, ὡς οὔσης τῆς ἐν [i] τούτοις ψυχῆς ἐντελεχείᾳ μὲν μιᾶς ἐν ἑκάστῳ [k] φυτῷ, δυνάμει δὲ πλειόνων, οὕτως [l] ὁρῶμεν καὶ περὶ ἑτέρας διαφορὰς τῆς ψυχῆς συμβαῖνον [m] ἐπὶ τῶν ἐντόμων [n] ἐν τοῖς διατεμνομένοις· καὶ γὰρ αἴσθησιν [o] ἑκάτερον τῶν μερῶν ἔχει καὶ κίνησιν τὴν κατὰ τόπον, εἰ δ' αἴσθησιν, καὶ φαντασίαν καὶ ὄρεξιν· ὅπου μὲν γὰρ αἴσθησις, [p] καὶ [q] λύπη τε καὶ ἡδονή,
[r] ὅπου δὲ ταῦτα, ἐξ ἀνάγκης καὶ ἐπιθυμία. Περὶ δὲ τοῦ νοῦ 10
καὶ τῆς θεωρητικῆς δυνάμεως [s] οὐδέν πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, [t] καὶ τοῦτο μόνον ἐνδέχεται [v] χωρίζεσθαι, καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. Τὰ δὲ λοιπὰ 11
μόρια τῆς ψυχῆς φανερὸν ἐκ τούτων ὅτι οὐκ ἔστι χωριστά, καθάπερ [w] τινές φασιν· τῷ δὲ λόγῳ ὅτι ἕτερα, φανερόν· αἰσθητικῷ γὰρ εἶναι καὶ δοξαστικῷ ἕτερον, εἴπερ καὶ τὸ αἰσθάνεσθαι τοῦ δοξάζειν. Ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν εἰρημένων. [x] Ἔτι δ' ἐνίοις μὲν τῶν ζῴων ἅπανθ' [y] ὑπάρ- 12
χει ταῦτα, τισὶ δέ τινα τούτων, ἑτέροις δὲ ἓν μόνον. Τοῦτο δὲ [z] ποιεῖ [a] διαφορὰν τῶν ζῴων· διὰ τίνα δ' [b] αἰτίαν, [c] ὕστε-

[c] φαίνεται ἅπαντα X. [d] ἐστιν ἡ ψ. X. [e] μὲν] μὲν οὖν X. [f] τούτων om. S.U.W.X. [g] ὡς T. [h] καὶ ζῶντα X. [i] αὐτοῖς S.U.V.X. [k] φυτῷ om. V. [l] ὁρῶμεν post τῆς ψυχῆς W. [m] ἀπὸ W. [n] ἐν τοῖς τεμνομένοις U, τῶν τεμνομένων W. [o] ἔχει ἕκαστον τῶν μερῶν V. [p] καὶ ante λ. om. S.U.W.X. [q] ἡδονή τε καὶ λύπη W. [r] ὅπου] παρακολουθεῖ ὅπου T. [s] οὐδέ T.U.V.W.X. [t] καὶ om. S. [v] χωρίζεσθαι om. X. [w] φασί τινες X. [x] ἔστι W, ὅτι U. [y] ὑπάρχειν X, ὑπάρχοντα W. [z] ποιήσει E.T.V.W. [a] διαφορὰς T.V.X. [b] αἰτίαν] αἰτίαν γέγονεν U.X. [c] σκεπτέον ὕστερον W.

ρον ἐπισκεπτέον. Παραπλήσιον δὲ καὶ περὶ [d] τὰς αἰσθήσεις
συμβέβηκεν· τὰ μὲν γὰρ [e] ἔχει πάσας, τὰ δὲ τινάς, τὰ δὲ
13 μίαν τὴν ἀναγκαιοτάτην, ἁφήν. Ἐπεὶ δὲ ᾧ ζῶμεν καὶ αἰ-
σθανόμεθα διχῶς λέγεται, καθάπερ ᾧ ἐπιστάμεθα, λέγομεν
δὲ τὸ μὲν ἐπιστήμην τὸ δὲ ψυχήν· ἑκατέρῳ γὰρ τούτων
φαμὲν ἐπίστασθαι· ὁμοίως δὲ καὶ ᾧ ὑγιαίνομεν, τὸ μὲν
14 [f] ὑγίεια, τὸ δὲ μορίῳ τινὶ τοῦ σώματος ἢ καὶ ὅλῳ. Τούτων
δ' ἡ μὲν ἐπιστήμη [g] τε καὶ ὑγίεια μορφὴ καὶ εἶδός [h] τι καὶ
λόγος [i] καὶ οἷον ἐνέργεια [k] τοῦ δεκτικοῦ, ἡ μὲν τοῦ ἐπιστη-
μονικοῦ, ἡ δὲ τοῦ [l] ὑγιαστικοῦ (δοκεῖ γὰρ ἐν τῷ πάσχοντι
καὶ διατιθεμένῳ ἡ τῶν ποιητικῶν [m] ὑπάρχειν ἐνέργεια), [n] ἡ
ψυχὴ δὲ τοῦτο [o] ᾧ ζῶμεν καὶ αἰσθανόμεθα καὶ διανοούμεθα
πρώτως, ὥστε λόγος τις ἂν εἴη καὶ εἶδος, ἀλλ' [p] οὐχ ὕλη καὶ
15 τὸ ὑποκείμενον. Τριχῶς γὰρ λεγομένης τῆς οὐσίας, καθά-
περ εἴπομεν, ὧν τὸ μὲν [q] εἶδος, τὸ δὲ ὕλη, τὸ δὲ ἐξ ἀμφοῖν·
τούτων δ' ἡ μὲν ὕλη δύναμις, τὸ [r] δὲ εἶδος ἐντελέχεια· ἐπεὶ
[s] δὲ τὸ ἐξ ἀμφοῖν ἔμψυχον, οὐ τὸ σῶμά ἐστιν ἐντελέχεια
16 ψυχῆς, ἀλλ' αὕτη σώματός τινος. Καὶ διὰ τοῦτο [t] καλῶς
ὑπολαμβάνουσιν οἷς δοκεῖ μήτ' ἄνευ σώματος εἶναι μήτε σῶμά
τι ἡ ψυχή· σῶμα [v] μὲν γὰρ οὐκ ἔστι, σώματος [w] δέ τι, καὶ
διὰ τοῦτο ἐν σώματι ὑπάρχει, καὶ [x] ἐν σώματι τοιούτῳ, καὶ
οὐχ ὥσπερ οἱ πρότερον εἰς σῶμα ἐνήρμοζον αὐτήν, οὐθὲν
[y] προσδιορίζοντες ἐν τίνι καὶ ποίῳ, καίπερ [z] οὐδὲ φαινομένου
17 τοῦ τυχόντος δέχεσθαι τὸ τυχόν. Οὕτω [a] δὲ γίνεται καὶ
κατὰ λόγον· ἑκάστου γὰρ ἡ ἐντελέχεια ἐν τῷ δυνάμει ὑπάρ-
χοντι καὶ τῇ οἰκείᾳ ὕλῃ πέφυκεν [b] ἐγγίνεσθαι. Ὅτι μὲν οὖν
ἐντελέχειά τίς ἐστι [c] καὶ λόγος τοῦ δύναμιν ἔχοντος [d] εἶναι
τοιούτου, φανερὸν ἐκ τούτων.

[d] τὰς om. E. et rc. T. [e] πάσας ἔχει U. [f] ὑγίειαν X. et pr. S. [g] τε om. T.U. [h] τι om. V. [i] καὶ ante οἷον om. S.U.X. [k] τῶν δεκτικῶν X. [l] ὑγιαστοῦ X. [m] ἐνέργεια ὑπάρχειν W. [n] ἡ om. S. [o] ᾧ ζῶμεν om. V. [p] οὐχ] οὐχὶ ἡ W, οὐχ ὡς S.U.V.X. [q] ὕλη τὸ δὲ εἶδος U.X. [r] δὲ] τ' S. [s] δὲ] τα E, om. U.V.W.X. [t] καλῶς om. V. [v] μὲν S.U.X. [w] δὲ εἶδός τι V. [x] ἐν om. S. [y] προσδιορίσαντες S.U.X. [z] οὐ S. [a] δὴ W. [b] γίνεσθαι S.U. [c] καὶ λόγος om. V. [d] τοιουδὶ εἶναι S.U.X.

Τῶν δὲ δυνάμεων τῆς ψυχῆς αἱ λεχθεῖσαι τοῖς μὲν ὑπάρ- 3
χουσι πᾶσαι, [e] καθάπερ εἴπομεν, τοῖς δὲ τινὲς αὐτῶν, ἐνίοις δὲ [f] μία μόνη. Δυνάμεις δ' εἴπομεν θρεπτικόν, [g] ὀρεκτικόν, αἰσθητικόν, κινητικὸν κατὰ τόπον, διανοητικόν. Ὑπάρχει δὲ τοῖς μὲν φυτοῖς τὸ θρεπτικὸν μόνον, ἑτέροις δὲ [h] τοῦτό
[i] τε καὶ τὸ αἰσθητικόν. [k] Εἰ δὲ τὸ αἰσθητικόν, καὶ τὸ ὀρε- 2
κτικόν· ὄρεξις μὲν γὰρ ἐπιθυμία καὶ θυμὸς καὶ βούλησις, τὰ δὲ ζῷα πάντ' [l] ἔχουσι μίαν γε τῶν αἰσθήσεων, τὴν ἁφήν· ᾧ δ' αἴσθησις ὑπάρχει, τούτῳ ἡδονή τε καὶ λύπη καὶ τὸ ἡδύ [m] τε [n] καὶ λυπηρόν, οἷς δὲ ταῦτα, [o] καὶ ἡ ἐπιθυμία· τοῦ γὰρ
ἡδέος [p] ὄρεξις αὕτη. Ἔτι [q] δὲ τῆς τροφῆς αἴσθησιν ἔχουσιν· 3
ἡ γὰρ ἁφὴ τῆς τροφῆς αἴσθησις· ξηροῖς γὰρ [r] καὶ ὑγροῖς καὶ θερμοῖς καὶ ψυχροῖς τρέφεται τὰ [s] ζῷα πάντα, τούτων δ' αἴσθησις ἁφή· τῶν δ' ἄλλων αἰσθητῶν κατὰ συμβεβηκός· [t] οὐθὲν γὰρ εἰς τροφὴν συμβάλλεται ψόφος [v] οὐδὲ χρῶμα
οὐδὲ ὀσμή. Ὁ δὲ χυμὸς ἕν τι τῶν ἁπτῶν ἐστίν. Πεῖνα δὲ 4
καὶ δίψα ἐπιθυμία, καὶ ἡ μὲν πεῖνα [w] ξηροῦ καὶ θερμοῦ, ἡ δὲ δίψα [x] ψυχροῦ καὶ ὑγροῦ· ὁ δὲ χυμὸς οἷον ἥδυσμά [y] τι τούτων ἐστίν. Διασαφητέον δὲ περὶ αὐτῶν ὕστερον, νῦν δ' ἐπὶ τοσοῦτον [z] εἰρήσθω, ὅτι τῶν ζῴων τοῖς ἔχουσιν ἁφὴν καὶ ὄρεξις ὑπάρχει. Περὶ δὲ φαντασίας ἄδηλον, ὕστερον δ' ἐπι-
σκεπτέον. Ἐνίοις δὲ πρὸς τούτοις ὑπάρχει καὶ τὸ κατὰ 5
τόπον κινητικόν, ἑτέροις δὲ [a] καὶ τὸ διανοητικόν τε καὶ νοῦς, οἷον [b] ἀνθρώποις [c] καὶ εἴ τι τοιοῦτον [d] ἕτερόν ἐστιν ἢ [e] καὶ τιμιώτερον. Δῆλον οὖν ὅτι τὸν αὐτὸν τρόπον εἷς ἂν εἴη λόγος ψυχῆς τε καὶ σχήματος· οὔτε γὰρ ἐκεῖ σχῆμα παρὰ

[e] ὥσπερ εἴπομεν W, om. E.T. [f] μόνη μία V. [g] ὀρεκτικὸν post αἰσθητικόν U.V.X, om. W. [h] αὐτό S.W.X. [i] τε om. V. [k] εἰ δὲ τὸ αἰσθητικὸν om. U.X. et pr. S. [l] μίαν ἔχουσι W. [m] τε om. E.T. [n] καὶ τὸ λυπ. V. [o] καὶ ἡ om. S.U, ἡ om. V. [p] ὄρεξίς ἐστιν αὕτη S.T.U.X. [q] δὲ om. E.W. [r] καὶ ὑγροῖς om. V. [s] ζῶντα E.S.W. [t] οὐδὲ X. [v] οὐδὲ χρῶμα om. E. [w] θερμοῦ καὶ ξηροῦ S.X. [x] ὑγροῦ καὶ ψυχροῦ X, καὶ ψυχροῦ καὶ ὑγροῦ S. [y] τι om. S.U.V.X. [z] διωρίσθω S.U.V.X. [a] καὶ ante τὸ om. W. [b] ἄνθρωπος V.X. [c] κἂν X. [d] ἐστιν ἕτερον S.U.V. [e] καὶ om. E.T.V.W.

*τὸ τρίγωνόν [f]ἐστι καὶ τὰ ἐφεξῆς, οὔτ' [g]ἐνταῦθα ψυχὴ παρὰ*
6 *τὰς εἰρημένας. [h]Γένοιτο δ' ἂν καὶ ἐπὶ τῶν [i]σχημάτων*
*λόγος κοινός, ὃς ἐφαρμόσει μὲν πᾶσιν, ἴδιος δ' οὐδενὸς [k]ἔσται*
*σχήματος. Ὁμοίως δὲ καὶ ἐπὶ ταῖς εἰρημέναις ψυχαῖς. Διὸ*
*γελοῖον ζητεῖν τὸν κοινὸν λόγον καὶ ἐπὶ τούτων καὶ ἐφ' ἑτέ-*
*ρων, ὃς οὐδενὸς [l]ἔσται τῶν ὄντων ἴδιος λόγος, οὐδὲ [m]κατὰ*
7 *τὸ οἰκεῖον [n]καὶ ἄτομον εἶδος, ἀφέντας τὸν τοιοῦτον. Παρα-*
*πλησίως δ' ἔχει [o]τῷ [p]περὶ τῶν σχημάτων [q]καὶ τὰ [r]κατὰ*
*ψυχήν· ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον*
*ἐπί τε τῶν σχημάτων καὶ ἐπὶ τῶν ἐμψύχων, οἷον ἐν τετρα-*
*γώνῳ [s]μὲν τρίγωνον, ἐν αἰσθητικῷ δὲ τὸ θρεπτικόν. Ὥστε*
*καθ' ἕκαστον ζητητέον, τίς ἑκάστου ψυχή, οἷον τίς φυτοῦ*
8 *καὶ τίς ἀνθρώπου ἢ θηρίου. Διὰ τίνα δ' αἰτίαν [t]τῷ [v]ἐφε-*
*ξῆς οὕτως ἔχουσι, σκεπτέον. Ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ*
*τὸ αἰσθητικὸν οὐκ ἔστιν· [w]τοῦ δ' αἰσθητικοῦ [x]χωρίζεται τὸ*
*θρεπτικὸν ἐν τοῖς φυτοῖς. Πάλιν δ' ἄνευ μὲν τοῦ ἁπτικοῦ*
*τῶν ἄλλων αἰσθήσεων οὐδεμία ὑπάρχει, ἁφὴ δ' ἄνευ τῶν*
*ἄλλων ὑπάρχει· πολλὰ [y]γὰρ τῶν ζῴων οὔτ' ὄψιν οὔτ'*
9 *ἀκοὴν ἔχουσιν οὔτ' [z]ὀσμῆς ὅλως αἴσθησιν. Καὶ τῶν αἰσθη-*
*τικῶν [a]δὲ τὰ μὲν ἔχει τὸ κατὰ τόπον κινητικόν, τὰ δ' οὐκ*
*ἔχει. Τελευταῖον δὲ καὶ [b]ἐλάχιστα λογισμὸν καὶ [c]διά-*
*νοιαν· οἷς μὲν γὰρ ὑπάρχει λογισμὸς τῶν φθαρτῶν, τούτοις*
*καὶ τὰ λοιπὰ πάντα, οἷς δ' ἐκείνων ἕκαστον, οὐ πᾶσι λογι-*
*σμός, ἀλλὰ τοῖς μὲν οὐδὲ φαντασία, τὰ δὲ [d]ταύτῃ μόνῃ*
*ζῶσιν. Περὶ δὲ τοῦ θεωρητικοῦ [e]νοῦ ἕτερος λόγος. Ὅτι*
*μὲν οὖν ὁ περὶ τούτων [f]ἑκάστου λόγος οὗτος οἰκειότατος καὶ*
*περὶ ψυχῆς, δῆλον.*

[f] *ἐστι* om. V. [g] *ἐνταῦθα ἡ ψυχὴ* E.V. [h] *γίνοιτο* E.T.W. [i] *σχημάτων ὁ λ.* W. [k] *ἐστι* V.X, *εἴη* T. [l] *ἐστι* S.U.X. [m] *κατὰ*] *πρὸς* W. [n] *καὶ τὸ ἄτομον* E.T. [o] *τὰ* S. [p] *παρὰ* S, *ἐπὶ* V. [q] *καὶ τὰ—σχημάτων* om. V. [r] *κατὰ*] *περὶ τὴν* S.U.V.X. [s] *μὲν τὸ τρ.* V. [t] *τὸ* U, om. V. [v] *οὕτως ἔχουσιν ἐφεξῆς* V. [w] *τῆς δὲ αἰσθητικῆς* V. [x] *τὸ θρεπτικὸν χωρίζεται* W. [y] *γὰρ*] *δὲ* S.X. [z] *ὀσμὴν οὔτ' ἄλλην αἴσθησιν* V. [a] *δὲ* om. W.X. [b] *ἐλάχιστον* S.U.V.W.X. [c] *διάνοιαν οἷον ὁ ἄνθρωπος ἤ τι τοιοῦτον ἄλλο ὑπάρχει. οἷς* W. [d] *μόνῃ ταύτῃ* W, *ταύτῃ μόνον* S.U.X. [e] *νοῦ* om. V. et pr. S. [f] *ἑκάστου* om. V.

Ἀναγκαῖον δὲ τὸν μέλλοντα περὶ τούτων σκέψιν [g]ποιεῖ- 4
σθαι λαβεῖν ἕκαστον αὐτῶν [h]τί ἐστιν, εἶθ' [i]οὕτως περὶ τῶν
ἐχομένων [k]ἢ καὶ [l]περὶ τῶν ἄλλων ἐπιζητεῖν. Εἰ δὲ χρὴ λέ-
γειν τί ἕκαστον αὐτῶν, οἷον [m]τί [n]τὸ νοητικὸν [o]ἢ τὸ αἰσθη-
τικὸν ἢ τὸ θρεπτικόν, πρότερον [p]ἔτι λεκτέον τί τὸ νοεῖν καὶ
τί τὸ αἰσθάνεσθαι· πρότερον γάρ εἰσι [q]τῶν δυνάμεων αἱ ἐν-
έργειαι καὶ αἱ πράξεις κατὰ [r]τὸν λόγον. Εἰ δ' οὕτως, τού- 2
των [s]δ' ἔτι [t]πρότερα τὰ [v]ἀντικείμενα [w]δεῖ τεθεωρηκέναι,
περὶ ἐκείνων [x]πρῶτον ἂν δέοι [y]διορίσαι διὰ τὴν αὐτὴν αἰτίαν,
οἷον [z]περὶ τροφῆς καὶ αἰσθητοῦ καὶ νοητοῦ. Ὥστε πρῶτον
περὶ τροφῆς καὶ γεννήσεως λεκτέον· ἡ γὰρ θρεπτικὴ ψυχὴ
[a]καὶ τοῖς ἄλλοις ὑπάρχει, καὶ πρώτη καὶ κοινοτάτη δύναμίς
ἐστι [b]ψυχῆς, καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν. [c]Ἧς ἐστὶν 3
ἔργα [d]γεννῆσαι καὶ τροφῇ [e]χρῆσθαι· [f]φυσικώτατον γὰρ
[g]τῶν ἔργων τοῖς ζῶσιν, ὅσα τέλεια καὶ μὴ πηρώματα, ἢ τὴν
γένεσιν [h]αὐτομάτην ἔχει, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό, ζῷον
μὲν ζῷον, φυτὸν δὲ φυτόν, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου [i]μετέ-
χωσιν ᾗ δύνανται· πάντα γὰρ ἐκείνου ὀρέγεται, [k]κἀκείνου
ἕνεκα πράττει ὅσα [l]πράττει κατὰ φύσιν. Τὸ δ' οὗ ἕνεκα, 4
[m]διττόν, τὸ μὲν οὗ, τὸ δὲ ᾧ. Ἐπεὶ οὖν κοινωνεῖν ἀδυνατεῖ
τοῦ ἀεὶ καὶ τοῦ θείου τῇ συνεχείᾳ, διὰ τὸ μηδὲν ἐνδέχεσθαι
τῶν φθαρτῶν [n]ταὐτὸ καὶ ἓν ἀριθμῷ διαμένειν, ᾗ [o]δύναται
μετέχειν ἕκαστον, [p]κοινωνεῖ ταύτῃ, τὸ μὲν μᾶλλον τὸ δ' ἧτ-
τον· καὶ διαμένει οὐκ αὐτὸ ἀλλ' οἷον αὐτό, ἀριθμῷ μὲν οὐχ

[g] ποιήσασθαι W. [h] τί ἐστιν om. S.U.X. [i] οὕτω καὶ περὶ W. [k] ἢ om. E.T.V.W. [l] περὶ om. T. [m] τί om. T.U. [n] τὸ om. W. [o] ἢ τί τὸ αἰσθ. S. [p] ἔτι om. V. [q] αἱ ἐνέργειαι τῶν δυνάμεων W. [r] τὸν om. E. [s] δ' ante ἔτι om. E. [t] πρότερον U. [v] ἀντ. καὶ δεῖ S.U.X. [w] δεῖ τεθεωρηκέναι om. W. [x] πρῶτον ἂν δέοι] δ' ἂν πρῶτον W. [y] ὁρίσαι U. [z] περὶ] ἐπὶ T.V. [a] καὶ ante τοῖς om. V, ante πρ. om. U.V.X. [b] ψυχῆς om. V. [c] ἧς] οἷς V.W. [d] γεννῆσαί τε καὶ W. [e] χρήσασθαι S.T.U.V.X. [f] φυσικώτατα V. [g] τῶν ἔργων τοῖς ζώοις E, τοῖς ζώοις τῶν ἔργων X, ἔργον τοῖς ζῶσιν W. [h] αὐτόματον S.U.W. [i] μετέχουσιν U, μετάσχωσιν V. [k] καὶ ἐκείνου T.U.V.W. [l] κατὰ φύσιν πράττει W. [m] διssὸν X. [n] τὸ αὐτὸ S.U.X. [o] μετέχειν δύναται X. [p] ταύτῃ κοινωνεῖ S.U.X.

5 ἕν, εἴδει [q] δ' ἕν. Ἔστι δὲ [r] ἡ ψυχὴ τοῦ ζῶντος σώματος
αἰτία καὶ ἀρχή. Ταῦτα δὲ πολλαχῶς λέγεται. [s] Ὁμοίως
[t] δ' ἡ ψυχὴ [v] κατὰ τοὺς [w] διωρισμένους [x] τρόπους τρεῖς αἰτία·
καὶ γὰρ ὅθεν ἡ κίνησις [y] αὐτή, [z] καὶ οὗ ἕνεκα, καὶ ὡς [a] ἡ οὐσία
6 τῶν ἐμψύχων σωμάτων ἡ ψυχὴ αἰτία. Ὅτι μὲν οὖν [b] ὡς
οὐσία, δῆλον· τὸ γὰρ αἴτιον τοῦ εἶναι πᾶσιν ἡ οὐσία, τὸ δὲ
ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν, [c] αἰτία δὲ καὶ ἀρχὴ τούτων ἡ
ψυχή. Ἔτι [d] τοῦ δυνάμει ὄντος λόγος [e] ἡ ἐντελέχεια. Φα-
νερὸν [f] δ' ὡς καὶ οὗ [g] ἕνεκεν [h] ἡ ψυχὴ αἰτία· ὥσπερ γὰρ [i] ὁ
νοῦς ἕνεκά του [k] ποιεῖ, τὸν αὐτὸν τρόπον καὶ ἡ φύσις, καὶ
7 τοῦτ' ἔστιν [l] αὐτῇ [m] τέλος. Τοιοῦτον δ' ἐν τοῖς [n] ζῴοις ἡ
ψυχὴ [o] καὶ κατὰ φύσιν· πάντα γὰρ τὰ φυσικὰ [p] σώματα τῆς
ψυχῆς ὄργανα, [q] καὶ καθάπερ [r] τὰ τῶν ζῴων, οὕτω καὶ [r] τὰ
τῶν φυτῶν, ὡς [s] ἕνεκα τῆς ψυχῆς ὄντα. [t] Διττῶς δὲ τὸ οὗ
8 ἕνεκα, τό τε οὗ καὶ τὸ ᾧ. Ἀλλὰ μὴν καὶ ὅθεν πρῶτον ἡ
κατὰ τόπον κίνησις, ψυχή· οὐ πᾶσι δ' [v] ὑπάρχει τοῖς [w] ζῶ-
σιν ἡ δύναμις αὕτη. [x] Ἔστι δὲ καὶ ἀλλοίωσις καὶ αὔξησις
κατὰ ψυχήν· ἡ μὲν γὰρ αἴσθησις ἀλλοίωσίς τις εἶναι δοκεῖ,
9 [y] αἰσθάνεται δ' οὐθὲν ὃ μὴ [z] ἔχει ψυχήν. Ὁμοίως δὲ καὶ
περὶ αὐξήσεώς [a] τε καὶ φθίσεως ἔχει· [b] οὐδὲν γὰρ φθίνει οὐδ'
[c] αὔξεται φυσικῶς μὴ τρεφόμενον, τρέφεται δ' οὐθὲν ὃ μὴ
[d] κοινωνεῖ ζωῆς. Ἐμπεδοκλῆς δ' οὐ καλῶς [e] εἴρηκε τοῦτο,

[q] δ' ἕν] δ' ἑνί. T. addunt διόπερ τὸ σπέρμα τῶν ζώων καὶ φυτῶν ὄργανόν ἐστιν U.m. et, qui φυτῶν etiam pro ζώων, X. διόπερ τὸ σπέρμα τῶν ζ. καὶ τῶν φ. ὄργανόν ἐστι τῆς ψυχῆς. ἔστι T. et, transpositis τὸ σπέρμα post τῶν ζῴων, V. [r] ἡ om. V. [s] ὅμως S.U.W.X. [t] δ' om. S. [v] κατὰ om. S.U.X. [w] διηρημένους S.U. et pr. X. [x] τρεῖς τρόπους ἐστὶν αἰτία W. τρεῖς om. pr. X. [y] αὐτῇ E.S. [z] καὶ τὸ οὗ T. [a] ἡ post ὡς om. U.X. [b] ὡς om. S.U. [c] αἴτιον E. [d] τοῦ ἐν δυνάμει S.U.X. [e] ἡ] ᾗ T. [f] δὲ καὶ ὡς οὗ W, δὲ καὶ ὡς τὸ οὗ V. [g] ἕνεκα S.T.U.V.W.X. [h] αἰτία ἡ ψυχὴ X. [i] ὁ om. V. [k] νοεῖ E.S.T.V. [l] αὐτῆς E.S.T. [m] τέλεος E. [n] ζῶσιν V. [o] καὶ om. U. [p] σώματα om. S. [q] καὶ om. S.U.X. [r] τὰ om. X. [s] ἕνεκεν S. [t] διχῶς X. [v] ἐνυπάρχει V. [w] ζώοις X. [x] ἔστι δὲ om. V. [y] αἰσθάνεσθαι U.X. [z] ψυχὴν ἔχει S.U.X, μετέχει ψυχῆς E.T.V. [a] τε om. X. [b] οὐδὲ X. [c] αὐξάνεται T.V.X. [d] κοινωνεῖ ζωῆς] μετέχει ψυχῆς W. [e] εἴρηκεν εἰς τοῦτο V.

προστιθεὶς [f]τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν
[g]συρριζουμένοις διὰ τὸ τὴν γῆν [h]οὕτω φέρεσθαι κατὰ φύσιν,
ἄνω δὲ διὰ τὸ πῦρ ὡσαύτως. Οὔτε γὰρ τὸ ἄνω καὶ κάτω 10
καλῶς λαμβάνει· οὐ γὰρ ταὐτὸ πᾶσι τὸ ἄνω [i]καὶ κάτω καὶ
τῷ παντί, ἀλλ' ὡς ἡ κεφαλὴ τῶν ζῴων, οὕτως αἱ ῥίζαι τῶν
φυτῶν, [k]εἰ χρὴ τὰ ὄργανα λέγειν ἕτερα καὶ ταὐτὰ τοῖς ἔρ-
γοις. [l]Πρὸς δὲ τούτοις τί τὸ συνέχον εἰς τἀναντία φερό- 11
μενα τὸ πῦρ καὶ τὴν γῆν; Διασπασθήσεται γάρ, εἰ μή [m]τι
[n]ἔσται τὸ [o]κωλῦσον· εἰ δ' [p]ἔσται, τοῦτ' ἐστὶν ἡ ψυχὴ [q]καὶ
τὸ αἴτιον τοῦ αὐξάνεσθαι καὶ τρέφεσθαι. Δοκεῖ δέ τισιν ἡ 12
τοῦ πυρὸς φύσις ἁπλῶς αἰτία τῆς τροφῆς καὶ τῆς αὐξήσεως
εἶναι· καὶ γὰρ [r]αὐτὸ φαίνεται μόνον τῶν σωμάτων ἢ τῶν
στοιχείων τρεφόμενον καὶ [s]αὐξόμενον. Διὸ καὶ ἐν τοῖς φυ-
τοῖς καὶ [t]ἐν τοῖς ζῴοις ὑπολάβοι τις ἂν τοῦτο εἶναι τὸ ἐρ-
γαζόμενον. Τὸ δὲ συναίτιον [v]μέν πώς ἐστιν, οὐ μὴν ἁπλῶς 13
γε αἴτιον, ἀλλὰ μᾶλλον [w]ἡ ψυχή· ἡ μὲν γὰρ τοῦ πυρὸς
αὔξησις εἰς ἄπειρον, ἕως ἂν ᾖ τὸ καυστόν, τῶν δὲ φύσει συνι-
σταμένων πάντων [x]ἐστὶ πέρας καὶ λόγος [y]μεγέθους τε καὶ
αὐξήσεως· [z]ταῦτα [a]δὲ ψυχῆς, ἀλλ' οὐ πυρός, καὶ λόγου
μᾶλλον ἢ ὕλης. Ἐπεὶ δ' ἡ αὐτὴ δύναμις τῆς ψυχῆς θρεπτικὴ 14
καὶ γεννητική, [b]περὶ τροφῆς ἀναγκαῖον [c]διωρίσθαι πρῶτον·
ἀφορίζεται γὰρ πρὸς τὰς ἄλλας δυνάμεις τῷ ἔργῳ τούτῳ.
Δοκεῖ δ' [d]εἶναι ἡ τροφὴ τὸ ἐναντίον τῷ ἐναντίῳ, οὐ πᾶν δὲ 15
παντί, ἀλλ' ὅσα τῶν ἐναντίων μὴ μόνον [e]γένεσιν ἐξ ἀλλή-
λων ἔχουσιν ἀλλὰ καὶ αὔξησιν· γίνεται γὰρ πολλὰ ἐξ ἀλλή-
λων, ἀλλ' οὐ [f]πάντα [g]ποσά, οἷον ὑγιὲς ἐκ κάμνοντος. Φαίνε- 16
ται δ' [h]οὐδ' ἐκεῖνα τὸν αὐτὸν τρόπον ἀλλήλοις εἶναι τροφή,

[f] τὴν om. U. [g] ῥιζουμένοις T, ῥιζουμένων S.U.V.W.X. [h] οὕτω] κάτω V. [i] καὶ τὸ κ. V. [k] εἰ—ἔργοις om. W. [l] πρὸς δὲ] καὶ πρὸς W. [m] τι om. W. [n] ἔστι X. [o] κωλύον E.T.X. [p] ἐστὶ V. [q] καὶ τὸ αἴτ. om. X, τὸ om. T. [r] αὐτὸ] καὶ αὐτὸ V. [s] αὐξανόμενον S.U.V.W.X. [t] ἐν alteram om. W. [v] μὲν post πως S, om. V. [w] ἡ ante ψ. om. E.W. [x] πέρας ἐστὶ X. [y] μεγέθους τε] καὶ μεγέθους S, μεγέθους T.U.V.X. [z] τοῦτο V.W. [a] δὲ τῆς ψ. E.T. [b] περὶ] καὶ περὶ E.T.W. [c] διορίσαι U.W. [d] ἡ τροφὴ εἶναι W. [e] γέννησιν E. [f] πάντα om. S.U.X. et corr. E. [g] ποσὰ om. U.W. et pr. E. [h] οὐκ V.

ἀλλὰ τὸ μὲν ὕδωρ τῷ πυρὶ τροφή, τὸ δὲ πῦρ οὐ τρέφει τὸ ὕδωρ. Ἐν μὲν οὖν τοῖς [i] ἁπλοῖς σώμασι ταῦτ' εἶναι δοκεῖ
17 μάλιστα τὸ μὲν τροφὴ τὸ δὲ τρεφόμενον. Ἀπορίαν δ' ἔχει· φασὶ γὰρ οἱ μὲν τὸ ὅμοιον τῷ ὁμοίῳ τρέφεσθαι, καθάπερ καὶ αὐξάνεσθαι, τοῖς δ' ὥσπερ εἴπομεν τοὔμπαλιν δοκεῖ, τὸ ἐναντίον τῷ ἐναντίῳ, ὡς ἀπαθοῦς ὄντος τοῦ ὁμοίου [k] ὑπὸ τοῦ ὁμοίου, τὴν δὲ τροφὴν μεταβάλλειν καὶ πέττεσθαι· ἡ δὲ
18 μεταβολὴ πᾶσιν εἰς τὸ ἀντικείμενον [l] ἢ [m] τὸ μεταξύ. Ἔτι πάσχει τι ἡ τροφὴ ὑπὸ τοῦ τρεφομένου, ἀλλ' οὐ τοῦτο ὑπὸ τῆς τροφῆς, ὥσπερ οὐδ' ὁ τέκτων ὑπὸ τῆς ὕλης, ἀλλ' ὑπ' ἐκείνου αὕτη· ὁ δὲ τέκτων μεταβάλλει μόνον εἰς ἐνέργειαν ἐξ
19 ἀργίας. Πότερον δ' ἐστὶν [n] ἡ τροφὴ τὸ τελευταῖον προσγινόμενον ἢ τὸ πρῶτον, ἔχει διαφοράν. [o] Εἰ δ' ἄμφω, ἀλλ' ἡ μὲν ἄπεπτος ἡ δὲ πεπεμμένη, ἀμφοτέρως [p] ἂν ἐνδέχοιτο τὴν τροφὴν λέγειν· ᾗ μὲν γὰρ ἄπεπτος, τὸ ἐναντίον [q] τῷ ἐναντίῳ τρέφεται, ᾗ δὲ πεπεμμένη, τὸ ὅμοιον τῷ ὁμοίῳ.
20 Ὥστε φανερὸν ὅτι λέγουσί τινα τρόπον ἀμφότεροι καὶ ὀρθῶς καὶ οὐκ ὀρθῶς. Ἐπεὶ δ' οὐθὲν τρέφεται μὴ μετέχον ζωῆς, τὸ ἔμψυχον ἂν εἴη σῶμα τὸ τρεφόμενον, ᾗ ἔμψυχον, ὥστε καὶ ἡ [r] τροφὴ πρὸς ἔμψυχόν ἐστι καὶ οὐ κατὰ συμβε-
21 βηκός. Ἔστι δ' ἕτερον τροφῇ καὶ αὐξητικῷ εἶναι· ᾗ μὲν γὰρ ποσόν τι τὸ ἔμψυχον, αὐξητικόν, ᾗ δὲ τόδε τι καὶ οὐσία, τροφή· σώζει γὰρ τὴν οὐσίαν, καὶ μέχρι τούτου ἐστὶν ἕως ἂν καὶ [s] τρέφηται· καὶ [t] γενέσεως ποιητικὸν οὐ τοῦ τρεφομένου, [v] ἀλλ' οἷον τὸ τρεφόμενον· ἤδη γὰρ [w] ἐστιν [x] αὐτὴ
22 ἡ οὐσία, γεννᾷ δ' οὐθὲν [y] αὐτὸ ἑαυτό, ἀλλὰ σώζει. Ὥσθ' ἡ μὲν τοιαύτη τῆς ψυχῆς ἀρχὴ δύναμίς ἐστιν οἵα σώζειν τὸ [z] ἔχον αὐτὴν ᾗ τοιοῦτον, ἡ δὲ τροφὴ παρασκευάζει ἐνεργεῖν.
23 Διὸ στερηθὲν τροφῆς οὐ δύναται εἶναι. Ἐπεὶ δ' ἐστὶ τρία,

[i] ἄλλοις S.U.X. [k] ὑπὸ τοῦ ὁμοίου om. E.W. [l] ἢ] καὶ X. [m] τὸ om. E. [n] ἡ om. V. [o] εἰ δ' ἄμφω om. S. [p] ἂν] δ' ἂν X. [q] τῷ ἐναντίῳ om. S. [r] τρ. καὶ πρὸς ἔμψυχον ἔσται V. [s] τρέφηι E.T.W. [t] γεννήσεως E.S. [v] ἀλλ' οἷον τὸ τρεφόμενον om. V, post αὐτὴ ἡ οὐσία ponit W. [w] ἐστὶν] ἐξ W. [x] αὐτοῦ S.T.V.W.X. [y] αὐτὸ om. T.V.W. [z] ἔχον] δεχόμενον E.W.

τὸ τρεφόμενον καὶ ᾧ τρέφεται καὶ τὸ τρέφον, τὸ μὲν τρέ-
φον ἐστὶν ἡ πρώτη ψυχή, τὸ δὲ τρεφόμενον τὸ ἔχον [a] αὐτὴν
σῶμα, ᾧ δὲ τρέφεται, ἡ τροφή. Ἐπεὶ δὲ ἀπὸ τοῦ τέλους
ἅπαντα προσαγορεύειν δίκαιον, τέλος δὲ τὸ γεννῆσαι οἷον
αὐτό, εἴη ἂν ἡ πρώτη ψυχὴ [b] γεννητικὴ οἷον αὐτό. Ἔστι δὲ 24
ᾧ [c] τρέφεται διττόν, ὥσπερ [d] καὶ ᾧ κυβερνᾷ, [e] ἡ χεὶρ καὶ τὸ
πηδάλιον, τὸ μὲν κινοῦν καὶ κινούμενον, τὸ δὲ κινοῦν μόνον.
Πᾶσαν δ' ἀναγκαῖον τροφὴν δύνασθαι [f] πέττεσθαι, ἐργάζεται
δὲ τὴν πέψιν τὸ θερμόν· διὸ πᾶν ἔμψυχον ἔχει [g] θερμότητα.
Τύπῳ μὲν οὖν [h] ἡ τροφὴ τί ἐστιν εἴρηται· διασαφητέον δ'
[i] ἐστὶν ὕστερον περὶ αὐτῆς ἐν τοῖς οἰκείοις λόγοις.

Διωρισμένων [k] δὲ τούτων [l] λέγωμεν κοινῇ περὶ πάσης αἰ- 5
σθήσεως. Ἡ δ' αἴσθησις ἐν τῷ κινεῖσθαί [m] τε καὶ πάσχειν
συμβαίνει, καθάπερ εἴρηται· δοκεῖ γὰρ ἀλλοίωσίς τις εἶναι.
Φασὶ δέ τινες καὶ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν.
[n] Τοῦτο δὲ πῶς δυνατὸν ἢ ἀδύνατον, [o] εἰρήκαμεν [p] ἐν τοῖς κα-
θόλου λόγοις περὶ τοῦ ποιεῖν καὶ πάσχειν. Ἔχει δ' ἀπορίαν 2
διὰ τί καὶ τῶν αἰσθήσεων αὐτῶν [q] οὐ γίνεται αἴσθησις, καὶ
διὰ τί ἄνευ τῶν ἔξω οὐ ποιοῦσιν [r] αἴσθησιν, ἐνόντος πυρὸς καὶ
γῆς καὶ τῶν ἄλλων στοιχείων, ὧν ἐστὶν [s] ἡ αἴσθησις καθ'
αὑτὰ ἢ τὰ συμβεβηκότα τούτοις. Δῆλον οὖν ὅτι τὸ αἰσθη-
τικὸν οὐκ [t] ἔστιν ἐνεργείᾳ, ἀλλὰ δυνάμει μόνον. [v] Διὸ [w] κα- 3
θάπερ τὸ καυστὸν οὐ καίεται [x] αὐτὸ [y] καθ' αὑτὸ ἄνευ τοῦ
καυστικοῦ· [z] ἔκαιε γὰρ [a] ἂν [b] ἑαυτό, καὶ οὐθὲν ἐδεῖτο τοῦ ἐν-
τελεχείᾳ πυρὸς [c] ὄντος. [d] Ἐπειδὴ δὲ τὸ αἰσθάνεσθαι [e] λέγο-

[a] ταύτην T.X. [b] γεννητικὸν E.S.T.W.X. [c] τρέφει T. [d] καὶ om. S.U.W.X. [e] ἡ] καὶ ἡ E.V. [f] πέσσεσθαι X. [g] θερμότητος S. [h] ἡ τροφὴ τίς ἐστιν S.U, τί ἐστιν ἡ τροφὴ V. [i] ἐστὶν om. X. [k] τε X. [l] λέγομεν V.W.X. [m] τε] τι S.T.W.X, τι τὸ αἰσθητήριον V. [n] τοῦτο —πάσχειν om. U. [o] εἴρηται S.V. [p] ἐν] καὶ ἐν S.T.U.W.X. [q] οὐ post ἀπορίαν διὰ τί S.U.X. [r] αἰσθήσεις S.U.X. [s] ἡ om. S.U. [t] ἔνεστιν S.U. [v] διὸ om. V.W. [w] καθάπερ] καὶ καθάπερ U, οὐκ αἰσθάνεται καθάπερ T.X, καθάπερ οὐκ αἰσθάνεται S. [x] αὐτὸ om. W. [y] καθ' ἑαυτὸ E, ὑφ' ἑαυτοῦ S, ὑφ' αὑτοῦ U.V. [z] ἔκαε X. [a] ἂν om. W. [b] αὐτὸ S, αὑτὸ U.X. [c] ὄντος] εἶναι W. [d] ἐπεὶ X. [e] διχῶς λέγομεν W, λέγ. διττῶς T.

μεν διχῶς (τό τε γὰρ δυνάμει [f] ἀκοῦον καὶ ὁρῶν ἀκούειν καὶ
ὁρᾶν λέγομεν, [g] κἂν τύχῃ καθεῦδον, καὶ τὸ ἤδη ἐνεργοῦν), δι-
χῶς ἂν λέγοιτο καὶ ἡ αἴσθησις, ἡ μὲν ὡς δυνάμει, ἡ δὲ ὡς
4 ἐνεργείᾳ. Ὁμοίως δὲ καὶ τὸ αἰσθάνεσθαι, τό τε δυνάμει ὂν
καὶ τὸ ἐνεργείᾳ. Πρῶτον μὲν [h] οὖν ὡς τοῦ αὐτοῦ ὄντος [i] τοῦ
πάσχειν καὶ τοῦ κινεῖσθαι καὶ [k] τοῦ ἐνεργεῖν [l] λέγωμεν· καὶ
γὰρ ἔστιν ἡ κίνησις ἐνέργειά τις, ἀτελὴς μέντοι, καθάπερ
[m] ἐν ἑτέροις εἴρηται. Πάντα δὲ πάσχει καὶ κινεῖται [n] ὑπὸ
5 τοῦ ποιητικοῦ καὶ ἐνεργείᾳ ὄντος. Διὸ ἔστι μὲν ὡς ὑπὸ τοῦ
ὁμοίου πάσχει, ἔστι δὲ ὡς ὑπὸ [o] τοῦ ἀνομοίου, καθάπερ [p] εἴ-
πομεν· πάσχει [q] μὲν γὰρ τὸ [r] ἀνόμοιον, πεπονθὸς δ' ὅμοιόν
ἐστιν. Διαιρετέον δὲ [s] καὶ περὶ δυνάμεως καὶ ἐντελεχείας·
6 [t] νῦν γὰρ ἁπλῶς λέγομεν περὶ αὐτῶν. Ἔστι μὲν γὰρ οὕτως
ἐπιστῆμόν τι ὡς ἂν [v] εἴποιμεν ἄνθρωπον ἐπιστήμονα, ὅτι
ὁ ἄνθρωπος τῶν [w] ἐπιστημόνων [x] καὶ ἐχόντων ἐπιστήμην·
ἔστι δ' ὡς ἤδη λέγομεν [y] ἐπιστήμονα τὸν ἔχοντα [z] τὴν γραμ-
7 ματικήν. Ἑκάτερος δὲ τούτων οὐ τὸν αὐτὸν τρόπον δυνα-
τός ἐστιν, ἀλλ' ὁ μὲν ὅτι [a] τὸ γένος τοιοῦτον καὶ ἡ ὕλη, ὁ δ'
ὅτι [b] βουληθεὶς δυνατὸς θεωρεῖν, [c] ἂν μή τι κωλύσῃ τῶν ἔξω-
θεν· ὁ δ' ἤδη θεωρῶν ἐντελεχείᾳ [d] ὢν καὶ κυρίως ἐπιστάμενος
8 [e] τόδε τὸ Α. Ἀμφότεροι μὲν οὖν οἱ πρῶτοι κατὰ δύναμιν
ἐπιστήμονες, ἀλλ' ὁ μὲν διὰ μαθήσεως ἀλλοιωθεὶς καὶ πολ-
λάκις ἐξ ἐναντίας [f] μεταβαλὼν ἕξεως, ὁ δ' ἐκ τοῦ ἔχειν τὴν
αἴσθησιν ἢ τὴν γραμματικήν, μὴ ἐνεργεῖν δ' εἰς τὸ ἐνεργεῖν
9 ἄλλον τρόπον. Οὐκ ἔστι [g] δ' ἁπλοῦν οὐδὲ τὸ πάσχειν, ἀλλὰ
τὸ μὲν φθορά τις ὑπὸ τοῦ ἐναντίου, τὸ [h] δὲ σωτηρία [i] μᾶλ-

[f] ὁρῶν καὶ ἀκοῦον E, ἀκοῦον om. V. [g] καὶ ἐὰν U.X. [h] οὖν om. V. [i] τοῦ ante π. om. V. [k] τοῦ ante ἐν. om. E.V.W. [l] λέγομεν S.T. U.W.X. [m] εἴρηται ἐν ἑτέροις W. [n] ὑπὸ] καὶ ὑπὸ U. [o] τοῦ alterum om. V. [p] εἴρηται T. [q] μὲν om. X. [r] ἀνόμοιον ὄν, π. U. [s] καὶ post δὲ om. S.X. [t] νῦν μὲν γὰρ T.W. [v] εἴπωμεν E.T.U.V.W. [w] ἐχόντων ἐπιστήμην καὶ ἐπιστημόνων W. [x] καὶ τῶν ἐχόντων S.U.X. [y] ἐπίστασθαι S.X. [z] τὴν om. X. [a] τοιοῦτον τὸ γένος V. [b] βουληθείη V. [c] ἐὰν S.U.V. [d] ὢν om. V. [e] τόδε τὸ] δὲ τὸ τὸ S. [f] μεταβάλλων S.X. [g] δὲ τὸ πάσχον ἁπλοῦν W. πάσχον etiam V. [h] δὲ γένεσις καὶ σωτ. V. [i] μᾶλλον ὑπὸ τοῦ X.

λον τοῦ δυνάμει ὄντος ὑπὸ τοῦ [k] ἐντελεχείᾳ ὄντος καὶ [l] ὁμοίου, οὕτως ὡς δύναμις ἔχει πρὸς ἐντελέχειαν· θεωροῦν γὰρ γίγνεται τὸ ἔχον [m] τὴν ἐπιστήμην, ὅπερ ἢ οὐκ ἔστιν ἀλλοιοῦσθαι (εἰς [n] αὐτὸ γὰρ ἡ ἐπίδοσις καὶ [o] εἰς ἐντελέχειαν) ἢ ἕτερον [p] γένος ἀλλοιώσεως. Διὸ οὐ καλῶς ἔχει λέγειν τὸ φρονοῦν, ὅταν φρονῇ, ἀλλοιοῦσθαι, [q] ὥσπερ οὐδὲ τὸν οἰκοδόμον ὅταν οἰκοδομῇ. Τὸ μὲν οὖν εἰς ἐντελέχειαν ἄγον ἐκ δυνάμει ὄντος 10 κατὰ τὸ νοοῦν καὶ φρονοῦν οὐ [r] διδασκαλίαν ἀλλ' ἑτέραν ἐπωνυμίαν ἔχειν δίκαιον· τὸ δ' ἐκ δυνάμει [s] ὄντος μανθάνον καὶ λαμβάνον ἐπιστήμην ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ διδασκαλικοῦ [t] ἤτοι [v] οὐδὲ πάσχειν φατέον, [w] ὥσπερ εἴρηται, ἢ δύο τρόπους εἶναι ἀλλοιώσεως, τήν τε ἐπὶ τὰς στερητικὰς διαθέσεις μεταβολὴν καὶ [x] τὴν ἐπὶ τὰς ἕξεις καὶ τὴν φύσιν. Τοῦ δ' αἰσθητικοῦ ἡ μὲν πρώτη μεταβολὴ γίνεται ὑπὸ τοῦ 11 γεννῶντος, ὅταν δὲ γεννηθῇ, ἔχει ἤδη ὥσπερ ἐπιστήμην καὶ τὸ αἰσθάνεσθαι. [y] Καὶ τὸ κατ' ἐνέργειαν [z] δὲ ὁμοίως λέγεται [a] τῷ θεωρεῖν· διαφέρει δέ, ὅτι τοῦ μὲν τὰ ποιητικὰ τῆς ἐνεργείας ἔξωθεν, τὸ ὁρατὸν καὶ τὸ ἀκουστόν, ὁμοίως δὲ καὶ τὰ [b] λοιπὰ τῶν αἰσθητῶν. Αἴτιον δ' ὅτι τῶν καθ' ἕκαστον 12 ἡ κατ' ἐνέργειαν αἴσθησις, ἡ δ' ἐπιστήμη τῶν καθόλου· ταῦτα δ' ἐν αὐτῇ πώς ἐστι τῇ ψυχῇ. Διὸ νοῆσαι μὲν ἐπ' αὐτῷ, [c] ὁπόταν [d] βούληται, αἰσθάνεσθαι δ' οὐκ ἐπ' αὐτῷ· ἀναγκαῖον γὰρ ὑπάρχειν τὸ αἰσθητόν. Ὁμοίως δὲ [e] τοῦτ' ἔχει κἀν ταῖς ἐπιστήμαις [f] ταῖς τῶν αἰσθητῶν, καὶ διὰ τὴν αὐτὴν αἰτίαν, ὅτι τὰ αἰσθητὰ τῶν καθ' [g] ἕκαστα καὶ τῶν ἔξωθεν. Ἀλλὰ 13 περὶ μὲν τούτων διασαφῆσαι καιρὸς γένοιτ' [h] ἂν καὶ εἰσαῦθις. Νῦν [i] δὲ διωρίσθω τοσοῦτον, ὅτι οὐχ ἁπλοῦ ὄντος τοῦ δυνάμει λεγομένου, ἀλλὰ τοῦ μὲν ὥσπερ ἂν [k] εἴποιμεν τὸν παῖδα

[k] ἐντελεχείᾳ ὄντος om. X. [l] ὁμοῦ S. [m] τὴν om. S.X. [n] ἑαυτὸ X. [o] εἰς ἐντ.] ἡ ἐντελέχεια V. [p] εἶδος V. [q] ὥσπερ om. V. [r] διδασκαλία W. [s] ὄντος κατὰ τὸ νοοῦν καὶ φρονοῦν μανθ. X. [t] ἤτοι] εἶτα V. [v] οὐδὲν X. [w] ὥσπερ εἴρηται om. S.U.X. [x] τὴν ante ἐπὶ om. V. [y] καὶ post αἰσθ. om. E.U, καὶ τὸ om. V. [z] δὲ om. S.V, post ὁμοίως ponit E. [a] τὸ T. [b] λοιπὰ] ἄλλα X, λοιπὰ ἀπὸ S. [c] ὅταν V.W.X. [d] βούλεται V. [e] τούτῳ U.X, τούτοις S. [f] ταῖς om. X. [g] ἕκαστον V. [h] ἂν om. X. [i] δ' ἐπὶ τοσοῦτον διωρίσθω W, δὲ διωρίσθω τοῦτο S.T. [k] εἴπωμεν S.U.X.

*δύνασθαι στρατηγεῖν, τοῦ δὲ ὡς τὸν ἐν ἡλικίᾳ ὄντα, οὕτως*
14 *ἔχει τὸ αἰσθητικόν.* ⁴Ἐπεὶ *δ' ἀνώνυμος αὐτῶν ἡ διαφορά, διώρισται δὲ περὶ αὐτῶν* [l] *ὅτι ἕτερα καὶ πῶς ἕτερα,* [m] *χρῆσθαι ἀναγκαῖον* [n] *τῷ πάσχειν καὶ ἀλλοιοῦσθαι ὡς κυρίοις ὀνόμασιν· τὸ* [o] *δ' αἰσθητικὸν δυνάμει ἐστὶν οἷον τὸ αἰσθητὸν* [p] *ἤδη ἐντελεχείᾳ, καθάπερ εἴρηται.* Πάσχει *μὲν οὖν οὐχ ὅμοιον* [q] *ὄν, πεπονθὸς δ' ὡμοίωται καὶ ἔστιν οἷον ἐκεῖνο.*

6 Λ*εκτέον δὲ καθ' ἑκάστην αἴσθησιν περὶ τῶν αἰσθητῶν πρῶτον.* Λ*έγεται δὲ τὸ αἰσθητὸν τριχῶς,* [r] *ὧν* [s] *δύο μὲν καθ' αὑτά φαμεν αἰσθάνεσθαι, τὸ δὲ ἓν κατὰ συμβεβηκός.* Τ*ῶν δὲ δύο τὸ* [t] *μὲν ἴδιόν ἐστιν* [v] *ἑκάστης* [w] *αἰσθήσεως, τὸ δὲ*
2 *κοινὸν πασῶν.* Λ*έγω δ' ἴδιον μὲν ὃ μὴ ἐνδέχεται ἑτέρᾳ αἰσθήσει αἰσθάνεσθαι, καὶ περὶ ὃ μὴ ἐνδέχεται ἀπατηθῆναι, οἷον ὄψις χρώματος καὶ ἀκοὴ ψόφου καὶ γεῦσις χυμοῦ.* ʽΗ *δ' ἁφὴ* [x] *πλείους μὲν ἔχει διαφοράς· ἀλλ' ἑκάστη γε κρίνει περὶ* [y] *τούτων, καὶ οὐκ ἀπατᾶται ὅτι χρῶμα οὐδ' ὅτι ψόφος, ἀλλὰ τί τὸ κεχρωσμένον* [z] *ἢ ποῦ,* [a] *ἢ τί τὸ ψοφοῦν ἢ ποῦ.*
3 Τ*ὰ μὲν οὖν τοιαῦτα λέγεται ἴδια* [b] *ἑκάστου, κοινὰ δὲ κίνησις, ἠρεμία, ἀριθμός, σχῆμα, μέγεθος· τὰ γὰρ τοιαῦτα οὐδεμιᾶς ἐστὶν ἴδια, ἀλλὰ κοινὰ* [c] *πάσαις· καὶ* [d] *γὰρ ἁφῇ κίνησίς* [e] *τίς*
4 *ἐστιν* [f] *αἰσθητὴ καὶ* [g] *ὄψει.* Κ*ατὰ συμβεβηκὸς δὲ λέγεται αἰσθητόν, οἷον εἰ τὸ λευκὸν εἴη* [h] Δ*ιάρους* [i] *υἱός· κατὰ συμβεβηκὸς γὰρ τούτου* [k] *αἰσθάνεται, ὅτι* [l] *τῷ λευκῷ συμβέβηκε τοῦτο* [m] *οὗ αἰσθάνεται.* Δ*ιὸ* [n] *καὶ οὐδὲν πάσχει* [o] *ᾗ τοιοῦτον ὑπὸ τοῦ αἰσθητοῦ.* Τ*ῶν δὲ καθ' αὑτὰ αἰσθητῶν* [p] *τὰ ἴδια κυρίως ἐστὶν αἰσθητά, καὶ πρὸς ἃ ἡ οὐσία πέφυκεν* [q] *ἑκάστης αἰσθήσεως.*

[l] *ἕτερα καὶ ὅτι ἕτερα χρ.* W. [m] *χρῆσθαι δ' ἀν.* S. [n] *τὸ* T. [o] *δ'* om. E.S. [p] *ἤδη ὡς ἐντελ.* S. [q] *ὂν* om. S. [r] *ὡς* S. [s] *δυοῖν* S.U.X. [t] *μὲν ἐν ἴδιόν* V. [v] *ἑκάστης τῆς αἰσθ.* W. [w] *αἰσθήσεως* om. V. [x] *πλείστας* T. [y] *τούτου* V. [z] *ἢ ποῦ* om. U. [a] *ἢ τί—ποῦ* om. V, *ἢ ποῦ* om. W. [b] *ἑκάστη* X, *ἑκάστης* W. [c] *πάσαις* om. U.X, et pr. S, *πάντων* rc. S. [d] *γὰρ ἡ ἁφὴ* E. [e] *τις*] *τε* V, om. U. [f] *αἰσθητικὴ* S. [g] post *ὄψει* editi *καθ' αὑτὰ μὲν οὖν ἐστὶν αἰσθητὰ ταῦτα.* [h] *διαρρους* E.T, *διαρρον* V. [i] *υἱὸς* om. W. [k] *αἰσθάνεσθαι* U.X. [l] *τὸ λευκὸν* W. [m] *ᾧ* V. [n] *καὶ* om. S.U.V. [o] *ᾗ* om. S.U.X. [p] *κυρίως τὰ ἴδια* W. [q] *ἑκάστου* T.

Οὗ μὲν [r] οὖν ἐστιν [s] ἡ ὄψις, τοῦτ' [t] ἐστὶν ὁρατόν. Ὁρα- 7
τὸν δ' ἔστιν χρῶμά [v] τε, καὶ ὃ λόγῳ μὲν ἔστιν εἰπεῖν, ἀνώ-
νυμον δὲ τυγχάνει ὄν· δῆλον δὲ ἔσται [w] ὃ λέγομεν προελ-
θοῦσι [x] μάλιστα. Τὸ γὰρ [y] ὁρατόν [z] ἐστι χρῶμα. Τοῦτο
δ' ἐστὶ τὸ ἐπὶ [a] τοῦ καθ' αὑτὸ ὁρατοῦ· καθ' αὑτὸ δὲ οὐ τῷ
λόγῳ, ἀλλ' ὅτι ἐν [b] ἑαυτῷ [c] ἔχει τὸ αἴτιον τοῦ εἶναι ὁρατόν.
Πᾶν δὲ χρῶμα κινητικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, 2
καὶ τοῦτ' ἔστιν αὐτοῦ ἡ φύσις. Διόπερ οὐχ ὁρατὸν ἄνευ
φωτός, ἀλλὰ [d] πᾶν τὸ ἑκάστου χρῶμα ἐν φωτὶ [e] ὁρατόν.
Διὸ περὶ φωτὸς [f] πρῶτον [g] λεκτέον τί ἐστιν. Ἔστι δή τι
διαφανές. Διαφανὲς δὲ λέγω ὃ ἔστι μὲν ὁρατόν, οὐ καθ'
αὑτὸ δὲ ὁρατὸν ὡς [h] ἁπλῶς εἰπεῖν, ἀλλὰ δι' ἀλλότριον χρῶμα.
Τοιοῦτον δέ ἐστιν ἀὴρ [i] καὶ ὕδωρ καὶ πολλὰ τῶν [k] στερεῶν· 3
οὐ γὰρ ᾗ ὕδωρ [l] οὐδ' [m] ᾗ ἀήρ, διαφανές, ἀλλ' ὅτι [n] ἐστὶ φύσις
[o] ἐνυπάρχουσα ἡ αὐτὴ ἐν τούτοις ἀμφοτέροις καὶ ἐν τῷ ἀϊδίῳ
τῷ ἄνω σώματι. Φῶς δέ ἐστιν ἡ τούτου ἐνέργεια τοῦ δια- 4
φανοῦς ᾗ διαφανές. Δυνάμει δὲ ἐν [p] ᾧ [q] τοῦτ' ἐστί, καὶ τὸ
σκότος. Τὸ δὲ φῶς οἷον χρῶμά ἐστι τοῦ διαφανοῦς, ὅταν
[r] ᾖ ἐντελεχείᾳ διαφανὲς [s] ὑπὸ πυρὸς ἢ τοιούτου οἷον τὸ ἄνω
σῶμα· καὶ γὰρ [t] τούτῳ [v] τι ὑπάρχει ἓν καὶ ταὐτόν. Τί μὲν 5
οὖν [w] τὸ διαφανὲς [x] καὶ τί τὸ φῶς, εἴρηται, ὅτι οὔτε πῦρ οὔθ'
ὅλως σῶμα [y] οὐδ' ἀπορροὴ σώματος οὐδενός (εἴη γὰρ ἂν σῶ-
μά τι καὶ οὕτως), ἀλλὰ πυρὸς ἢ τοιούτου τινὸς παρουσία
ἐν τῷ διαφανεῖ· [z] οὐδὲ γὰρ δύο σώματα ἅμα [a] δυνατὸν ἐν
τῷ αὐτῷ εἶναι. Δοκεῖ [b] δὲ τὸ φῶς ἐναντίον [c] εἶναι τῷ [d] σκό-

[r] οὖν om. T. [s] ἡ om. S.U. [t] ἐστὶν ὁρατόν. ἔστι δὲ χρ. X. [v] τε] μὲν E.W. [w] ὃ λέγομεν om. U, post ὁρατὸν ponunt S.X. [x] μάλιστα om S.U.X. [y] ὁρατόν τέ ἐστι S. [z] ἐστι ante χρ. om. U. [a] τοῦ—ὁρατοῦ] τῶν—ὁρατῶν T.W. [b] αὑτῷ X, αὐτῷ U.V. [c] ἔχει om. T. [d] πάντως ἕκαστον S.U.X. [e] ὁρᾶται E.T. [f] πρότερον W. [g] ληπτέον X. [h] εἰπεῖν ἁπλῶς U.X. [i] καὶ ante ὕδ. om. X. [k] στερεῶν οἷον ὕελος κρύσταλλος. οὐ T. et margo U. [l] οὐδ'] ἢ S.X. [m] ᾗ om. X. [n] ἐστι τις φ. U.X. [o] ὑπάρχουσα E.T.W. [p] οἷς U. [q] τοῦτο ante ἐν W. [r] ᾖ om. E. [s] ὑπὸ τοῦ πυρὸς X. [t] τοῦτο S. [v] ὑπάρχει τι S.X. [w] τὸ ante δ. om. X. [x] εἴρηται καὶ τί τὸ φῶς V. [y] οὔτε T.V.W. [z] οὔτε U.X. [a] δυνατὸν ante ἅμα S.X, post αὐτῷ V. [b] τε E.S.W. [c] εἶναι om. V. [d] σκότῳ E.S.

τει· ἔστι δὲ [e] τὸ σκότος στέρησις [f] τῆς τοιαύτης ἕξεως ἐκ
διαφανοῦς, ὥστε δῆλον ὅτι καὶ [g] ἡ τούτου παρουσία τὸ φῶς
6 ἐστίν. Καὶ οὐκ ὀρθῶς ʽἘμπεδοκλῆς, οὐδ' [h] εἴ τις ἄλλος
[i] οὕτως εἴρηκεν, ὡς φερομένου τοῦ φωτὸς καὶ [k] γιγνομένου
[l] ποτὲ μεταξὺ τῆς γῆς καὶ τοῦ περιέχοντος, ἡμᾶς δὲ λανθά-
νοντος· τοῦτο γάρ ἐστι καὶ [m] παρὰ [n] τὴν ἐν τῷ λόγῳ [o] ἀλή-
θειαν [p] καὶ παρὰ τὰ φαινόμενα· ἐν μικρῷ [q] μὲν γὰρ δια-
στήματι λάθοι ἄν, ἀπ' ἀνατολῆς δ' ἐπὶ δυσμὰς τὸ λαν-
7 θάνειν μέγα λίαν τὸ αἴτημα. Ἔστι [r] δὲ χρώματος μὲν
δεκτικὸν τὸ ἄχρουν, ψόφου δὲ τὸ ἄψοφον. [s] Ἄχρουν
δ' ἐστὶ τὸ διαφανὲς καὶ τὸ ἀόρατον ἢ τὸ [t] μόλις ὁρώμε-
νον, οἷον δοκεῖ τὸ [v] σκοτεινόν. Τοιοῦτον δὲ τὸ [w] διαφανὲς
μέν, ἀλλ' οὐχ ὅταν ᾖ ἐντελεχείᾳ διαφανές, ἀλλ' ὅταν δυ-
νάμει· ἡ γὰρ αὐτὴ φύσις ὁτὲ μὲν σκότος ὁτὲ δὲ φῶς
8 ἐστίν. Οὐ πάντα δὲ [x] ὁρατὰ ἐν φωτί ἐστιν, ἀλλὰ μόνον
[y] ἑκάστου τὸ οἰκεῖον χρῶμα· ἔνια γὰρ ἐν μὲν τῷ φωτὶ οὐχ
ὁρᾶται, ἐν δὲ τῷ [z] σκότει ποιεῖ αἴσθησιν, οἷον τὰ [a] πυρώδη
φαινόμενα καὶ λάμποντα (ἀνώνυμα δ' [b] ἐστὶ [c] ταῦτα ἑνὶ ὀνό-
ματι), οἷον μύκης, κέρας, κεφαλαὶ ἰχθύων [d] καὶ [e] λεπίδες [f] καὶ
ὀφθαλμοί· ἀλλ' οὐδενὸς ὁρᾶται [g] τούτων τὸ οἰκεῖον χρῶμα.
9 Δι' ἣν μὲν οὖν αἰτίαν ταῦτα [h] ὁρᾶται, ἄλλος λόγος· νῦν δ'
ἐπὶ τοσοῦτον φανερόν ἐστιν, ὅτι τὸ μὲν ἐν φωτὶ ὁρώμενον
χρῶμα. Διὸ [i] καὶ οὐχ ὁρᾶται ἄνευ φωτός· τοῦτο γὰρ ἦν
[k] αὐτῷ [l] τὸ χρώματι εἶναι τὸ [m] κινητικῷ εἶναι τοῦ κατ' ἐνέρ-
γειαν διαφανοῦς· [n] ἡ δ' ἐντελέχεια τοῦ διαφανοῦς φῶς ἐστίν.
10 Σημεῖον δὲ τούτου φανερόν· [o] ἐὰν γάρ τις [p] θῇ τὸ ἔχον χρῶμα

[e] ὁ T.U, om. V. [f] τῆς om. S. [g] τὸ φῶς ἡ τούτου παρουσία S.U.X.
[h] εἴ om. V. [i] ὡσαύτως T, περὶ τούτου X, om. S. [k] τεινομένου E.V.
[l] τότε V. [m] περὶ V. [n] τὴν τοῦ λόγου E.T.V.W. [o] ἐνάργειαν T.W.
[p] καὶ om. W. [q] μὲν om. W. [r] δὲ] μὲν S. [s] ἄχροον V. [t] μόγις X.
[v] ἐσκοτισμένον W. [w] ἀφανὲς T. [x] ὁρᾶται X, omisso mox ἐστίν.
[y] ἑκάστῳ V. [z] σκότωι E. [a] πυρρώδη E. [b] εἰσὶ T. [c] ταῦτα om. U.
[d] καὶ om. U.X. [e] λοπίδες E. [f] καὶ om. X. [g] τούτων τὸ] τοῦτο T.
[h] ὁρατὰ E. [i] καὶ om. E.U.W. [k] αὐτὸ W. [l] τῷ W, om. S.
[m] κινητὴν S. [n] ἡ δ'—οὐρανῷ εἴη om. pr. V. [o] εἰ γὰρ ἄν τις W.
[p] θείη W.X.

ἐπ᾿ αὐτὴν τὴν ὄψιν, οὐκ ὄψεται· ἀλλὰ τὸ μὲν χρῶμα κινεῖ
τὸ διαφανές, οἷον τὸν ἀέρα, ὑπὸ τούτου [q] δὲ συνεχοῦς ὄντος
κινεῖται τὸ αἰσθητήριον. Οὐ γὰρ καλῶς τοῦτο λέγει Δημό-
κριτος οἰόμενος, εἰ [r] γένοιτο [s] κενὸν τὸ μεταξύ, ὁρᾶσθαι [t] ἂν
[v] ἀκριβῶς καὶ [w] εἰ μύρμηξ ἐν τῷ οὐρανῷ εἴη· τοῦτο γὰρ [x] ἀδύ-
νατόν ἐστιν. Πάσχοντος γάρ [y] τι τοῦ [z] αἰσθητικοῦ γίνεται 11
τὸ ὁρᾶν· ὑπ᾿ αὐτοῦ μὲν [a] οὖν τοῦ ὁρωμένου χρώματος ἀδύνα-
τον, λείπεται [b] δὲ ὑπὸ τοῦ μεταξύ, [c] ὥστ᾿ ἀναγκαῖόν τι εἶναι
μεταξύ· κενοῦ δὲ γενομένου οὐχ ὅτι ἀκριβῶς, ἀλλ᾿ ὅλως οὐθὲν
ὀφθήσεται. Δι᾿ ἣν μὲν οὖν αἰτίαν τὸ χρῶμα ἀναγκαῖον ἐν 12
φωτὶ ὁρᾶσθαι, εἴρηται. Πῦρ δὲ ἐν ἀμφοῖν ὁρᾶται, καὶ ἐν
[d] σκότει καὶ ἐν φωτί, καὶ τοῦτο ἐξ ἀνάγκης· τὸ γὰρ διαφανὲς
ὑπὸ τούτου γίνεται διαφανές. Ὁ δ᾿ αὐτὸς λόγος καὶ περὶ 13
ψόφου καὶ ὀσμῆς ἐστίν· οὐθὲν γὰρ αὐτῶν ἁπτόμενον τοῦ
αἰσθητηρίου ποιεῖ τὴν αἴσθησιν, ἀλλ᾿ ὑπὸ μὲν ὀσμῆς καὶ ψό-
φου τὸ μεταξὺ κινεῖται, ὑπὸ δὲ τούτου τῶν αἰσθητηρίων ἑκά-
τερον· ὅταν δ᾿ ἐπ᾿ αὐτό [e] τις ἐπιθῇ [f] τὸ αἰσθητήριον τὸ ψο-
φοῦν ἢ τὸ ὄζον, οὐδεμίαν αἴσθησιν ποιήσει. Περὶ δὲ ἁφῆς
καὶ γεύσεως ἔχει μὲν ὁμοίως, οὐ φαίνεται δέ· δι᾿ ἣν [g] δ᾿ αἰτίαν,
ὕστερον ἔσται δῆλον. Τὸ δὲ μεταξὺ ψόφων μὲν ἀήρ, ὀσμῆς 14
δ᾿ ἀνώνυμον· κοινὸν γὰρ [h] δή τι πάθος ἐπ᾿ ἀέρος καὶ ὕδατός
ἐστιν, ὥσπερ τὸ διαφανὲς χρώματι, οὕτω τῷ ἔχοντι ὀσμὴν
[i] ὃ ἐν ἀμφοτέροις ὑπάρχει τούτοις· φαίνεται γὰρ [k] καὶ τὰ
ἔνυδρα τῶν ζῴων ἔχειν αἴσθησιν [l] ὀσμῆς. Ἀλλ᾿ ὁ μὲν ἄν-
θρωπος καὶ τῶν πεζῶν ὅσα ἀναπνεῖ, ἀδυνατεῖ [l] ὀσμᾶσθαι μὴ
ἀναπνέοντα. Ἡ δ᾿ αἰτία καὶ περὶ τούτων ὕστερον λεχθή-
σεται.

Νῦν δὲ [m] πρῶτον περὶ ψόφου καὶ [n] ἀκοῆς διορίσωμεν. 8

[q] δὴ E.T.W. [r] γένηται W. [s] τὸ μεταξὺ κενὸν V. [t] ἂν om. W. [v] ἀκριβῶς om. X. [w] εἰ ὁ μ. W. [x] ἐστιν ἀδύνατον S.U.X. [y] τι om. S.U. [z] αἰσθητηρίου V.W. [a] οὖν om. S.U. [b] δὴ E.T.W. [c] ὥστ᾿—μεταξύ om. S.U.X. [d] σκότωι E. [e] τις ἐπιθῇ om. pr. E. [f] τὸ ante αἰσθ. om. E. [g] δ᾿ om. X. [h] δή om. S.U.V.W.X. [i] ὃ ἐν] ὃν S.X, ἐν T.V. [k] καὶ om. V. [l] ὀδμῆς et mox ὀδμᾶσθαι E.T. [m] πρῶτον om. V. [n] ἀκοῆς] ὀσφρήσεως E.W.X.

‖Ἔστι δὲ διττὸς ὁ ψόφος· ὁ μὲν γὰρ ἐνέργειά τις, ὁ δὲ [o]δύ-
ναμις· τὰ μὲν γὰρ οὔ φαμεν ἔχειν ψόφον, οἷον σπόγγον,
ἔρια, τὰ δ' ἔχειν, οἷον [p]χαλκὸν καὶ ὅσα στερεὰ καὶ λεῖα, ὅτι
δύναται ψοφῆσαι. Τοῦτο δ' ἐστὶν αὐτοῦ μεταξὺ καὶ τῆς
2 ἀκοῆς ἐμποιῆσαι ψόφον ἐνεργείᾳ. Γίνεται δ' ὁ κατ' ἐνέρ-
γειαν ψόφος ἀεί τινος πρός τι καὶ ἔν τινι· πληγὴ γάρ ἐστιν
ἡ ποιοῦσα. Διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος [q]γενέσθαι ψόφον·
ἕτερον γὰρ τὸ τύπτον καὶ τὸ τυπτόμενον· ὥστε τὸ ψοφοῦν
3 πρός τι ψοφεῖ. Πληγὴ δ' οὐ γίνεται ἄνευ φορᾶς. ‖Ὥσπερ
δ' εἴπομεν, οὐ τῶν τυχόντων πληγὴ ὁ ψόφος· οὐθένα γὰρ
[r]ποιεῖ ψόφον [s]ἔρια ἂν πληγῇ, ἀλλὰ χαλκὸς καὶ ὅσα λεῖα
καὶ κοῖλα, ὁ μὲν χαλκός, ὅτι λεῖος· τὰ δὲ κοῖλα τῇ ἀνακλά-
σει πολλὰς ποιεῖ πληγὰς μετὰ τὴν πρώτην, ἀδυνατοῦντος
4 ἐξελθεῖν τοῦ κινηθέντος. ‖Ἔτι ἀκούεται [t]ἐν ἀέρι καὶ ὕδατι,
ἀλλ' [v]ἧττον. Οὐκ ἔστι δὲ ψόφου [w]κύριος ὁ ἀὴρ [x]οὐδὲ τὸ
ὕδωρ· [y]ἀλλὰ δεῖ στερεῶν πληγὴν γενέσθαι πρὸς ἄλληλα καὶ
πρὸς τὸν ἀέρα. Τοῦτο δὲ γίνεται, ὅταν [z]ὑπομένῃ πληγεὶς
5 ὁ ἀὴρ καὶ μὴ διαχυθῇ. Διὸ [a]ἐὰν ταχέως καὶ σφοδρῶς πλη-
γῇ, ψοφεῖ· δεῖ γὰρ φθάσαι τὴν κίνησιν τοῦ ῥαπίζοντος τὴν
θρύψιν τοῦ ἀέρος, ὥσπερ [b]ἂν εἰ σωρὸν ἢ ὁρμαθὸν [c]ψάμμου
[d]τύπτοι τις φερόμενον ταχύ. ‖Ἠχὼ δὲ γίνεται, ὅταν [e]ἀπὸ
τοῦ ἀέρος ἑνὸς [f]γενομένου διὰ τὸ ἀγγεῖον τὸ διορίσαν καὶ
κωλῦσαν θρυφθῆναι πάλιν ὁ ἀὴρ ἀπωσθῇ, ὥσπερ σφαῖρα.
6 ‖Ἔοικε δ' ἀεὶ γίνεσθαι ἠχώ, ἀλλ' οὐ σαφής, ἐπεὶ συμβαίνει
γε ἐπὶ τοῦ ψόφου καθάπερ καὶ ἐπὶ τοῦ φωτός· καὶ γὰρ τὸ
φῶς ἀεὶ ἀνακλᾶται ([g]οὐδὲ γὰρ ἂν ἐγίνετο πάντῃ φῶς, ἀλλὰ
σκότος ἔξω τοῦ [h]ἡλιουμένου), ἀλλ' οὐχ οὕτως ἀνακλᾶται
ὥσπερ ἀφ' ὕδατος ἢ χαλκοῦ [i]ἢ καί τινος ἄλλου τῶν λείων,

[o] δυνάμει E. [p] χαλκὸς T. [q] γίνεσθαι X, γενέσθαι τὸν E. [r] ψόφον ποιεῖ W. [s] ἔριον ἢ πατάξαν ἢ πληγέν, ἀλλὰ V.X. et margo U: ipse enim U. sola habet ἔριον ἀλλὰ. [t] ἐν] ὡς T. [v] ἦσσον X. [w] κυρίως S.T.V. [x] οὔτε T.W, οὔτε δὲ E. [y] ἀλλὰ διὰ στ. γενέσθαι πλ. X. [z] ὑπομείνῃ E. [a] ἂν W. [b] ἂν om. S.T.U.X. [c] ἄμμου X. [d] τύπτῃ W, τύπτει X. [e] ἀπὸ τοῦ om. S.U.V.X. [f] γινομένου U.V.W.X. [g] οὐ S.T.U.V.X. [h] ἡλιωμένου S.X. [i] ἢ καί] ἤ S.V, καί W.

ὥστε σκιὰν ποιεῖν, ᾗ τὸ φῶς ὁρίζομεν. Τὸ δὲ κενὸν ὀρθῶς 7
λέγεται κύριον τοῦ ἀκούειν. Δοκεῖ γὰρ εἶναι κενὸν ὁ ἀήρ,
οὗτος δ' ἐστὶν ὁ ποιῶν ἀκούειν, ὅταν [k] κινηθῇ συνεχὴς καὶ εἷς.
Ἀλλὰ διὰ τὸ [l] ψαθυρὸς εἶναι οὐ [m] γεγωνεῖ, [n] ἂν μὴ λεῖον ᾖ
τὸ πληγέν. Τότε δὲ εἷς γίνεται [o] ἅμα διὰ τὸ ἐπίπεδον· ἓν
γὰρ τὸ τοῦ λείου ἐπίπεδον. Ψοφητικὸν μὲν οὖν τὸ κινητι-
κὸν ἑνὸς ἀέρος συνεχείᾳ μέχρις ἀκοῆς, ἀκοὴ δὲ συμφυὴς [p] ἀέρι.
Διὰ δὲ τὸ ἐν ἀέρι εἶναι, κινουμένου τοῦ ἔξω [q] τὸ [r] εἴσω [s] κινεῖ. 8
[t] Διόπερ οὐ [u] πάντῃ τὸ ζῷον ἀκούει, οὐδὲ πάντῃ διέρχεται ὁ
ἀήρ· οὐ γὰρ πάντῃ ἔχει ἀέρα τὸ κινησόμενον μέρος καὶ [v] ἔμ-
ψυχον. Αὐτὸ μὲν δὴ ἄψοφον ὁ ἀὴρ διὰ τὸ εὔθρυπτον·
ὅταν δὲ κωλυθῇ θρύπτεσθαι, ἡ τούτου κίνησις [w] ψόφος. Ὁ 9
δ' ἐν τοῖς ὠσὶν ἐγκατῳκοδόμηται πρὸς τὸ ἀκίνητος εἶναι,
ὅπως ἀκριβῶς αἰσθάνηται πάσας τὰς διαφορὰς τῆς κινήσεως.
Διὰ ταῦτα δὲ καὶ ἐν ὕδατι ἀκούομεν, ὅτι οὐκ εἰσέρχεται πρὸς
αὐτὸν τὸν συμφυῆ ἀέρα· ἀλλ' οὐδ' εἰς τὸ οὖς διὰ τὰς ἕλικας.
Ὅταν δὲ τοῦτο συμβῇ, οὐκ ἀκούει· [x] οὐδ' ἂν ἡ [y] μῆνιγξ κάμῃ,
ὥσπερ τὸ ἐπὶ τῇ κόρῃ δέρμα [z] ὅταν κάμῃ. Ἀλλὰ καὶ ση- 10
μεῖον τοῦ ἀκούειν ἢ μὴ τὸ ἠχεῖν [a] αἰεὶ τὸ οὖς ὥσπερ τὸ κέρας·
ἀεὶ γὰρ οἰκείαν τινὰ κίνησιν [b] ὁ ἀὴρ κινεῖται [c] ὁ ἐν τοῖς ὠσίν·
ἀλλ' ὁ ψόφος ἀλλότριος καὶ οὐκ ἴδιος. Καὶ διὰ τοῦτό
φασιν ἀκούειν τῷ κενῷ καὶ ἠχοῦντι, ὅτι ἀκούομεν τῷ ἔχοντι
ὡρισμένον [d] τὸν ἀέρα. Πότερον δὲ ψοφεῖ τὸ τυπτόμενον ἢ 11
τὸ τύπτον; ἢ καὶ ἄμφω, τρόπον δ' ἕτερον· ἔστι γὰρ ὁ
ψόφος κίνησις τοῦ δυναμένου κινεῖσθαι τὸν τρόπον τοῦτον
ὅνπερ τὰ [e] ἀφαλλόμενα ἀπὸ τῶν λείων, ὅταν τις κρούσῃ.
Οὐ δὴ πᾶν, ὥσ[f]περ εἴρηται, ψοφεῖ τυπτόμενον [g] καὶ τύπτον,

[k] κινῆσθαι S. [l] ψαθυρὸν X. [m] γεγώνει S. [n] ἂν] ἀλλ' εἰ W. [o] ἅμα γὰρ διὰ U. [p] ἀήρ W. [q] ὁ E.T.W. [r] ἔσω S.U. [s] κινεῖται E.U.X. [t] διὸ V. [u] παντὶ μέρει τὸ ζῷον ἀκούει ἀλλ' ὠσίν· οὐδὲ πανταχοῦ τοῦ σώματος διέρχεται· οὐ γὰρ W. [v] ἔμψυχον, ὥσπερ ἡ κόρη τὸ ὑγρόν. αὐτὸ W. et margo U. [w] ψόφος γίνεται. ὁ W. [x] οὔτ' E.T. [y] μήνιξ U. [z] ὅταν κάμῃ om. E.T.W. [a] αἰεὶ om. S.V.X. [b] κινεῖται ὁ ἀὴρ S.U.V. [c] ὁ ante ἐν om. S.T.U.W.X. [d] τὸν om. S.U.V.X. [e] ἀλλόμενα S.V.X, σφαλλόμενα W. [f] περ om. T. [g] καὶ τύπτον om. S.U.V.X.

*οἷον [h] ἐὰν πατάξῃ βελόνη βελόνην· ἀλλὰ δεῖ τὸ τυπτόμενον*
*ὁμαλὸν εἶναι, ὥστε τὸν ἀέρα [i] ἀθροῦν [k] ἀφάλλεσθαι καὶ σείε-*
12 *σθαι. Αἱ δὲ διαφοραὶ τῶν [l] ψοφούντων [m] ἐν τῷ κατ' ἐνέρ-*
*γειαν ψόφῳ [n] δηλοῦνται· ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται*
*τὰ χρώματα, οὕτως οὐδ' ἄνευ ψόφου τὸ ὀξὺ καὶ τὸ βαρύ.*
*Ταῦτα δὲ λέγεται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν· τὸ μὲν*
*γὰρ ὀξὺ κινεῖ τὴν αἴσθησιν ἐν ὀλίγῳ χρόνῳ ἐπὶ πολύ, τὸ δὲ*
13 *βαρὺ ἐν πολλῷ [o] ἐπ' ὀλίγον. [p] Οὐ δὴ ταχὺ τὸ ὀξύ, [q] τὸ δὲ*
*βαρὺ βραδύ, ἀλλὰ γίνεται τοῦ μὲν διὰ τὸ τάχος ἡ κίνησις*
*[r] τοιαύτη, τοῦ δὲ διὰ βραδυτῆτα. Καὶ ἔοικεν [s] ἀνάλογον*
*ἔχειν τῷ περὶ τὴν [t] ἁφὴν ὀξεῖ καὶ ἀμβλεῖ· τὸ μὲν γὰρ ὀξὺ*
*οἷον κεντεῖ, τὸ δ' ἀμβλὺ οἷον ὠθεῖ διὰ τὸ κινεῖν, τὸ μὲν ἐν*
*ὀλίγῳ, τὸ δὲ ἐν πολλῷ, ὥστε [v] συμβαίνει τὸ μὲν ταχὺ τὸ δὲ*
14 *βραδὺ εἶναι. Περὶ μὲν οὖν ψόφου ταύτῃ διωρίσθω. ʽΗ δὲ*
*φωνὴ ψόφος τίς ἐστιν ἐμψύχου· τῶν γὰρ ἀψύχων οὐθὲν*
*[w] φωνεῖ, ἀλλὰ καθ' ὁμοιότητα λέγεται φωνεῖν, οἷον αὐλὸς*
*καὶ λύρα καὶ ὅσα ἄλλα τῶν ἀψύχων ἀπότασιν ἔχει καὶ μέλος*
*καὶ διάλεκτον· ἔοικε [x] γὰρ ὅτι [y] καὶ ἡ φωνὴ ταῦτ' ἔχει, πολλὰ*
*δὲ τῶν ζῴων οὐκ ἔχουσι [z] φωνήν, οἷον τά τε ἄναιμα καὶ τῶν*
15 *ἐναίμων ἰχθύες. Καὶ τοῦτ' εὐλόγως, εἴπερ ἀέρος κίνησίς [a] τίς*
*ἐστιν ὁ ψόφος. ʼΑλλ' οἱ λεγόμενοι φωνεῖν, οἷον ἐν τῷ*
*[b] ʼΑχελῴῳ, ψοφοῦσι τοῖς βραγχίοις ἤ τινι ἑτέρῳ τοιούτῳ.*
*Φωνὴ δ' ἐστὶ [c] ζῴου ψόφος, καὶ οὐ τῷ τυχόντι μορίῳ. ʼΑλλ'*
*ἐπεὶ πᾶν ψοφεῖ τύπτοντός τινος [d] καί τι καὶ ἔν τινι, τοῦτο*
*δ' ἐστὶν ἀήρ, εὐλόγως ἂν φωνοίη ταῦτα μόνα ὅσα δέχεται*
16 *τὸν ἀέρα. ʼΗδη γὰρ τῷ ἀναπνεομένῳ καταχρῆται ἡ φύσις*
*ἐπὶ δύο ἔργα, καθάπερ τῇ γλώττῃ ἐπί [e] τε τὴν γεῦσιν καὶ*
*τὴν διάλεκτον, ὧν ἡ μὲν γεῦσις ἀναγκαῖον (διὸ [f] καὶ πλείοσιν*

[h] *ἂν* W. [i] *ἀθρόον* S.T.U.V.W.X. [k] *ἀφελέσθαι* S. [l] *ψόφων* T, *ψόφων τῶν* U. [m] *ἐν* om. T. [n] *δηλονότι* V. [o] *ἐπ'* om. S.U.V.W. [p] *οὐ δὴ*] *ὥστε οὐχὶ* T.W, *ὥστε οὐδὲ* V, *οὕτω* X. [q] *τὸ δὲ*] *οὐδὲ τὸ* V. [r] *τοιαύτη*] *τοῦ ταύ-της* S, om. T. [s] *ἔχειν ἀνάλ.* X. [t] *ἀκοὴν* W. [v] *συμβαίνειν* E.S. [w] *φωνὴ* U. [x] *γὰρ*] *δὲ* S.U.V. [y] *καὶ* om. S. [z] *φωνεῖν* W. [a] *τις* om. S.U.V.X. [b] *ἀχελώῳ ἰχθύες ψοφοῦσι* S.V. [c] *ψόφος ζώου* W. [d] *καὶ* om. T.W. [e] *τε* om. S.U.V.W.X. [f] *καὶ* om. E.T.

ὑπάρχει), ἡ δ' ἑρμηνεία [g] ἕνεκα τοῦ εὖ, οὕτω καὶ τῷ πνεύματι
πρός τε τὴν θερμότητα τὴν ἐντὸς ὡς ἀναγκαῖον [h] (τὸ δ' αἴ-
τιον ἐν ἑτέροις εἰρήσεται) καὶ πρὸς τὴν φωνήν, ὅπως [i] ὑπάρχῃ
τὸ εὖ. Ὄργανον δὲ τῇ ἀναπνοῇ ὁ φάρυγξ· οὗ δ' [k] ἕνεκα 17
[l] καὶ τὸ μόριόν ἐστι τοῦτο, [m] πλεύμων· τούτῳ γὰρ τῷ μορίῳ
[n] πλεῖστον ἔχει τὸ θερμὸν τὰ πεζὰ τῶν ἄλλων. Δεῖται δὲ
τῆς ἀναπνοῆς καὶ ὁ περὶ τὴν καρδίαν [o] τόπος πρῶτος. Διὸ
ἀναγκαῖον [p] εἴσω ἀναπνεομένου εἰσιέναι τὸν ἀέρα. Ὥστε ἡ
πληγὴ τοῦ [q] ἀναπνεομένου ἀέρος ὑπὸ τῆς ἐν τούτοις τοῖς
μορίοις [r] ψυχῆς πρὸς τὴν καλουμένην ἀρτηρίαν φωνή ἐστιν.
Οὐ γὰρ πᾶς ζῴου ψόφος φωνή, καθάπερ εἴπομεν (ἔστι γὰρ 18
[s] καὶ τῇ γλώττῃ ψοφεῖν [t] καὶ [v] ὡς οἱ βήττοντες), ἀλλὰ [w] δεῖ
ἔμψυχόν [x] τε εἶναι [y] τὸ τύπτον καὶ μετὰ φαντασίας τινός·
σημαντικὸς γὰρ [z] δή τις ψόφος ἐστὶν ἡ φωνή, καὶ οὐ τοῦ
ἀναπνεομένου ἀέρος, ὥσπερ ἡ [a] βήξ· ἀλλὰ [b] τούτῳ τύπτει
τὸν ἐν τῇ ἀρτηρίᾳ πρὸς αὐτήν. Σημεῖον δὲ τὸ μὴ δύνασθαι 19
φωνεῖν ἀναπνέοντα μηδ' ἐκπνέοντα, [c] ἀλλὰ κατέχοντα· κινεῖ
γὰρ [d] τοῦτο ὁ κατέχων. Φανερὸν [e] δὲ καὶ διότι οἱ ἰχθύες
ἄφωνοι· οὐ γὰρ ἔχουσι φάρυγγα. Τοῦτο δὲ τὸ μόριον οὐκ
ἔχουσιν, ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ' [f] ἀναπνέουσιν. Δι'
ἣν [g] μὲν οὖν αἰτίαν, ἕτερός [h] ἐστι λόγος.

Περὶ δὲ [i] ὀσμῆς καὶ ὀσφραντοῦ ἧττον εὐδιόριστόν ἐστι 9
τῶν εἰρημένων· οὐ γὰρ δῆλον ποῖόν τί ἐστιν [k] ἡ [l] ὀσμή,
οὕτως ὡς ὁ [m] ψόφος ἢ τὸ χρῶμα. Αἴτιον δ' ὅτι τὴν

[g] ἕνεκεν S.T.U.V.W.X. [h] τὸ—εἴρηται post φωνήν W. εἴρηται etiam S.V.X. [i] ὑπάρχοι E.V, ὑπάρχει T.W. [k] ἕνεκεν S.X. [l] καὶ om. E.S.U.W. [m] πνεύμων S.T.U.V.W.X. [n] πλεῖον S.U.V.W, πλέον T. [o] πρῶτος τόπος U. [p] ἀναπνεομένου εἴσω W. [q] ἀναπνεομένου om. W. [r] ψυχικῆς δυνάμεως πρὸς W. [s] καὶ om. S.U.V.X. [t] καὶ om. E.W. [v] ὥσπερ οἱ W. [w] δεῖ] δὴ U.V. [x] τι S.U.V.X. [y] τὸ τύπτον post δεῖ X. [z] δή om. S.U.V.W.X. [a] βῆξις E.T. [b] τοῦτο X. [c] ἀλλὰ κατέχοντα om. E. [d] τούτῳ S.T.U.X. [e] δὲ] γὰρ S.T.U.V.W. [f] ἀναπνέουσιν. ἀλλ' οἱ λέγοντες οὕτως ἁμαρτάνουσιν. δι' S.V.W, ἀλλ' οἱ λέγοντες ὅτι φωνοῦσιν οἱ ἰχθύες διαμαρτάνουσιν. δι' X. [g] μὲν οὖν] δ' V.X, om. S.U. [h] ἔσται S.U.V.X, om. T. [i] ὀδμῆς W. [k] ἡ om. S.U.X. [l] ὀδμή E.T.W. [m] ψ. ἢ τὸ φῶς ἢ T.W.X.

*αἴσθησιν ταύτην οὐκ ἔχομεν ἀκριβῆ, ἀλλὰ [n] χείρω πολλῶν
ζῴων· φαύλως [o] γὰρ ἄνθρωπος ὀσμᾶται, καὶ οὐθενὸς [p] αἰσθά-
νεται τῶν ὀσφραντῶν ἄνευ τοῦ λυπηροῦ ἢ τοῦ ἡδέος, ὡς οὐκ
2 ὄντος ἀκριβοῦς τοῦ αἰσθητηρίου. Εὔλογον δ' οὕτω καὶ τὰ
σκληρόφθαλμα τῶν χρωμάτων αἰσθάνεσθαι, καὶ μὴ [q] διαδή-
λους αὐτοῖς [r] εἶναι τὰς διαφορὰς τῶν χρωμάτων πλὴν τῷ
3 φοβερῷ καὶ ἀφόβῳ. Οὕτω δὲ καὶ τὰς [s] ὀσμὰς τὸ τῶν ἀν-
θρώπων γένος· ἔοικε μὲν γὰρ ἀνάλογον ἔχειν πρὸς τὴν
γεῦσιν καὶ ὁμοίως τὰ εἴδη τῶν χυμῶν τοῖς τῆς ὀσμῆς, ἀλλ'
[t] ἀκριβεστέραν ἔχομεν τὴν γεῦσιν διὰ τὸ [v] εἶναι αὐτὴν ἁφήν
τινα, ταύτην δ' ἔχειν [w] τὴν αἴσθησιν [x] τὸν ἄνθρωπον ἀκρι-
βεστάτην· ἐν μὲν γὰρ ταῖς ἄλλαις λείπεται [y] πολλῷ [z] τῶν
ζῴων, κατὰ δὲ τὴν ἁφὴν [a] πολλῶν τῶν ἄλλων διαφερόντως
4 ἀκριβοῖ. Διὸ καὶ φρονιμώτατόν ἐστι τῶν ζῴων. Σημεῖον
δὲ [b] τὸ καὶ ἐν τῷ γένει τῶν ἀνθρώπων [c] παρὰ τὸ αἰσθητήριον
τοῦτο [d] εἶναι εὐφυεῖς καὶ ἀφυεῖς, παρ' ἄλλο δὲ μηδέν· οἱ μὲν
γὰρ σκληρόσαρκοι ἀφυεῖς τὴν διάνοιαν, οἱ δὲ μαλακόσαρκοι
5 εὐφυεῖς. ˀἜστι δ', ὥσπερ χυμὸς ὁ μὲν γλυκὺς ὁ δὲ πικρός,
οὕτω καὶ [e] ὀσμαί. ˀἈλλὰ τὰ μὲν ἔχουσι τὴν ἀνάλογον
[f] ὀσμὴν καὶ χυμόν, λέγω δὲ οἷον γλυκεῖαν [f] ὀσμὴν καὶ γλυκὺν
χυμόν, [g] τὰ δὲ τοὐναντίον. ˀὉμοίως δὲ καὶ δριμεῖα καὶ
6 αὐστηρὰ καὶ ὀξεῖα καὶ λιπαρά [h] ἐστιν ὀσμή. ˀἈλλ' ὥσπερ
εἴπομεν, διὰ τὸ μὴ σφόδρα διαδήλους εἶναι τὰς [i] ὀσμὰς
[k] ὥσπερ τοὺς χυμούς, ἀπὸ τούτων εἴληφε τὰ ὀνόματα καθ'
ὁμοιότητα τῶν πραγμάτων· ἡ μὲν [l] γὰρ γλυκεῖα [m] ἀπὸ τοῦ
κρόκου καὶ [n] τοῦ μέλιτος, ἡ δὲ δριμεῖα θύμου καὶ τῶν τοιού-
7 των· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. [o] ˀἜστι δ'*

[n] *χείρονα* S.W, *χείρων* E, *χεῖρον* X. [o] *γὰρ ὁ ἄνθρωπος* W. [p] *αἰσθ.*] *ὀσφραίνεται* E.T.W. [q] *διαλλήλους* S. [r] *τὰς διαφορὰς εἶναι* X. [s] *ὀδμὰς* E.T.W. [t] *ἀκριβέστερον* T. [v] *αὐτὴν εἶναι* S.U.V. [w] *τὴν αἴσθησιν* om. V. [x] *ἀκριβ. τὸν ἄνθρ.* W. [y] *πολλῶν* T.W.X. [z] *τῶν* om. X. [a] *πολλῷ* E.S.T.U.V.W, om. cum ipsis *τῶν ἄλλων* X. [b] *καὶ τὸ* E.S.T.W. om. *καὶ* X. [c] *περὶ* W. [d] *εἶναι*] *ἐστὶν* X. [e] *ὀδμαί* E. [f] *ὀδμὴν* E. [g] *τὰ δὲ τοὐναντίον* ante *λέγω* S.U.V.X. [h] *ἐστιν ἡ ὀδμή* E. [i] *ὀδμὰς* E. [k] *ὥσπερ καὶ τοὺς* W. [l] *γὰρ* om. W.X. [m] *ἀπὸ τοῦ* om. S.T.U.V.W.X. [n] *τοῦ* om. E.S.U.V.W.X. [o] *ἔτι* V.X.

[p] ὥσπερ ἡ ἀκοὴ καὶ ἑκάστη τῶν αἰσθήσεων, ἡ μὲν τοῦ ἀκου-
στοῦ [q] καὶ ἀνηκούστου, ἡ δὲ τοῦ [r] ὁρατοῦ καὶ ἀοράτου, καὶ
[s] ἡ ὄσφρησις τοῦ ὀσφραντοῦ [t] καὶ ἀνοσφράντου. Ἀνό-
σφραντον δὲ τὸ μὲν παρὰ τὸ [v] ὅλως ἀδύνατον ἔχειν [w] ὀσμήν,
[x] τὸ δὲ μικρὰν ἔχον [y] καὶ φαύλην. Ὁμοίως [z] δὲ [a] καὶ τὸ
ἄγευστον λέγεται. Ἔστι δὲ [b] καὶ [c] ἡ ὄσφρησις διὰ τοῦ 8
μεταξύ, οἷον ἀέρος [d] ἢ ὕδατος· [e] καὶ γὰρ τὰ ἔνυδρα δοκοῦσιν
[f] ὀσμῆς αἰσθάνεσθαι. Ὁμοίως [g] δὲ καὶ [h] τὰ ἔναιμα καὶ τὰ
ἄναιμα, [i] ὥσπερ καὶ τὰ ἐν τῷ ἀέρι· καὶ γὰρ τούτων ἔνια
πόρρωθεν ἀπαντᾷ πρὸς τὴν τροφὴν ὕποσμα γινόμενα. Διὸ 9
[k] καὶ ἄπορον φαίνεται, εἰ πάντα μὲν ὁμοίως [l] ὀσμᾶται, ὁ δ'
ἄνθρωπος ἀναπνέων [m] μέν, [n] μὴ ἀναπνέων δὲ [o] ἀλλ' ἐκπνέων
ἢ κατέχων τὸ πνεῦμα οὐκ [l] ὀσμᾶται, [p] οὔτε πόρρωθεν οὔτ'
ἐγγύθεν, οὐδ' ἂν ἐπὶ τοῦ μυκτῆρος ἐντὸς τεθῇ. Καὶ τὸ μὲν 10
ἐπ' αὐτῷ τιθέμενον τῷ αἰσθητηρίῳ ἀναίσθητον [q] εἶναι κοινὸν
πάντων· ἀλλὰ τὸ ἄνευ τοῦ ἀναπνεῖν μὴ αἰσθάνεσθαι ἴδιον
ἐπὶ τῶν ἀνθρώπων· δῆλον δὲ πειρωμένοις. Ὥστε τὰ ἄναιμα,
ἐπειδὴ οὐκ ἀναπνέουσιν, ἑτέραν ἄν τιν' αἴσθησιν [r] ἔχοι [s] παρὰ
τὰς λεγομένας. Ἀλλ' ἀδύνατον, εἴπερ τῆς ὀσμῆς αἰσθά- 11
νεται· ἡ γὰρ τοῦ ὀσφραντοῦ αἴσθησις καὶ [t] δυσώδους καὶ
εὐώδους ὄσφρησίς ἐστιν. Ἔτι [v] δὲ καὶ φθειρόμενα φαίνεται
ὑπὸ τῶν ἰσχυρῶν ὀσμῶν ὑφ' ὧνπερ ἄνθρωπος, οἷον ἀσφάλ-
του καὶ θείου καὶ τῶν τοιούτων. Ὀσφραίνεσθαι μὲν οὖν
ἀναγκαῖον, ἀλλ' οὐκ ἀναπνέοντα. Ἔοικε δὲ [w] τοῖς ἀνθρώ- 12
ποις διαφέρειν τὸ αἰσθητήριον τοῦτο πρὸς τὸ τῶν ἄλλων

[p] ὥσπερ καὶ ἡ ἀκοὴ E.T, ὥσπερ ἀκοὴ S.U.V.X. [q] καὶ τοῦ ἀνηκούστου T.X. [r] ὁρατοῦ καὶ τοῦ ἀορ. T.X, ἀορ. καὶ ὁρατοῦ U. [s] ἡ om. S.V.X. [t] καὶ τοῦ ἀνοσφρ. S.T.U.X. [v] ὅλως ἀδ.] μηδ' ὅλως W. [w] ὀδμήν E.W. [x] τὸ δὲ τὸ μ. V. [y] καὶ τὸ φ. E.T.U.V. [z] δὲ om. W. [a] καὶ τὸ γευστὸν καὶ τὸ S.U.W. [b] καὶ om. S. [c] ἡ om. W. [d] ἢ om. S.U. [e] καὶ—αἰσθάνεσθαι om. W. [f] ὀδμῆς E, om. V. [g] δὲ om. T.W. [h] τὰ utrumque om. E.T.W. [i] ὥσπερ γὰρ καὶ U. [k] καὶ om. E. [l] ὀδμ. E. [m] μέν] μὲν ὀσμᾶται W, om. E.T. [n] μὴ ἀναπνέων δὲ om. S.U.V.X. [o] ἀλλ' ἐκπνέων om. W. [p] οὐδὲ U. [q] εἶναι καὶ κοινὸν X. [r] ἔχει T.V. [s] περὶ W. [t] δυσώδης καὶ εὐώδης T, δυσ. καὶ εὐωδίας W. [v] δὴ E. [w] τοῖς] τοῦ W.

ζῴων, ὥσπερ τὰ ὄμματα πρὸς τὰ τῶν σκληροφθάλμων· τὰ
μὲν γὰρ ἔχει [x] φράγμα καὶ ὥσπερ ἔλυτρον τὰ βλέφαρα,
[y] ἃ μὴ κινήσας μηδ' ἀνασπάσας οὐχ ὁρᾷ· τὰ δὲ σκληρό-
φθαλμα οὐδὲν ἔχει τοιοῦτον, ἀλλ' [z] εὐθέως ὁρᾷ [a] τὰ γινόμενα
13 ἐν τῷ διαφανεῖ. Οὕτως οὖν καὶ τὸ ὀσφραντικὸν αἰσθητήριον
τοῖς μὲν ἀκάλυφες εἶναι, ὥσπερ τὸ ὄμμα, τοῖς δὲ τὸν ἀέρα
δεχομένοις [b] ἔχειν ἐπικάλυμμα, ὃ ἀναπνεόντων [c] ἀποκαλύ-
14 πτεσθαι, διευρυνομένων τῶν [d] φλεβίων καὶ τῶν πόρων. Καὶ
διὰ τοῦτο τὰ ἀναπνέοντα οὐκ ὀσμᾶται ἐν τῷ ὑγρῷ· ἀναγ-
καῖον γὰρ ὀσφρανθῆναι ἀναπνεύσαντα, τοῦτο δὲ ποιεῖν ἐν τῷ
ὑγρῷ ἀδύνατον. Ἔστι δ' ἡ ὀσμὴ τοῦ ξηροῦ, ὥσπερ ὁ χυμὸς
τοῦ ὑγροῦ· τὸ δὲ ὀσφραντικὸν [e] αἰσθητήριον δυνάμει τοι-
οῦτον.

10 Τὸ δὲ γευστόν ἐστιν ἁπτόν τι· καὶ τοῦτ' αἴτιον τοῦ μὴ
εἶναι αἰσθητὸν διὰ τοῦ μεταξὺ [f] ἀλλοτρίου ὄντος σώματος·
οὐδὲ γὰρ ἡ ἁφή. Καὶ τὸ σῶμα [g] δὲ ἐν ᾧ ὁ χυμός, τὸ γευ-
στόν, ἐν ὑγρῷ ὡς ὕλῃ· τοῦτο δ' ἁπτόν τι. Διὸ [h] κἂν εἰ ἐν
ὕδατι [i] εἶμεν, [k] αἰσθανοίμεθ' ἂν ἐμβληθέντος τοῦ γλυκέος,
οὐκ ἦν δ' ἂν ἡ αἴσθησις ἡμῖν διὰ τοῦ μεταξύ, ἀλλὰ τῷ
2 μιχθῆναι [l] τῷ ὑγρῷ, καθάπερ ἐπὶ τοῦ ποτοῦ. Τὸ [m] δὲ
χρῶμα οὐχ οὕτως ὁρᾶται τῷ μίγνυσθαι, [n] οὐδὲ ταῖς ἀπορ-
ροίαις. Ὡς μὲν οὖν [o] τὸ μεταξὺ οὐθέν ἐστιν· ὡς δὲ χρῶμα
τὸ ὁρατόν, [p] οὕτω τὸ γευστὸν ὁ χυμός. Οὐθὲν δὲ ποιεῖ
[q] χυμοῦ αἴσθησιν ἄνευ ὑγρότητος, [r] ἀλλ' ἔχει [s] ἐνεργείᾳ ἢ
δυνάμει [t] ὑγρότητα, οἷον τὸ [v] ἁλμυρόν· [w] εὔτηκτόν τε γὰρ
3 αὐτὸ καὶ [x] συντηκτικὸν [y] γλώττης. Ὥσπερ δὲ καὶ [z] ἡ ὄψις

[x] φρ.] πῶμα W. [y] ἃ ἂν μὴ X. [z] εὐθὺς S.U.V.X. [a] τὸ γενόμενον U.X. [b] ἔχειν] ὥσπερ X. [c] ἀνακαλύπτεσθαι U. [d] φλεβῶν E.T. [e] αἰσθ. τὸ δ. S.U.X. [f] ὄντος ἀλλοτρίου U. [g] δὲ om. S U.X. [h] κἂν] καὶ S.U.V W.X. [i] ἦμεν S.T.U.V.W.X. [k] αἰσθανόμεθ' T, ᾐσθανόμεθα S.U.V.W.X. [l] τὸ ὑγρὸν W. [m] χρῶμα δὲ W. [n] οὐδὲν V. [o] τὸ μ.] τῷ μ. X. [p] οὕτω καὶ τὸ V. [q] αἴσθησιν χυμοῦ S.U.V. [r] ἀλλ'—ὑγρότητα om. E, post ἁλμυρόν ponit T. [s] ἢ δυνάμει ἢ ἐνεργείᾳ W. [t] ὑγρότητος T. [v] ἁλμυροῦν X, ἁλμηροῦν S. [w] τηκτόν S.U.X. [x] συντηκτὸν X. [y] γλώσσης S.U.V. [z] ἡ om. U.

ἐστὶ τοῦ [a] τε ὁρατοῦ καὶ [b] τοῦ ἀοράτου (τὸ γὰρ σκότος
ἀόρατον, κρίνει δὲ καὶ τοῦτο ἡ ὄψις), ἔτι τοῦ λίαν λαμπροῦ
(καὶ γὰρ τοῦτο ἀόρατον, ἄλλον δὲ τρόπον τοῦ σκότους),
ὁμοίως δὲ καὶ ἡ ἀκοὴ ψόφου [c] τε καὶ σιγῆς, ὧν τὸ μὲν ἀκου-
στὸν τὸ δ' οὐκ ἀκουστόν, καὶ μεγάλου ψόφου, καθάπερ ἡ
ὄψις τοῦ λαμπροῦ· [d] ὥσπερ γὰρ ὁ μικρὸς ψόφος ἀνήκου-
στος τρόπον τινά, καὶ ὁ μέγας τε καὶ [e] ὁ βίαιος· ἀόρατον
δὲ τὸ μὲν ὅλως λέγεται, ὥσπερ καὶ ἐπ' ἄλλων τὸ ἀδύνατον,
τὸ δ', ἐὰν πεφυκὸς μὴ ἔχῃ ἢ φαύλως, ὥσπερ τὸ [f] ἄπουν καὶ
[g] τὸ [h] ἀπύρηνον· οὕτω [i] δὴ καὶ ἡ γεῦσις τοῦ γευστοῦ [k] τε
[l] καὶ ἀγεύστου· τοῦτο δὲ τὸ μικρὸν [m] ἢ φαῦλον ἔχον χυμὸν
ἢ φθαρτικὸν τῆς γεύσεως. Δοκεῖ δ' εἶναι ἀρχὴ τὸ ποτὸν 4
καὶ ἄποτον· γεῦσις [n] γάρ τις ἀμφότερα· ἀλλὰ τὸ μὲν φαύ-
λη καὶ φθαρτικὴ τῆς γεύσεως, τὸ δὲ κατὰ φύσιν. Ἔστι δὲ
κοινὸν ἁφῆς καὶ γεύσεως τὸ ποτόν. Ἐπεὶ δ' ὑγρὸν τὸ
γευστόν, ἀνάγκη [o] καὶ τὸ αἰσθητήριον αὐτοῦ μήτε ὑγρὸν
εἶναι ἐντελεχείᾳ μήτε [p] ἀδύνατον ὑγραίνεσθαι· πάσχει γάρ
τι ἡ γεῦσις ὑπὸ τοῦ γευστοῦ, ᾗ γευστόν. Ἀναγκαῖον ἄρα 5
ὑγρανθῆναι τὸ δυνάμενον [q] μὲν ὑγραίνεσθαι σωζόμενον, μὴ
ὑγρὸν δέ, τὸ γευστικὸν αἰσθητήριον. Σημεῖον δὲ τὸ μήτε
κατάξηρον οὖσαν τὴν [r] γλῶτταν [s] αἰσθάνεσθαι μήτε λίαν
ὑγράν· αὕτη [t] γὰρ ἁφὴ [v] γίνεται τοῦ πρώτου ὑγροῦ, ὥσπερ
ὅταν προγευματίσας τις ἰσχυροῦ [w] χυμοῦ γεύηται ἑτέρου·
καὶ οἷον τοῖς κάμνουσι πικρὰ πάντα φαίνεται διὰ τὸ [x] τῇ
γλώττῃ πλήρει τοιαύτης ὑγρότητος αἰσθάνεσθαι. Τὰ δ' 6
εἴδη τῶν χυμῶν, ὥσπερ καὶ ἐπὶ τῶν χρωμάτων, ἁπλᾶ μὲν
τἀναντία, τὸ γλυκὺ καὶ τὸ πικρόν, ἐχόμενα δὲ τοῦ μὲν τὸ
λιπαρόν, τοῦ δὲ τὸ ἁλμυρόν· μεταξὺ δὲ τούτων τό τε δριμὺ

[a] τε om. E.W. [b] τοῦ om. S.T.U.W. [c] τε καὶ] τε κριτικὴ καὶ V. [d] ὡς γὰρ X. [e] ὁ ante β. om. W. [f] ἄπτον S, ἄπλουν E. [g] τὸ om. E.T.U. [h] ἀπύρινον T. [i] δὲ E.T.U.W. [k] τε om. S. [l] καὶ τοῦ ἀγεύστου S.V. [m] ἢ] καὶ V.X. [n] γὰρ ἄν τις U. [o] καὶ om. S.T.V.X. [p] ὑγραίνεσθαι ἀδύνατον W.X. [q] μὲν om. S.U.V.W.X. [r] γλῶσσαν T.U.V.W. [s] αἰσθάνεσθαι ante τὴν T. [t] γὰρ ἡ ἁφὴ E. [v] γένηται W. [w] χυμοῦ om. E. [x] τὴν γλῶτταν πλήρη T.W.

καὶ [y]τὸ αὐστηρὸν καὶ στρυφνὸν καὶ ὀξύ· σχεδὸν γὰρ αὗται
δοκοῦσιν εἶναι διαφοραὶ χυμῶν. ῞Ωστε τὸ γευστικόν ἐστι
τὸ δυνάμει τοιοῦτον, γευστὸν δὲ τὸ ποιητικὸν ἐντελεχείᾳ
αὐτοῦ.

11 Περὶ δὲ τοῦ ἁπτοῦ [z]καὶ ἁφῆς ὁ αὐτὸς λόγος. Εἰ γὰρ
ἡ ἁφὴ μὴ μία ἐστὶν αἴσθησις ἀλλὰ πλείους, ἀναγκαῖον καὶ
τὰ ἁπτὰ [a]αἰσθητὰ πλείω εἶναι. ῎Εχει δ' ἀπορίαν πότερον
πλείους εἰσὶν ἢ μία, καὶ τί τὸ αἰσθητήριον [b]τὸ τοῦ [c]ἁπτοῦ
ἁπτικόν, πότερον [d]ἡ σὰρξ καὶ [e]ἐν τοῖς ἄλλοις τὸ ἀνάλογον,
ἢ οὔ, ἀλλὰ τοῦτο μέν ἐστι τὸ μεταξύ, τὸ δὲ πρῶτον αἰσθη-
2 τήριον ἄλλο τί [f]ἐστιν ἐντός. Πᾶσά [g]τε γὰρ αἴσθησις
μιᾶς ἐναντιώσεως εἶναι δοκεῖ, οἷον ὄψις λευκοῦ καὶ μέλανος
[h]καὶ ἀκοὴ [i]ὀξέος καὶ βαρέος καὶ γεῦσις πικροῦ καὶ γλυκέος·
ἐν δὲ τῷ ἁπτῷ πολλαὶ [k]ἔνεισιν ἐναντιώσεις, θερμὸν ψυχρόν,
ξηρὸν ὑγρόν, σκληρὸν μαλακόν, καὶ τῶν ἄλλων ὅσα τοιαῦτα.
3 ῎Εχει δέ τινα λύσιν πρός γε [l]ταύτην τὴν ἀπορίαν, ὅτι καὶ
ἐπὶ τῶν ἄλλων αἰσθήσεών εἰσιν ἐναντιώσεις πλείους, οἷον ἐν
φωνῇ οὐ μόνον ὀξύτης καὶ βαρύτης, ἀλλὰ καὶ μέγεθος καὶ
μικρότης καὶ [m]λειότης καὶ τραχύτης φωνῆς καὶ τοιαῦθ' ἕτερα.
4 Εἰσὶ δὲ καὶ περὶ χρῶμα διαφοραὶ τοιαῦται ἕτεραι. ᾿Αλλὰ
τί τὸ ἓν τὸ ὑποκείμενον, ὥσπερ ἀκοῇ ψόφος, οὕτω τῇ ἁφῇ,
οὐκ ἔστιν [n]ἔνδηλον. Πότερον δ' ἐστὶ τὸ αἰσθητήριον ἐντός,
ἢ οὔ, ἀλλ' εὐθέως ἡ σάρξ; Οὐδὲν δοκεῖ σημεῖον [o]εἶναι [p]τὸ
5 γίνεσθαι τὴν αἴσθησιν ἅμα θιγγανομένων. Καὶ γὰρ [q]νῦν
εἴ τις περὶ τὴν σάρκα [r]περιτείνειεν οἷον ὑμένα ποιήσας,
ὁμοίως τὴν αἴσθησιν εὐθέως ἁψάμενος [s]ἐνσημαίνει· καίτοι
δῆλον ὡς οὐκ ἔστιν ἐν τούτῳ τὸ αἰσθητήριον· εἰ δὲ καὶ συμ-

[y] τὸ om. S.V.W. [z] καὶ περὶ ἁφῆς E.T, καὶ τῆς ἁφῆς W. [a] πλείω αἰσθητὰ εἶναι V, πλείω εἶναι αἰσθητά S. [b] τὸ ante τοῦ om. S.V.X. [c] ἁπτοῦ ἁπτικὸν] ἁπτικοῦ E.S.T.U.V.X, ἁπτοῦ W. [d] ἡ om. S.U.V.W. [e] ἐν τοῖς ἄλλοις] τῶν ἄλλων W. [f] ἐστὶ καὶ ἐντός V. [g] τε om. X. [h] καὶ ἡ ἀκοὴ W. [i] βαρέος καὶ ὀξέος V. [k] εἰσὶν S.T.U.V.X. [l] τὴν ἀπ. ταύτην W. [m] τελειότης S. [n] ἓν δῆλον E, ἓν δῆλον T, δῆλον S.U.V.X. [o] εἶναι om. X. [p] τῶι E. [q] νῦν om. S.U.V. [r] ἐπιτείνειεν T. [s] ἐνσημήνειε X, ἂν ἐνσημαίνει T.

φυὲς [t]γένοιτο, [v]θᾶττον ἔτι διικνοῖτ' ἂν ἡ αἴσθησις. Διὸ 6
τὸ [w]τοιοῦτο μόριον τοῦ σώματος ἔοικεν οὕτως ἔχειν ὥσπερ
[x]ἂν εἰ κύκλῳ ἡμῖν περιεπεφύκει ὁ ἀήρ· ἐδοκοῦμεν γὰρ ἂν ἑνί
τινι αἰσθάνεσθαι καὶ ψόφου καὶ χρώματος καὶ [y]ὀσμῆς, καὶ
μία τις αἴσθησις [z]εἶναι [a]ὄψις [b]ἀκοὴ ὄσφρησις. Νῦν δὲ
διὰ τὸ διωρίσθαι δι' οὗ γίνονται αἱ [c]κινήσεις, φανερὰ τὰ
[d]εἰρημένα αἰσθητήρια ἕτερα ὄντα. Ἐπὶ δὲ τῆς ἁφῆς [e]τοῦτο 7
νῦν ἄδηλον· ἐξ ἀέρος μὲν γὰρ ἢ ὕδατος ἀδύνατον συστῆναι
τὸ ἔμψυχον σῶμα· δεῖ γάρ [f]τι στερεὸν εἶναι. Λείπεται
[g]δὴ μικτὸν ἐκ γῆς καὶ τούτων εἶναι, οἷον βούλεται ἡ σὰρξ
καὶ τὸ ἀνάλογον· ὥστε ἀναγκαῖον [h]καὶ [i]τὸ σῶμα εἶναι
[k]μεταξὺ τοῦ ἁπτικοῦ προσπεφυκός, δι' οὗ γίνονται [l]αἱ
αἰσθήσεις πλείους οὖσαι. Δηλοῖ δ' ὅτι πλείους ἡ ἐπὶ τῆς 8
[m]γλώττης ἁφή· [n]ἁπάντων γὰρ τῶν ἁπτῶν [o]αἰσθάνεται
κατὰ τὸ αὐτὸ μόριον καὶ χυμοῦ. Εἰ μὲν οὖν [p]καὶ [q]ἡ ἄλλη
σὰρξ [r]ᾐσθάνετο [s]τοῦ χυμοῦ, ἐδόκει [t]ἂν ἡ αὐτὴ [v]καὶ μία
εἶναι αἴσθησις ἡ γεῦσις καὶ ἡ ἁφή· νῦν δὲ δύο διὰ τὸ μὴ
ἀντιστρέφειν. Ἀπορήσειε δ' ἄν τις, εἰ πᾶν σῶμα [w]βάθος 9
ἔχει· τοῦτο δ' ἐστὶ τὸ τρίτον μέγεθος· ὧν δ' ἐστὶ [x]δύο
[y]σωμάτων μεταξὺ σῶμά τι, οὐκ ἐνδέχεται [z]ταῦτα ἀλλήλων
ἅπτεσθαι. Τὸ δ' ὑγρὸν οὐκ ἔστιν ἄνευ σώματος, οὐδὲ τὸ
διερόν, ἀλλ' ἀναγκαῖον [a]ὕδωρ εἶναι ἢ ἔχειν ὕδωρ. Τὰ δὲ
ἁπτόμενα ἀλλήλων ἐν τῷ ὕδατι, μὴ ξηρῶν τῶν ἄκρων ὄντων,
ἀναγκαῖον [b]ὕδωρ ἔχειν μεταξύ, [c]οὗ ἀνάπλεα τὰ ἔσχατα.
Εἰ δὲ τοῦτ' ἀληθές, ἀδύνατον [d]ἅψασθαι ἄλλο ἄλλου ἐν 10

[t] γίγνοιτο S. [v] θᾶσσον X. [w] τοιοῦτον S.T.U.V.W.X. [x] ἂν om. X. [y] ὀδμῆς E.T.W. [z] εἶναι] ἦν ἡ X. [a] ὄψις καὶ ἀκοὴ S. [b] ἀκοὴ καὶ ὄσφρησις W. [c] κινήσεις] κινήσεις καὶ αἱ αἰσθήσεις U, αἰσθήσεις γρ. S. [d] εἰρημένα om. X. [e] τοῦτο μὲν νῦν E.T.W. [f] τι om. U.X. [g] δὲ E.S.T.U.X. [h] καὶ] εἶναι καὶ E, om. U. [i] εἶναι τὸ σῶμα U. [k] μεταξὺ] τὸ μεταξὺ T.X. [l] αἱ om. V.W. [m] γλώσσης X. [n] πάντων X. [o] αἴσθεται S.T.U. [p] καὶ om. S.U. [q] ἡ om. V. [r] αἰσθάνεται W. [s] τοῦ om. S.X. [t] ἂν om. S.U.X. [v] εἶναι καὶ μία X. [w] βάρος S. [x] δύο om. S.U.V.X. [y] μεταξὺ σωμάτων W. [z] αὐτὰ E.W. [a] ὕδατος S.V.X. [b] ἔχειν ὕδωρ X. [c] ᾧ S.T.U.V.X. [d] ἅψεσθαι S, ἅψασθαι post ἄλλου T.

ὕδατι. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῷ ἀέρι· ὁμοίως γὰρ
[e] ἔχει ὁ ἀὴρ πρὸς τὰ ἐν αὐτῷ καὶ [f] τὸ ὕδωρ πρὸς τὰ [g] ἐν τῷ
ὕδατι. Λανθάνει δὲ [h] μᾶλλον ἡμᾶς, ὥσπερ καὶ τὰ ἐν τῷ
11 ὕδατι ζῷα, εἰ διερὸν διεροῦ ἅπτεται. Πότερον οὖν [i] πάντων
ὁμοίως ἐστὶν ἡ αἴσθησις, ἢ ἄλλων ἄλλως, καθάπερ νῦν δοκεῖ
ἡ [k] μὲν γεῦσις καὶ ἡ [l] ἁφὴ τῷ ἅπτεσθαι, αἱ δ' ἄλλαι ἄποθεν.
Τὸ δ' οὐκ ἔστιν, ἀλλὰ καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν δι'
ἑτέρων αἰσθανόμεθα, ὥσπερ καὶ τὸ [m] ψοφητικὸν καὶ τὸ
ὁρατὸν καὶ τὸ ὀσφραντόν· ἀλλὰ [n] τὰ μὲν πόρρωθεν, [o] τὰ δ'
12 ἐγγύθεν. Διὸ λανθάνει, ἐπεὶ αἰσθανόμεθά γε πάντων διὰ
τοῦ μέσου· ἀλλ' ἐπὶ τούτων λανθάνει. [p] Καίτοι καθάπερ
[q] εἴπαμεν [r] καὶ πρότερον, κἂν εἰ δι' ὑμένος [s] αἰσθανοίμεθα τῶν
ἁπτῶν ἁπάντων λανθάνοντος ὅτι διείργει, ὁμοίως ἂν ἔχοιμεν
ὥσπερ καὶ νῦν ἐν τῷ ὕδατι καὶ [t] ἐν τῷ ἀέρι· δοκοῦμεν [v] γὰρ
13 αὐτῶν ἅπτεσθαι καὶ οὐδὲν εἶναι διὰ μέσου. ᾿Αλλὰ διαφέρει
[w] τὸ ἁπτὸν τῶν [x] ὁρατῶν καὶ [y] τῶν ψοφητικῶν, ὅτι [z] ἐκείνων
μὲν αἰσθανόμεθα τῷ τὸ μεταξὺ [a] ποιεῖν τι ἡμᾶς, τῶν δὲ
ἁπτῶν οὐχ ὑπὸ τοῦ μεταξὺ ἀλλ' ἅμα τῷ μεταξύ, ὥσπερ ὁ
δι' ἀσπίδος πληγείς· οὐ γὰρ ἡ ἀσπὶς πληγεῖσα ἐπάταξεν,
14 [b] ἀλλ' ἄμφω συνέβη πληγῆναι. Ὅλως δ' ἔοικεν ἡ σὰρξ καὶ
ἡ [c] γλῶττα, ὡς [d] ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν
ἀκοὴν καὶ τὴν ὄσφρησιν ἔχουσιν, οὕτως ἔχειν πρὸς τὸ αἰσθη-
τήριον ὥσπερ ἐκείνων ἕκαστον. Αὐτοῦ δὲ τοῦ αἰσθητηρίου
[e] ἁπτομένου οὔτ' ἐκεῖ οὔτ' ἐνταῦθα γένοιτ' [f] ἂν αἴσθησις,
οἷον εἴ [g] τις σῶμα [h] τὸ λευκὸν ἐπὶ τοῦ ὄμματος θείη τὸ
15 ἔσχατον. [i] ᾟ καὶ δῆλον ὅτι ἐντὸς [k] τὸ τοῦ ἁπτοῦ [l] αἰσθη-

[e] ἔχει καὶ ὁ W. [f] τὸ om. T. [g] ἐν αὐτῷ τῷ E.T.W. [h] μᾶλλον om. X. [i] ὁμοίως πάντων X, ἁπάντων ὁμοίως S.U.V.W. [k] μὲν γὰρ γεῦσις W. [l] ἁφὴ ἐν τῷ X. [m] ψοφητὸν S.X. [n] τὸ S.V.X. [o] τὸ S.U.V.X. [p] ἐπεὶ X. [q] εἴπομεν S.T.U.V.W.X. [r] καὶ om. X. [s] ᾐσθανοίμεθα E, αἰσθανώμεθα S.T.U.V.X. [t] ἐν om. S.V.W. [v] γὰρ νῦν αὐτῶν E.T.W. [w] τὸ om. X. [x] ὁρατικῶν E.T. [y] τῶν om. E. [z] ἐκεῖνα E.S.T.U.V.X. [a] τι ποιεῖν T. [b] ἀλλ' ἅμ' ἄμφω E. [c] γλῶσσα S.T.U.V.X. [d] ὁ om. S.T.V.X. [e] ἁπτομένων U.V.X. [f] ἂν U.V.X. [g] τι W. [h] τὸ ante λευκὸν om. S.U.V.X. [i] ἢ W, om. S.U.V. [k] τὸ om. W, ante ἐντὸς ponit T. [l] αἰσθητήριον T.W.

*τικόν. Οὕτω [m] γὰρ ἂν συμβαίνοι [n] ὅπερ [o] καὶ ἐπὶ τῶν
ἄλλων· ἐπιτιθεμένων γὰρ ἐπὶ τὸ αἰσθητήριον οὐκ αἰσθάνε-
ται, ἐπὶ δὲ τὴν σάρκα ἐπιτιθεμένων αἰσθάνεται· ὥστε [p] τὸ
μεταξὺ τοῦ ἁπτικοῦ ἡ σάρξ. [q] Ἁπταὶ μὲν οὖν [r] εἰσὶν αἱ* 16
*διαφοραὶ τοῦ σώματος ᾗ σῶμα· λέγω δὲ διαφορὰς [s] αἳ τὰ
στοιχεῖα διορίζουσι, θερμὸν ψυχρόν, ξηρὸν ὑγρόν, περὶ ὧν
εἰρήκαμεν πρότερον ἐν τοῖς [t] περὶ στοιχείων. Τὸ δὲ αἰσθη-
τήριον αὐτῶν τὸ ἁπτικόν, καὶ ἐν ᾧ ἡ καλουμένη ἁφὴ [v] ὑπάρ-
χει πρώτῳ, τὸ δυνάμει τοιοῦτόν ἐστι μόριον· τὸ γὰρ αἰσθά-
νεσθαι πάσχειν τι ἐστίν. Ὥστε τὸ ποιοῦν οἷον αὐτὸ ἐνερ-* 17
*γείᾳ, τοιοῦτον ἐκεῖνο ποιεῖ δυνάμει ὄν. Διὸ τοῦ [w] ὁμοίως
θερμοῦ [x] καὶ ψυχροῦ [y] ἢ σκληροῦ [z] καὶ μαλακοῦ οὐκ αἰσθανό-
μεθα, ἀλλὰ τῶν ὑπερβολῶν, ὡς τῆς αἰσθήσεως οἷον μεσότη-
τός τινος οὔσης τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως. [a] Καὶ
διὰ τοῦτο κρίνει τὰ [b] αἰσθητά. Τὸ γὰρ μέσον κριτικόν·* 18
*γίνεται γὰρ πρὸς ἑκάτερον αὐτῶν θάτερον τῶν ἄκρων· καὶ
δεῖ ὥσπερ τὸ μέλλον αἰσθήσεσθαι λευκοῦ καὶ μέλανος μηδέ-
τερον αὐτῶν [c] εἶναι ἐνεργείᾳ, δυνάμει δ' ἄμφω, οὕτω [d] δὴ καὶ
ἐπὶ τῶν ἄλλων καὶ [e] ἐπὶ τῆς ἁφῆς μήτε θερμὸν μήτε ψυχρόν.
Ἔτι δ' ὥσπερ ὁρατοῦ καὶ ἀοράτου ἦν πως ἡ ὄψις, ὁμοίως δὲ* 19
*καὶ αἱ λοιπαὶ τῶν ἀντικειμένων, οὕτω [f] καὶ ἡ ἁφὴ τοῦ ἁπτοῦ
καὶ ἀνάπτου· ἄναπτον δ' ἐστὶ τό τε μικρὰν [g] ἔχον πάμπαν
διαφορὰν τῶν ἁπτῶν, οἷον πέπονθεν ὁ ἀήρ, καὶ τῶν ἁπτῶν
αἱ ὑπερβολαί, ὥσπερ τὰ φθαρτικά. Καθ' ἑκάστην μὲν οὖν
τῶν αἰσθήσεων εἴρηται τύπῳ.*

Καθόλου *δὲ περὶ πάσης αἰσθήσεως δεῖ [h] λαβεῖν ὅτι ἡ μὲν* 12
*αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν [i] αἰσθητῶν [k] εἰδῶν ἄνευ τῆς*

[m] *γὰρ συμβαίνει* W. [n] *ὥσπερ* S.U.V.X. [o] *καὶ* om. S.T.U.V.W.X. [p] *τὸ* om. X. [q] *ἁπτὰ* T.U.V. [r] *εἰσὶν αὗται αἱ* W. [s] *αἷς* S.U.V.X. [t] *περὶ τῶν στ.* E.T. [v] *ὑπάρχει αἴσθησις πρώτῳ* E, *ὑπάρχει αἴσθησις καὶ πρώτῳ* T.W. [w] *ὁμοίου* T.U.X. [x] *καὶ*] *ἢ* S.U.W. [y] *ἢ*] *καὶ* V. [z] *καὶ*] *ἢ* S.U.V. [a] *καὶ* om. E. [b] *αἰσθητήρια* S.T.U.X. [c] *εἶναι* om. W.X. [d] *δὲ* E.T.V, om. X. [e] *ἐπὶ* ante *τῆς* om. S.T.V.X. [f] *καὶ* post *οὕτω* om. X. [g] *π. ἔχ.* X. [h] *διαλαβεῖν* W. [i] *ἀναισθήτων* S. [k] *εἰδῶν* om. S.U.X.

ὕλης, οἷον [l] ὁ κηρὸς τοῦ δακτυλίου ἄνευ τοῦ σιδήρου καὶ τοῦ χρυσοῦ δέχεται τὸ σημεῖον, [m]λαμβάνει δὲ τὸ χρυσοῦν ἢ τὸ [n]χαλκοῦν σημεῖον, ἀλλ' οὐχ [o]ᾗ [p]χρυσὸς ἢ χαλκός, ὁμοίως δὲ καὶ ἡ αἴσθησις ἑκάστου ὑπὸ τοῦ ἔχοντος χρῶμα ἢ χυμὸν ἢ ψόφον πάσχει, ἀλλ' οὐχ ᾗ ἕκαστον ἐκείνων λέγεται, ἀλλ'
2 [q]ᾗ τοιονδί, καὶ κατὰ τὸν λόγον. Αἰσθητήριον δὲ πρῶτον ἐν ᾧ ἡ τοιαύτη δύναμις. ¶Ἔστι μὲν οὖν [r]ταὐτόν, τὸ δ' εἶναι ἕτερον· μέγεθος μὲν γὰρ ἄν [s]τι εἴη τὸ αἰσθανόμενον· οὐ μὴν [t]τό γε αἰσθητικῷ εἶναι, οὐδ' ἡ αἴσθησις μέγεθός ἐστιν, ἀλλὰ λόγος τις καὶ δύναμις [v]ἐκείνου. Φανερὸν δ' ἐκ τούτων
3 καὶ διὰ τί ποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθείρουσι τὰ αἰσθητήρια· [w]ἐὰν γὰρ ᾖ ἰσχυροτέρα τοῦ αἰσθητηρίου ἡ κίνησις, λύεται ὁ λόγος· τοῦτο δ' [x]ἦν ἡ αἴσθησις, ὥσπερ [y]καὶ ἡ συμφωνία καὶ ὁ τόνος [z]κρουομένων σφόδρα τῶν χορ-
4 δῶν. Καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται, ἔχοντά τι μόριον ψυχικὸν καὶ πάσχοντά [a]τι ὑπὸ τῶν [b]ἁπτῶν· καὶ γὰρ ψύχεται καὶ θερμαίνεται· αἴτιον [c]γὰρ τὸ μὴ ἔχειν μεσότητα, [d]μηδὲ τοιαύτην ἀρχὴν οἵαν [e]τὰ εἴδη δέχεσθαι τῶν
5 αἰσθητῶν, ἀλλὰ πάσχειν μετὰ [f]τῆς ὕλης. ¶Ἀπορήσειε δ' ἄν τις εἰ πάθοι ἄν [g]τι ὑπ' [h]ὀσμῆς τὸ ἀδύνατον ὀσφρανθῆναι, ἢ ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Εἰ [i]δὲ τὸ ὀσφραντὸν [k]ὀσμή, εἴ τι ποιεῖ τὴν
6 ὄσφρησιν, [l]ἡ [m]ὀσμὴ ποιεῖ. ¶Ὥστε τῶν ἀδυνάτων ὀσφρανθῆναι [n]οὐθὲν οἷόν τε πάσχειν [o]ὑπ' ὀδμῆς· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων· οὐδὲ τῶν δυνατῶν, ἀλλ' ᾗ αἰσθητικὸν ἕκαστον. ¶Ἅμα [p]δὲ δῆλον [q]καὶ οὕτως. Οὔτε γὰρ φῶς καὶ σκότος οὔτε ψόφος οὔτε ὀσμὴ οὐδὲν ποιεῖ τὰ σώματα, ἀλλ'

[l] ὁ om. E.T. [m] λαμβάνει—σημεῖον om. W. [n] χαλκὸν U. [o] ᾗ] ὡς U. [p] χαλκὸς ἢ χρυσὸς X. [q] ᾗ X. [r] ταυτὸ T, ταυτὰ S.X. [s] τι εἴη] ἦν X. [t] τό] τῷ S. [v] ἐκεῖνο E. [w] ἂν γὰρ ἰσχ. V.X. [x] ἦν om. E.T.W. [y] καὶ om. W. [z] κρουομένων σφόδρα] καὶ ἡ κροῦσις X. [a] τι om. S.U.X. [b] ἁπτῶν αὐτῶν. καὶ E.T.W. [c] γὰρ] δὲ U. [d] μηδὲ] καὶ X. [e] δέχεσθαι τὰ εἴδη S.V.X. [f] τῆς om. W. [g] τι om. E.T.W. [h] ὀδμῆς E.T. [i] δὴ τῶν ὀσφραντῶν U. [k] ὀδμή E, ἡ ὀσμή W. [l] ᾗ U.W, om. S.V.X. [m] ὀδμὴ E. [n] οὐθέν] μὴ V. [o] ὑπ' ὀδμῆς om. S.U.X. [p] δὲ om. S.V. [q] καὶ οὕτως om. V.

ἐν οἷς ἐστίν, οἷον [r] ἀὴρ ὁ μετὰ βροντῆς διίστησι τὸ ξύλον.
Ἀλλὰ τὰ ἁπτὰ καὶ οἱ χυμοὶ ποιοῦσιν· εἰ γὰρ μή, ὑπὸ τίνος 7
ἂν πάσχοι τὰ ἄψυχα καὶ [s] ἀλλοιοῖτο; Ἆρ' οὖν κἀκεῖνα
[t] ποιήσει; Ἢ οὐ πᾶν σῶμα παθητικὸν ὑπ' [v] ὀσμῆς καὶ ψό-
φου· καὶ τὰ πάσχοντα ἀόριστα, καὶ οὐ μένει, οἷον [w] ἀήρ·
ὄζει γὰρ ὥσπερ παθών [x] τι. Τί οὖν ἐστὶ τὸ ὀσμᾶσθαι [y] παρὰ
τὸ πάσχειν [x] τι; Ἢ τὸ μὲν ὀσμᾶσθαι αἰσθάνεσθαι, ὁ δ' ἀὴρ
παθὼν ταχέως αἰσθητὸς γίνεται.

## Γ.

Ὅτι δ' οὐκ ἔστιν αἴσθησις [z] ἑτέρα παρὰ τὰς πέντε (λέγω
δὲ ταύτας ὄψιν, ἀκοήν, ὄσφρησιν, [a] γεῦσιν, ἁφήν), ἐκ [b] τῶνδε
πιστεύσειεν ἄν τις. Εἰ γὰρ παντὸς οὗ ἐστὶν αἴσθησις ἁφή, 2
καὶ νῦν [c] αἴσθησιν ἔχομεν (πάντα γὰρ τὰ τοῦ ἁπτοῦ ᾗ ἁπτὸν
πάθη τῇ ἁφῇ ἡμῖν αἰσθητά ἐστιν), [d] ἀνάγκη [e] τ', εἴπερ
ἐκλείπει τις αἴσθησις, καὶ αἰσθητήριόν [f] τι ἡμῖν [g] ἐκλείπειν·
καὶ ὅσων μὲν [h] αὐτῶν ἁπτόμενοι αἰσθανόμεθα, τῇ ἁφῇ αἰσθη-
τά ἐστιν, ἣν τυγχάνομεν ἔχοντες· ὅσα δὲ διὰ τῶν μεταξύ, καὶ
μὴ αὐτῶν ἁπτόμενοι τοῖς [i] ἁπλοῖς, λέγω δ' οἷον ἀέρι καὶ ὕδατι.
Ἔχει δ' οὕτως, ὥστ' εἰ μὲν δι' ἑνὸς πλείω αἰσθητὰ ἕτερα [k] ὄντα 3
ἀλλήλων τῷ γένει, ἀνάγκη τὸν ἔχοντα [l] τὸ τοιοῦτον αἰσθητή-
ριον ἀμφοῖν αἰσθητικὸν εἶναι· οἷον εἰ ἐξ ἀέρος ἐστὶ τὸ αἰσθη-
τήριον, καὶ ἔστιν ὁ ἀὴρ καὶ ψόφου καὶ [m] χρόας. Εἰ δὲ πλείω
τοῦ αὐτοῦ, οἷον χρόας καὶ ἀὴρ καὶ ὕδωρ (ἄμφω [n] γὰρ δια-
φανῆ), καὶ ὁ τὸ ἕτερον αὐτῶν ἔχων μόνον αἰσθήσεται [o] ἀμ-
φοῖν. Τῶν δὲ ἁπλῶν ἐκ δύο τούτων αἰσθητήρια μόνον ἐστίν, 4

[r] ὁ ἀὴρ S, ὁ ἀὴρ ὁ U.W.X, ἀὴρ V. [s] οὐλλοιοῖτο V. [t] ἐμποιεῖ E.T.W, ἐμποιήσει U. [v] ὀδμῆς E.T.V. [w] ἀνήρ X, ὁ ἀήρ W. [x] τι om. S.U.X. [y] περὶ W. [z] παρὰ τὰς πέντε ἑτέρα W. [a] γεῦσιν καὶ ἁφήν W. [h] τούτων E.W, τῶνδε δῆλον S.X. [c] ἔχομεν αἴσθησιν S.T.U.W. [d] ἀνάγκη—ἁφῇ αἰσθητά ἐστιν margo T. [e] δ' X. [f] τι om. L, post ἡμῖν ponit W. [g] ἐκλιπεῖν E. [h] αὐτοὶ T.W. [i] ἁπλοῖς διαστήμασι λ. T.W. et margo U. [k] ὄντα τῷ γένει ἀλλ. X, ἀλλήλων ὄντα τῷ γένει S.T.U.V.W. [l] τὸ om. T.U. [m] χροιᾶς W. [n] γὰρ] δὲ V. [o] ἀμφοῖν] τοῖν ἀμφοῖν L, τοῦ δι' ἀμφοῖν T.W.

ἐξ ἀέρος καὶ ὕδατος· [p] ἡ μὲν γὰρ κόρη ὕδατος, ἡ δ' ἀκοὴ
ἀέρος, ἡ δ' ὄσφρησις θατέρου τούτων. Τὸ δὲ πῦρ ἢ οὐθενὸς
ἢ κοινὸν πάντων· οὐθὲν γὰρ ἄνευ θερμότητος αἰσθητικόν.
[q] Γῆ δὲ [r] ἢ οὐθενός, ἢ ἐν τῇ ἁφῇ μάλιστα μέμικται [s] ἰδίως.
[t] Διὸ λείποιτ' ἂν μηθὲν εἶναι αἰσθητήριον ἔξω ὕδατος καὶ
5 ἀέρος. Ταῦτα δὲ καὶ νῦν ἔχουσιν ἔνια [v] ζῷα. [w] Πᾶσαι ἄρα
[x] αἱ αἰσθήσεις ἔχονται ὑπὸ τῶν μὴ ἀτελῶν μηδὲ [y] πεπηρω-
μένων· φαίνεται [z] γὰρ καὶ ἡ [a] σπάλαξ ὑπὸ τὸ δέρμα [b] ἔχουσα
ὀφθαλμούς. Ὥστ' εἰ μή τι ἕτερόν ἐστι σῶμα, καὶ πάθος ὃ
μηθενός ἐστι τῶν ἐνταῦθα σωμάτων, [c] οὐδεμία ἂν ἐκλίποι
6 [d] αἴσθησις. Ἀλλὰ μὴν οὐδὲ τῶν κοινῶν οἷόν τ' εἶναι αἰσθη-
τήριόν τι ἴδιον, [e] ὧν ἑκάστῃ αἰσθήσει αἰσθανόμεθα κατὰ συμ-
βεβηκός, οἷον κινήσεως, στάσεως, σχήματος, μεγέθους, ἀρι-
θμοῦ [f] ἑνός· ταῦτα γὰρ πάντα κινήσει αἰσθανόμεθα, οἷον
[g] μέγεθος κινήσει. Ὥστε [h] καὶ σχῆμα· μέγεθος γάρ [i] τι
7 τὸ σχῆμα. Τὸ δ' ἠρεμοῦν τῷ μὴ κινεῖσθαι· ὁ δ' ἀριθμὸς τῇ
ἀποφάσει τοῦ συνεχοῦς καὶ τοῖς ἰδίοις· ἑκάστη γὰρ ἓν αἰσθά-
νεται αἴσθησις. Ὥστε δῆλον ὅτι ἀδύνατον ὁτουοῦν [k] ἰδίαν
αἴσθησιν εἶναι τούτων, οἷον κινήσεως· οὕτω γὰρ ἔσται ὥσπερ
8 νῦν τῇ ὄψει τὸ γλυκὺ αἰσθανόμεθα. Τοῦτο δ' ὅτι ἀμφοῖν
[l] ἔχοντες τυγχάνομεν αἴσθησιν, ᾗ [m] καὶ ὅταν συμπέσωσιν
[n] ἀναγνωρίζομεν· εἰ δὲ μή, [o] οὐδαμῶς ἂν ἀλλ' ἢ κατὰ συμ-
βεβηκὸς [p] ᾐσθανόμεθα, οἷον τὸν Κλέωνος υἱὸν οὐχ ὅτι [q] Κλέ-
ωνος υἱός, [r] ἀλλ' ὅτι λευκός· [s] τούτῳ δὲ συμβέβηκεν υἱῷ
9 Κλέωνος εἶναι. Τῶν δὲ κοινῶν [t] ἤδη ἔχομεν αἴσθησιν κοινήν,

[p] ἡ μὲν—ὕδατος om. pr. T. [q] γῆ δὲ] ἡ δὲ γῆ S.U.W. [r] ἢ om. W, ἢ οὐθενὸς ἢ om. S.U.V. [s] ἰδίως om. L.U.V.X. [t] διὸ om. E.L.S.U.V.X. [v] ζώων W. [w] πᾶσαι] οὐ πᾶσαι X. [x] αἱ om. W.X. [y] πεπληρωμένων S. [z] γὰρ καὶ] δὲ καὶ S, δὲ X. [a] ἀσπάλαξ L.T.U.V.W.X. [b] ἔχουσα τοὺς ὀφθ. T.U.W. [c] μίαν λιποι E, μία ἂν λείποιτο T, μία ἂν ἐλλείποι L. [d] αἴσθησιν X. [e] ὧν καὶ ἐκ. E. [f] ἑνός om. V. [g] κιν. μέγ. U. [h] καὶ τὸ σχ. W. [i] τι καὶ τὸ L.T.W. [k] τούτων ἰδίαν αἴσθησιν εἶναι W. [l] ἔχομεν τυγχάνοντες X. [m] καὶ om. L.S.T.U.V.W.X. [n] ἅμα γνωρίζομεν E, γνωρίζομεν L.S.U.V.W.X. [o] μηδαμῶς W. [p] αἰσθανοίμεθα L, αἰσθανόμεθα E.T.U.V.W. [q] κλέωνος γὰρ υἱὸς S.T.V.W. [r] ἄλλο τὸ λευκόν U. λευκόν etiam S. [s] τοῦτο L.V.X. [t] ἔχομεν ἤδη αἴσθησιν L.T.U.W, ἔχομεν αἴσθησιν ἤδη S.V.X.

οὐ κατὰ συμβεβηκός· οὐκ [v] ἄρ' ἐστὶν ἴδια· οὐδαμῶς γὰρ ἂν
ᾐσθανόμεθα ἀλλ' [w] ἢ οὕτως ὥσπερ εἴρηται [x] τὸν Κλέωνος
[y] υἱὸν ἡμᾶς ὁρᾶν. Τὰ δ' ἀλλήλων ἴδια κατὰ συμβεβηκὸς αἰ- 10
σθάνονται αἱ αἰσθήσεις, οὐχ [z] ᾗ [a] αἱ αὐταί, ἀλλ' ᾗ μία, ὅταν
ἅμα [b] γένηται ἡ αἴσθησις ἐπὶ τοῦ αὐτοῦ, οἷον [c] χολὴν ὅτι
πικρὰ καὶ ξανθή· οὐ γὰρ [d] δὴ ἑτέρας γε τὸ εἰπεῖν ὅτι ἄμφω
ἕν· διὸ καὶ ἀπατᾶται, [e] καὶ ἐὰν ᾖ ξανθόν, χολὴν οἴεται εἶναι.
Ζητήσειε δ' ἄν [f] τις τίνος ἕνεκα [g] πλείους ἔχομεν αἰσθήσεις,
ἀλλ' οὐ μίαν [h] μόνην. Ἢ ὅπως [i] ἧττον λανθάνῃ τὰ ἀκολου- 11
θοῦντα καὶ κοινά, οἷον κίνησις καὶ μέγεθος καὶ ἀριθμός· εἰ
γὰρ ἦν [k] ἡ ὄψις [l] μόνη, καὶ αὐτὴ λευκοῦ, ἐλάνθανεν [m] ἂν μᾶλ-
λον [n] καὶ ἐδόκει [o] ταὐτὸ εἶναι πάντα διὰ τὸ ἀκολουθεῖν ἀλλή-
λοις ἅμα χρῶμα καὶ μέγεθος. Νῦν δ' ἐπεὶ [p] καὶ [q] ἐν ἑτέρῳ
αἰσθητῷ τὰ κοινὰ ὑπάρχει, δῆλον ποιεῖ ὅτι ἄλλο τι ἕκαστον
αὐτῶν.

Ἐπεὶ δ' αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούομεν, ἀνάγκη ἢ 2
τῇ ὄψει αἰσθάνεσθαι ὅτι ὁρᾷ, ἢ ἑτέρᾳ. Ἀλλ' ἡ αὐτὴ ἔσται
τῆς ὄψεως καὶ τοῦ ὑποκειμένου χρώματος. Ὥστε ἢ δύο τοῦ
αὐτοῦ ἔσονται ἢ αὐτὴ αὑτῆς. Ἔτι [r] δ' [s] εἰ καὶ ἑτέρα [t] εἴη
τῆς ὄψεως αἴσθησις, [v] ἢ εἰς ἄπειρον [w] εἶσιν ἢ αὐτή τις [x] ἔσται
αὑτῆς. Ὥστ' ἐπὶ τῆς πρώτης τοῦτο ποιητέον. Ἔχει δ' 2
ἀπορίαν· εἰ γὰρ [y] τὸ τῇ ὄψει αἰσθάνεσθαί ἐστιν ὁρᾶν, ὁρᾶ-
ται [z] δὲ χρῶμα ἢ τὸ ἔχον, εἰ ὄψεταί τις τὸ [a] ὁρῶν, [b] καὶ
χρῶμα ἕξει τὸ ὁρῶν πρῶτον. Φανερὸν τοίνυν ὅτι οὐχ ἓν τὸ
τῇ ὄψει αἰσθάνεσθαι· καὶ γὰρ ὅταν μὴ ὁρῶμεν, τῇ ὄψει
κρίνομεν καὶ τὸ [c] σκότος καὶ τὸ φῶς, ἀλλ' οὐχ ὡσαύτως.

[v] ἄρ' om. T. [w] ἢ om. E.L.T.V. [x] τοῦ S. [y] ἡμᾶς υἱὸν U. [z] ᾗ om. E.L. [a] αἱ αὐταὶ] αὗται X, αὐταὶ T.V.W. [b] γένηται S.U.V. [c] ὅτι χολὴ S.T.U.V.W.X. [d] δὴ] δι' S. [e] καὶ ἐὰν] διὸ καὶ ἐὰν E. [f] τις διὰ τίνος T. [g] πλείονας T.W. [h] μόνον S.U.X. [i] ἧττον] μὴ T.V.W.X, ᾗ S. [k] ἡ om. S.T.U.V.W.X. [l] μόνον L, om. pr. E. [m] ἂν] κἂν E. [n] καὶ] κἂν L.S.T.U.V.W.X. [o] ταυτὸν T.X, ταυτὰ E.L.V, τοῦτο S.U. [p] καὶ post ἐπεὶ om. X. [q] ἐν om. L. et pr. E. [r] δ'] δὴ L. [s] καὶ εἰ E. [t] εἴη ἡ τῆς E. [v] ἢ om. X. [w] ἄνεισιν L.U.W.X. [x] ἐστιν X. [y] τὸ om. W. [z] δὲ τὸ χρῶμα W. [a] ὁρᾶν X. [b] καὶ τὸ χρῶμα W. [c] σκότος ᾗ καὶ X, σκότος ἢ καὶ S.

3 Ἔτι δὲ καὶ τὸ ὁρῶν ἔστιν [d] ὡς [e] κεχρωμάτισται· τὸ γὰρ αἰ-
σθητήριον δεκτικὸν τοῦ αἰσθητοῦ ἄνευ τῆς ὕλης ἕκαστον. Διὸ
καὶ ἀπελθόντων τῶν [f] αἰσθητῶν ἔνεισιν [g] αἱ [h] αἰσθήσεις [i] καὶ
4 φαντασίαι [k] ἐν τοῖς αἰσθητηρίοις. Ἡ δὲ τοῦ αἰσθητοῦ ἐνέρ-
γεια καὶ τῆς αἰσθήσεως ἡ αὐτὴ μέν ἐστι καὶ μία, τὸ δ' εἶναι
[l] οὐ ταὐτὸν αὐταῖς· λέγω δ' [m] οἷον ψόφος ὁ κατ' ἐνέργειαν
[n] καὶ ἀκοὴ ἡ κατ' ἐνέργειαν· ἔστι γὰρ ἀκοὴν ἔχοντα μὴ ἀκού-
5 ειν, καὶ τὸ [o] ἔχον ψόφον οὐκ ἀεὶ [p] ψοφεῖ. Ὅταν δ' ἐνεργῇ
τὸ δυνάμενον ἀκούειν καὶ ψοφῇ τὸ δυνάμενον ψοφεῖν, [q] τότε
ἡ κατ' ἐνέργειαν ἀκοὴ ἅμα γίνεται καὶ ὁ κατ' ἐνέργειαν ψό-
φος, [r] ὧν [s] εἴπειεν ἄν τις τὸ μὲν εἶναι ἄκουσιν τὸ δὲ ψόφησιν.
6 Εἰ [t] δ' ἔστιν [v] ἡ κίνησις καὶ ἡ ποίησις καὶ τὸ πάθος ἐν τῷ
ποιουμένῳ, ἀνάγκη καὶ τὸν ψόφον καὶ τὴν ἀκοὴν τὴν κατ'
ἐνέργειαν [w] ἐν τῇ κατὰ δύναμιν εἶναι· ἡ γὰρ τοῦ ποιητικοῦ
καὶ κινητικοῦ ἐνέργεια ἐν τῷ πάσχοντι [x] ἐγγίνεται. Διὸ οὐκ
7 ἀνάγκη τὸ κινοῦν κινεῖσθαι. Ἡ μὲν οὖν τοῦ ψοφητικοῦ
ἐνέργειά [y] ἐστι ψόφος ἢ ψόφησις, ἡ δὲ τοῦ ἀκουστικοῦ ἀκοὴ
ἢ ἄκουσις· διττὸν γὰρ ἡ ἀκοή, καὶ διττὸν ὁ ψόφος. Ὁ δ'
αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων καὶ αἰσθητῶν.
[z] Ὥσπερ γὰρ ἡ ποίησις καὶ ἡ πάθησις ἐν τῷ πάσχοντι [a] ἀλλ'
οὐκ ἐν τῷ ποιοῦντι, οὕτω καὶ ἡ τοῦ αἰσθητοῦ [b] ἐνέργεια καὶ ἡ
8 τοῦ αἰσθητικοῦ ἐν τῷ αἰσθητικῷ. Ἀλλ' ἐπ' ἐνίων [c] μὲν ὠνό-
μασται, οἷον ἡ ψόφησις καὶ ἡ ἄκουσις, [d] ἐπὶ δ' ἐνίων ἀνώ-
νυμον θάτερον· ὅρασις [e] γὰρ λέγεται ἡ τῆς ὄψεως ἐνέργεια,
ἡ δὲ τοῦ χρώματος ἀνώνυμος, καὶ γεῦσις ἡ τοῦ γευστικοῦ, ἡ
9 δὲ τοῦ χυμοῦ ἀνώνυμος. Ἐπεὶ δὲ μία μέν [f] ἐστιν ἐνέργεια

[d] ὡς] ὡς καὶ X. [e] κέχρωσται T. [f] αἰσθητηρίων S. [g] αἱ om. S.W.X. [h] αἴσθησις S. [i] καὶ αἱ φ. T. [k] ἐν om. W. [l] οὐ τὸ αὐτὸ αὐταῖς L, αὐταῖς οὐ ταυτόν S.T.U.V.W, αὐτοῦ οὐ ταυτόν X. [m] οἷον ὁ ψόφος ὁ E.L W. [n] καὶ ἡ ἀκοὴ ἡ E.L. καὶ—ἐνέργειαν om. T. [o] ψόφον ἔχον W. [p] ψοφεῖν W. [q] τότε καὶ ἡ T.W. [r] ὧν] ὥστ' T.W, ὥστε καὶ S.U.V. [s] εἴποιεν E.L, φήσειεν S.U.V.X. [t] δή L.S.T.U.V.X. [v] ἡ post ἔστιν om. W. [w] ἐν τῇ] ἔν τι V. [x] γίνεται W. [y] ἐστὶν ante ἐνέργεια E.L, post ψόφησις T. [z] ὥσπερ γὰρ] καὶ ὥσπερ T.W, ὥσπερ γὰρ καὶ E.L. [a] ἀλλ'] καὶ L.T.U. [b] ἐνέργεια καὶ ἡ τοῦ αἰσθητικοῦ om. T.U.W. [c] μὲν καὶ ὠνόμασται T.U.W.X. [d] ἐπ' ἐνίων δ' L. [e] γὰρ] δὲ S. [f] ἐστιν ἡ ἐνέργεια ἡ E.

[g] ἡ τοῦ αἰσθητοῦ καὶ [h] ἡ τοῦ αἰσθητικοῦ, τὸ δ' εἶναι ἕτερον,
ἀνάγκη [i] ἅμα φθείρεσθαι καὶ σώζεσθαι τὴν οὕτω λεγομένην
ἀκοὴν καὶ ψόφον, καὶ χυμὸν δὴ καὶ γεῦσιν καὶ τὰ ἄλλα
ὁμοίως· τὰ [k] δὲ κατὰ δύναμιν λεγόμενα οὐκ ἀνάγκη, ἀλλ' οἱ
[l] πρότερον φυσιολόγοι τοῦτο οὐ καλῶς ἔλεγον, οὐθὲν οἰό-
μενοι οὔτε λευκὸν [m] οὔτε μέλαν εἶναι ἄνευ ὄψεως, οὐδὲ χυμὸν
ἄνευ γεύσεως. Τῇ μὲν γὰρ ἔλεγον ὀρθῶς, τῇ δ' οὐκ ὀρθῶς· 10
διχῶς γὰρ λεγομένης τῆς αἰσθήσεως καὶ τοῦ [n] αἰσθητοῦ, τῶν
μὲν κατὰ δύναμιν τῶν δὲ κατ' ἐνέργειαν, [o] ἐπὶ τούτων μὲν
συμβαίνει [p] τὸ λεχθέν, ἐπὶ [q] δὲ τῶν ἑτέρων οὐ συμβαίνει.
Ἀλλ' ἐκεῖνοι ἁπλῶς ἔλεγον περὶ τῶν λεγομένων οὐχ ἁπλῶς. 11
Εἰ [r] δ' ἡ συμφωνία φωνή τίς ἐστιν, ἡ δὲ φωνὴ καὶ [s] ἡ ἀκοὴ
ἔστιν ὡς ἕν [t] ἐστι καὶ ἔστιν ὡς οὐχ ἓν [v] τὸ αὐτό, λόγος δ' ἡ
συμφωνία, ἀνάγκη καὶ τὴν ἀκοὴν λόγον τινὰ εἶναι. Καὶ διὰ 12
τοῦτο [w] καὶ [x] φθείρει ἕκαστον ὑπερβάλλον, καὶ τὸ ὀξὺ καὶ τὸ
βαρύ, τὴν ἀκοήν· [y] ὁμοίως δὲ καὶ ἐν χυμοῖς τὴν γεῦσιν, καὶ ἐν
χρώμασι τὴν ὄψιν τὸ σφόδρα λαμπρὸν [z] ἢ ζοφερόν, καὶ ἐν
ὀσφρήσει ἡ ἰσχυρὰ ὀσμὴ καὶ γλυκεῖα καὶ [a] πικρά, ὡς λόγου
τινὸς ὄντος τῆς αἰσθήσεως. [b] Διὸ καὶ ἡδέα μέν, ὅταν [c] εἰλι- 13
κρινῆ καὶ [d] ἀμιγῆ [e] ἄγηται εἰς τὸν λόγον, οἷον τὸ ὀξὺ ἢ
γλυκὺ ἢ ἁλμυρόν· ἡδέα γὰρ τότε. Ὅλως δὲ [f] μᾶλλον τὸ
μικτὸν συμφωνία ἢ τὸ ὀξὺ [g] ἢ βαρύ. Ἁφὴ δὲ τὸ [h] θερμαν-
τὸν ἢ [i] ψυκτόν· ἡ δ' αἴσθησις [k] ὁ λόγος· ὑπερβάλλοντα [l] δὲ
λυπεῖ ἢ φθείρει. Ἑκάστη μὲν οὖν αἴσθησις τοῦ ὑποκειμένου 14
αἰσθητοῦ ἐστίν, ὑπάρχουσα ἐν τῷ αἰσθητηρίῳ ᾗ αἰσθητήριον,

[g] ἡ om. T.V.W. [h] ἡ addidit E. [i] ἄρα φθ. S.T, φθ. ἅμα L. [k] δὲ] γὰρ S. [l] πρότεροι U.V.W. [m] εἶναι οὔτε μέλαν X. [n] αἰσθητικοῦ V. [o] περὶ E.S.T.V. [p] τὸ—συμβαίνει om. S. [q] δὲ τῶν] δ' X. [r] δ' ἡ] δὴ S.X, δὴ ἡ W. [s] ἡ om. L.S.T.U.V.X. [t] ἐστιν solus E. [v] τὸ] ἢ οὐ τὸ S.T.X, οὐδὲ τὸ V. [w] καὶ post τοῦτο om. L.W. [x] φθείρεσθαι S, φθείρει ὡς W. [y] ὁμοίως δὲ om. S.T.U.V.W.X. [z] ἢ τὸ ζ. S.T.U.V.W.X. [a] πικρά] λιπαρά E.L. [b] διὸ om. S.X. et pr. U, διὸ καὶ om. V. [c] εἰλικρινῆ καὶ om. X. [d] ἀμιγῆ] ἀμιγῆ ὄντα U, ἀμιγῆ ᾖ ὄντα L, ἄμικτα ὄντα S.T.V.W.X. [e] ἄγεται E.L, ἄγηται post ὅταν S.T.U.V.W.X. [f] μᾶλλον om. X. [g] ἢ βαρύ] καὶ βαρύ U.V.W, καὶ τὸ βαρύ L. [h] θερμαντικὸν W.X. [i] ψυκτικὸν W.X, χυρὸν V. [k] ὁ om. S.U.V. [l] δὲ] δὲ ἢ W.

*καὶ κρίνει τὰς τοῦ ὑποκειμένου αἰσθητοῦ διαφοράς, οἷον λευ-
κὸν μὲν καὶ μέλαν ὄψις, γλυκὺ δὲ καὶ πικρὸν γεῦσις. Ὁμοίως
δ' ἔχει* [m] *τοῦτο καὶ ἐπὶ τῶν ἄλλων. Ἐπεὶ δὲ* [n] *καὶ τὸ λευ-
κὸν καὶ τὸ γλυκὺ καὶ ἕκαστον τῶν αἰσθητῶν πρὸς ἕκαστον*
15 *κρίνομεν,* [o] *τινὶ καὶ αἰσθανόμεθα ὅτι διαφέρει. Ἀνάγκη δὴ
αἰσθήσει· αἰσθητὰ γάρ ἐστιν. Ἧι καὶ δῆλον ὅτι ἡ σὰρξ
οὐκ ἔστι τὸ* [p] *ἔσχατον αἰσθητήριον· ἀνάγκη* [q] *γὰρ ἦν ἁπτό-
μενον αὐτοῦ κρίνειν τὸ κρῖνον. Οὔτε δὴ κεχωρισμένοις ἐνδέ-
χεται κρίνειν ὅτι ἕτερον τὸ γλυκὺ τοῦ λευκοῦ, ἀλλὰ δεῖ ἑνί
τινι ἄμφω* [r] *δῆλα εἶναι. Οὕτω* [s] *μὲν* [t] *γὰρ κἂν εἰ τοῦ μὲν ἐγὼ*
16 *τοῦ δὲ σὺ αἴσθοιο, δῆλον ἂν εἴη ὅτι ἕτερα ἀλλήλων. Δεῖ δὲ
τὸ ἓν λέγειν ὅτι ἕτερον· ἕτερον γὰρ τὸ γλυκὺ τοῦ λευκοῦ.
Λέγει ἄρα τὸ αὐτό. Ὥστε ὡς λέγει, οὕτω* [v] *καὶ* [w] *νοεῖ καὶ
αἰσθάνεται. Ὅτι μὲν οὖν οὐχ οἷόν τε* [x] *κεχωρισμένοις κρίνειν
τὰ κεχωρισμένα, δῆλον· ὅτι δ' οὐδ'* [y] *ἐν κεχωρισμένῳ* [z] *χρόνῳ,*
17 *ἐντεῦθεν. Ὥσπερ γὰρ τὸ αὐτὸ λέγει* [a] *ὅτι ἕτερον τὸ ἀγαθὸν
καὶ* [b] *τὸ κακόν, οὕτω καὶ* [c] *ὅτε θάτερον λέγει ὅτι* [d] *ἕτερον,*
[e] *καὶ θάτερον, οὐ κατὰ συμβεβηκὸς τὸ ὅτε· λέγω δ',* [f] *οἷον
νῦν λέγω ὅτι ἕτερον, οὐ μέντοι ὅτι νῦν ἕτερον. Ἀλλ'* [g] *οὕτω*
18 *λέγει,* [h] *καὶ νῦν, καὶ ὅτι νῦν· ἅμα ἄρα. Ὥστε ἀχώριστον
καὶ ἐν ἀχωρίστῳ χρόνῳ. Ἀλλὰ μὴν ἀδύνατον ἅμα τὰς ἐναν-
τίας κινήσεις κινεῖσθαι τὸ αὐτὸ* [i] *ᾗ* [k] *ἀδιαίρετον καὶ* [l] *ἐν ἀδιαι-
ρέτῳ χρόνῳ. Εἰ γὰρ* [m] *τὸ γλυκύ, ὡδὶ κινεῖ τὴν αἴσθησιν*
[n] *ᾗ τὴν νόησιν, τὸ δὲ πικρὸν ἐναντίως, καὶ τὸ λευκὸν ἑτέρως.*
19 *Ἆρ' οὖν ἅμα μὲν* [o] *καὶ ἀριθμῷ* [p] *ἀδιαίρετον* [q] *καὶ ἀχώριστον
τὸ κρῖνον, τῷ εἶναι δὲ κεχωρισμένον; Ἔστι* [r] *δή πως ὡς τὸ
διαιρετὸν τῶν διῃρημένων αἰσθάνεται, ἔστι δ'* [s] *ὡς* [t] *ᾗ* [v] *ἀδιαί-*

[m] *τούτῳ* X. [n] *καὶ* post *δὲ* om. T.U.V.W. [o] *τινα* L. [p] *ἔσχατον τῶν αἰσθητηρίων* W. [q] *γὰρ ἂν ἦν* W. [r] *δῆλα* om. X. [s] *μὲν* om. T. [t] *γὰρ*] *ἔχει* E.L.V. [v] *καὶ* om. S.T.V. [w] *νοεῖ*] *φρονεῖ* U.X. [x] *κεχωρισμένων* X. [y] *ἑνὶ* E. [z] *χρόνῳ ἐστιν ἐντ.* S. [a] *ὅτι δι' ἕτερον* S. [b] *τὸ* post *καὶ* om. E.L. [c] *ὅτι* S. [d] *ἕτερον τότε καὶ* T. [e] *καὶ θάτερον καὶ οὐ* W. [f] *οἷον καὶ νῦν* S. [g] *οὕτω*] *αὐτῷ* W. [h] *καὶ νῦν*] *ὅτι νῦν* X. [i] *ἡ* X. [k] *διαίρετον* E. [l] *ἐν* om. W. [m] *τὸ* om. L.S.U.V.X. et pr. E. [n] *ᾗ*] *καὶ* S.T.W. [o] *καὶ* om. W. [p] *οὐ διαιρετὸν* T. [q] *καὶ χρόνῳ ἀχώριστον* U. [r] *δὴ*] *δέ* S.U. [s] *ὡς* om. T.W. [t] *ᾗ*] *τὸ* X. [v] *διαιρετόν* E.

*ρετον· [w] τῷ εἶναι μὲν γὰρ διαιρετόν, τόπῳ δὲ [x] καὶ ἀριθμῷ [y] ἀδιαίρετον. Ἢ οὐχ οἷόν τε; Δυνάμει μὲν γὰρ τὸ αὐτὸ* 20
*[z] καὶ ἀδιαίρετον [a] τἀναντία, τῷ δ' εἶναι οὔ, [b] ἀλλὰ τῷ [c] ἐνεργεῖσθαι διαιρετόν, [d] καὶ οὐχ οἷόν τε ἅμα λευκὸν καὶ μέλαν εἶναι. Ὥστ' οὐδὲ τὰ εἴδη πάσχειν αὐτῶν, εἰ τοιοῦτον ἡ αἴσθησις καὶ ἡ νόησις, ἀλλ' ὥσπερ ἣν καλοῦσί τινες στιγμήν, ᾗ μία [e] καὶ ᾗ δύο, ταύτῃ [f] καὶ διαιρετή. Ἧι μὲν οὖν [g] ἀδιαί-* 21
*ρετον, ἓν τὸ κρῖνόν ἐστι καὶ ἅμα, ᾗ δὲ [h] διαιρετὸν ὑπάρχει, [i] δὶς τῷ αὐτῷ [k] χρῆται σημείῳ ἅμα. Ἧι μὲν οὖν δυσὶ χρῆται, τῷ πέρατι δύο κρίνει, [l] καὶ κεχωρισμένα ἐστὶν ὡς [m] κεχωρισμένων· ᾗ δ' [n] ἕν, [o] ἑνὶ καὶ ἅμα. Περὶ μὲν [p] οὖν τῆς ἀρχῆς [q] ᾗ φαμὲν [r] τὸ ζῷον αἰσθητικὸν εἶναι, [s] διωρίσθω τὸν τρόπον τοῦτον.*

*Ἐπεὶ δὲ δύο [t] διαφοραῖς ὁρίζονται μάλιστα τὴν ψυχήν,* 3
*κινήσει τε τῇ κατὰ τόπον [v] καὶ τῷ νοεῖν καὶ τῷ κρίνειν [w] καὶ αἰσθάνεσθαι, δοκεῖ δὲ [x] καὶ τὸ νοεῖν καὶ τὸ φρονεῖν ὥσπερ αἰσθάνεσθαί τι εἶναι· ἐν ἀμφοτέροις [y] γὰρ τούτοις [z] κρίνει τι ἡ ψυχὴ καὶ [a] γνωρίζει τῶν ὄντων, καὶ οἵ [b] γε ἀρχαῖοι τὸ [c] φρονεῖν καὶ τὸ αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν, ὥσπερ καὶ Ἐμπεδοκλῆς εἴρηκε*

> *πρὸς παρεὸν γὰρ μῆτις [d] ἀέξεται ἀνθρώποισιν*

*καὶ ἐν ἄλλοις*

> *ὅθεν σφίσιν [e] αἰεὶ*
> *καὶ [f] τὸ φρονεῖν [g] ἀλλοῖα [h] παρίσταται.*

[w] τὸ T. [x] καὶ χρόνῳ καὶ ἀριθμῷ U. [y] οὐ διαιρετόν T. [z] καὶ ἀδ.] διαιρετὸν καὶ ἀδιαίρετον U.W, οὐ διαιρετὸν καὶ διῃρημένον T, ἀδιαίρετον καὶ διῃρημένον X. [a] τἀναντία] καὶ τἀναντία E.U. [b] ἀλλὰ τὸ S. [c] ἐνεργεῖσθαι] εἶναι W. [d] καὶ om. S. [e] καὶ ᾗ] καὶ L, ἢ E.T.U.W, ἢ αἱ V, αἱ S, οὐ X. [f] καὶ om. L. [g] ἀδιαίρετος S.T.U. [h] διαιρετὸν οὐχ ἓν ὑπάρχει T. [i] δὶς γὰρ τῷ T.W. [k] σημείῳ χρᾶται X. [l] καὶ τὰ κεχ. T. [m] κεχωρισμένῳ E.L.T, καὶ κεχωρισμένων W.X, κεχωρισμένων τε καὶ κεχωρισμένως U. [n] ἓν om. E.L.S.V.X. [o] ἑνὶ om. pr. U. [p] οὖν om. V. [q] ἧς X. [r] αἰσθητικὸν εἶναι τὸ ζῶον S.T.U. [s] ὁρισθω E. [t] φοραῖς X. [v] καὶ τῷ νοεῖν καὶ τῷ κρίνειν] καὶ τὸ κρίνειν καὶ νοεῖν W, καὶ τῷ νοεῖν καὶ τῷ φρονεῖν S.U.V. [w] καὶ αἰσθάνεσθαι om. S.U.V. [x] καὶ post δὲ om. L.T. [y] γὰρ] τε γὰρ E.S.U. [z] κρίνει τὲ ἡ ψυχὴ T, ἡ ψυχὴ κρίνει τι S.U.V.W, ἡ ψυχὴ κρίνει τε X. [a] γνωρίζει τι τῶν T.X. [b] γε corr. E, τε S.U.V. [c] φρονεῖν τε καὶ X. [d] ἐναύξεται E. [e] ἀεὶ X. [f] τὸ φαντίζεσθαι καὶ ὀνειρώττειν φρονεῖν T. [g] ἀλλ' οἷα X. [h] καθίσταται T.

2 Τὸ δ' αὐτὸ [i] τούτοις βούλεται καὶ τὸ Ὁμήρου
τοῖος γὰρ νόος ἐστίν.

Πάντες γὰρ οὗτοι τὸ νοεῖν σωματικὸν [k] ὥσπερ τὸ αἰσθάνε-
σθαι ὑπολαμβάνουσιν, καὶ αἰσθάνεσθαί τε [l] καὶ φρονεῖν τῷ
ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ καὶ ἐν τοῖς κατ' ἀρχὰς λόγοις διω-
3 ρίσαμεν. Καίτοι ἔδει ἅμα καὶ περὶ τοῦ ἠπατῆσθαι αὐτοὺς
λέγειν· οἰκειότερον γὰρ τοῖς ζῴοις, καὶ πλείω χρόνον ἐν
4 [m] τούτῳ διατελεῖ ἡ ψυχή. Διὸ ἀνάγκη ἤτοι ὥσπερ ἔνιοι
λέγουσι, πάντα τὰ φαινόμενα εἶναι ἀληθῆ, ἢ τὴν τοῦ ἀνο-
μοίου θίξιν ἀπάτην εἶναι· τοῦτο γὰρ ἐναντίον [n] τῷ [o] τῷ
ὁμοίῳ τὸ ὅμοιον γνωρίζειν· δοκεῖ δὲ καὶ ἡ ἀπάτη καὶ [p] ἡ
ἐπιστήμη τῶν ἐναντίων [q] ἡ αὐτὴ εἶναι. Ὅτι μὲν οὖν οὐ ταὐ-
τόν ἐστι τὸ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν, φανερόν· τοῦ μὲν
5 γὰρ πᾶσι μέτεστι, τοῦ δὲ ὀλίγοις τῶν ζῴων. Ἀλλ' οὐδὲ
τὸ νοεῖν, ἐν ᾧ ἐστὶ τὸ ὀρθῶς καὶ [r] τὸ μὴ ὀρθῶς, τὸ [s] μὲν
ὀρθῶς φρόνησις καὶ ἐπιστήμη καὶ δόξα ἀληθής, τὸ δὲ μὴ
ὀρθῶς τἀναντία τούτων· οὐδὲ τοῦτο δ' ἐστὶ [t] ταὐτὸ τῷ αἰσθά-
νεσθαι· ἡ μὲν γὰρ αἴσθησις τῶν ἰδίων ἀεὶ ἀληθής, καὶ πᾶσιν
ὑπάρχει τοῖς ζῴοις, διανοεῖσθαι δ' ἐνδέχεται καὶ ψευδῶς, καὶ
οὐδενὶ ὑπάρχει ᾧ μὴ καὶ λόγος· φαντασία γὰρ ἕτερον καὶ
αἰσθήσεως καὶ διανοίας· [v] αὐτή [w] τε οὐ γίγνεται ἄνευ αἰσθή-
6 σεως, καὶ ἄνευ ταύτης οὐκ ἔστιν ὑπόληψις. [x] Ὅτι δ' οὐκ
ἔστιν ἡ αὐτὴ [y] νόησις καὶ ὑπόληψις, φανερόν. Τοῦτο μὲν
γὰρ τὸ πάθος ἐφ' ἡμῖν ἐστίν, ὅταν βουλώμεθα (πρὸ ὀμμά-
των [z] γὰρ [a] ἔστι ποιήσασθαι, ὥσπερ οἱ ἐν τοῖς μνημονικοῖς
τιθέμενοι καὶ εἰδωλοποιοῦντες), δοξάζειν δ' οὐκ ἐφ' ἡμῖν·
7 ἀνάγκη γὰρ [b] ἢ ψεύδεσθαι ἢ ἀληθεύειν. [c] Ἔτι δὲ ὅταν

[i] βούλεται τούτοις S.T.U.V.W., βούλεται τούτων X. [k] ὥσπερ καὶ τὸ S.U.V. [l] τῷ ὁμοίῳ τὸ ὅμοιον καὶ φρονεῖν T. [m] τούτοις S.T.V. [n] τῷ] τὸ S, ᾧ L, om. T.U. [o] τὸ ὅμοιον τῷ ὁμοίῳ S.T.U.V.X. [p] ἡ om. X. [q] ἡ αὐτὴ om. X. [r] τὸ post καὶ om. T. [s] μὲν γὰρ ὀρθῶς T.U.W. [t] ταυτὸν L, τὸ αὐτὸ S.T.U.V.W.X. [v] αὐτὴ] ἡ αὐτὴ S.W.X. [w] τε] γὰρ V. [x] ὅταν X. [y] νόησις] φαντασία margo U. [z] γὰρ] γοῦν V, om. U. [a] ἔστι] ἔστι τι E, om. U. [b] ἢ om. S.T.U.W.X. [c] ἔτι δὲ om. X.

[d] μὲν [e] δοξάσωμεν δεινόν τι ἢ φοβερόν, εὐθὺς [f] συμπάσχομεν,
ὁμοίως δὲ [g] κἂν θαρραλέον· κατὰ δὲ τὴν φαντασίαν ὡσαύτως
ἔχομεν ὥσ[h]περ ἂν [i] οἱ θεώμενοι ἐν γραφῇ τὰ δεινὰ [k] ἢ θαρ-
ραλέα. Εἰσὶ δὲ καὶ αὐτῆς τῆς [l] ὑπολήψεως διαφοραί, ἐπι-
στήμη καὶ δόξα καὶ φρόνησις καὶ [m] τἀναντία τούτων, περὶ
ὧν τῆς διαφορᾶς [n] ἕτερος [o] ἔστω λόγος. Περὶ δὲ τοῦ νοεῖν, 8
ἐπεὶ ἕτερον τοῦ αἰσθάνεσθαι, τούτου δὲ τὸ μὲν φαντασία
δοκεῖ εἶναι τὸ δὲ ὑπόληψις, περὶ φαντασίας [p] διορίσαντας
οὕτω περὶ θατέρου λεκτέον. Εἰ δή ἐστιν [q] ἡ φαντασία καθ' 9
ἣν λέγομεν φάντασμά τι ἡμῖν [r] γίγνεσθαι καὶ [s] μὴ εἴ τι
κατὰ μεταφορὰν [t] λέγομεν, μία τίς [v] ἐστι τούτων δύναμις
ἢ ἕξις, καθ' ἣν κρίνομεν [w] καὶ ἀληθεύομεν [x] ἢ ψευδόμεθα.
[y] Τοιαῦται δ' εἰσὶν αἴσθησις, δόξα, [z] ἐπιστήμη, νοῦς. Ὅτι
μὲν [a] οὖν οὐκ ἔστιν αἴσθησις, [b] δῆλον ἐκ τῶνδε. Αἴσθησις 10
μὲν γὰρ ἤτοι δύναμις ἢ ἐνέργεια, οἷον ὄψις [c] καὶ ὅρασις,
φαίνεται [d] δέ τι καὶ μηδετέρου [e] ὑπάρχοντος τούτων, οἷον τὰ
ἐν τοῖς ὕπνοις. Εἶτα αἴσθησις μὲν ἀεὶ πάρεστι, φαντασία
δ' οὔ. Εἰ δὲ τῇ ἐνεργείᾳ τὸ αὐτό, πᾶσιν ἂν [f] ἐνδέχοιτο τοῖς
θηρίοις φαντασίαν ὑπάρχειν· δοκεῖ δ' οὔ, οἷον μύρμηκι ἢ
μελίττῃ ἢ σκώληκι. Εἶτα αἱ μὲν ἀληθεῖς αἰεί, αἱ δὲ φαν- 11
τασίαι γίνονται αἱ πλείους ψευδεῖς. [g] Ἔπειτ' οὐδὲ λέγο-
μεν, ὅταν ἐνεργῶμεν ἀκριβῶς περὶ τὸ αἰσθητόν, ὅτι φαίνεται
τοῦτο ἡμῖν ἄνθρωπος· ἀλλὰ μᾶλλον ὅταν μὴ [h] ἐναργῶς αἰ-
σθανώμεθα, τότε [i] ἢ ἀληθὴς [k] ἢ ψευδής. Καὶ ὅπερ [l] δὲ 12
ἐλέγομεν πρότερον, φαίνεται καὶ μύουσιν ὁράματα. Ἀλλὰ

[d] μὲν] μέν τι W. [e] δοξάζωμεν L.S.U.W. [f] πάσχομεν V. [g] κἂν] καὶ ἐὰν T, κἂν ᾖ L, καὶ ἐὰν ᾖ S.U.V.W.X. [h] περ om. T. [i] οἱ] εἰ E.L.S.U.V.X. [k] ἢ] καὶ S.T.U.V.W.X. [l] ὑπολήψεως αἱ διαφοραί W. [m] τὰ ἐναντία S.U.V.W.X. [n] ἕτερος om. pr. W. [o] ἔσται X. [p] διορίσασιν U. [q] ἡ om. W. et pr. E. [r] γενέσθαι S.T.V.X, ἐγγίνεσθαι W. [s] εἰ μή T. [t] λέγωμεν X, λέγεται T. [v] ἐστι om. S.X. [w] καὶ] ἢ E.S.U.W.X. [x] ἢ] καὶ E.S.T.U.W. [y] τοιαῦτα S.V, ταῦτα L.W.X. [z] νοῦς ἐπιστήμη S.T.U.W.X. [a] οὖν om. S.U.X. [b] δῆλον δ' ἐκ X. [c] καὶ] ἢ T. [d] δή X. [e] τούτων ὑπάρχοντος S.T.U.V.W.X. [f] δέχοιτο X. [g] ἔπειτ'] ἔτι T. et corr. E. [h] ἐνεργῶς E. [i] ἢ] καὶ U, καὶ ἢ T, καὶ ἡ S.V. [k] ἢ] καὶ ἡ S.V. [l] δὴ S.T.U.V.X.

*μὴν οὐδὲ τῶν [m] ἀεὶ ἀληθευόντων οὐδεμία [n] ἔσται, οἷον ἐπι-*
*στήμη ἢ νοῦς· ἔστι γὰρ φαντασία καὶ ψευδής. Λείπεται*
*ἄρα ἰδεῖν εἰ δόξα· γίνεται γὰρ δόξα καὶ ἀληθὴς καὶ ψευδής.*
13 *Ἀλλὰ δόξῃ μὲν ἕπεται πίστις (οὐκ ἐνδέχεται [o] γὰρ δοξά-*
*ζοντα οἷς [p] δοκεῖ μὴ πιστεύειν), τῶν δὲ θηρίων οὐθενὶ ὑπάρ-*
*χει πίστις, φαντασία [q] δὲ πολλοῖς. Ἔτι [r] πάσῃ μὲν δόξῃ*
*ἀκολουθεῖ πίστις, πίστει δὲ τὸ πεπεῖσθαι, πειθοῖ δὲ λόγος·*
*τῶν δὲ θηρίων ἐνίοις φαντασία μὲν ὑπάρχει, λόγος δ' οὔ.*
14 *Φανερὸν τοίνυν [s] ὅτι [t] οὐδὲ δόξα μετ' αἰσθήσεως, οὐδὲ δι'*
*αἰσθήσεως, οὐδὲ συμπλοκὴ δόξης καὶ αἰσθήσεως φαντασία ἂν*
*εἴη, διά τε ταῦτα καὶ δῆλον ὅτι οὐκ [v] ἄλλου τινός ἐστιν [w] ἡ*
*δόξα, ἀλλ' [x] ἐκείνου [y] ἐστὶν [z] οὗ καὶ αἴσθησις· λέγω δ', [a] ἐκ*
*τῆς [b] τοῦ λευκοῦ δόξης καὶ αἰσθήσεως ἡ συμπλοκὴ φαντασία*
*ἐστίν· οὐ γὰρ [c] δὴ ἐκ τῆς δόξης μὲν τῆς τοῦ ἀγαθοῦ, αἰσθή-*
15 *σεως δὲ τῆς τοῦ λευκοῦ. Τὸ οὖν φαίνεσθαί ἐστι τὸ δοξάζειν*
*ὅπερ αἰσθάνεται μὴ κατὰ συμβεβηκός. Φαίνεται [d] δὲ καὶ*
*ψευδῆ, περὶ ὧν ἅμα [e] ὑπόληψιν ἀληθῆ [f] ἔχει, οἷον φαίνεται*
*μὲν ὁ ἥλιος [g] ποδιαῖος, [h] πεπίστευται δ' [i] εἶναι [k] μείζων τῆς*
*οἰκουμένης· συμβαίνει [l] οὖν ἤτοι ἀποβεβληκέναι τὴν [m] ἑαυτοῦ*
*[n] ἀληθῆ δόξαν, ἣν εἶχε, σωζομένου τοῦ πράγματος, μὴ [o] ἐπι-*
*λαθόμενον μηδὲ μεταπεισθέντα, ἢ [p] εἰ ἔτι ἔχει, ἀνάγκη [q] τὴν*
16 *αὐτὴν ἀληθῆ [r] εἶναι καὶ ψευδῆ. Ἀλλὰ ψευδὴς [s] ἐγένετο,*
*ὅτε λάθοι μεταπεσὸν τὸ πρᾶγμα. [t] Οὔτ' [v] ἄρα [w] ἕν τι*
17 *τούτων ἐστὶν οὔτ' ἐκ τούτων ἡ φαντασία. Ἀλλ' ἐπειδή*
*ἔστι κινηθέντος [x] τουδὶ κινεῖσθαι ἕτερον ὑπὸ τούτου, ἡ δὲ*

[m] *ἀεὶ* om. T. [n] *ἔσται* om. X. [o] *γὰρ τὸν δ.* V. [p] *δοκεῖ*] *δοξάζει* L.U.W. [q] *δὲ*] *δ' ἐν* E.L. [r] *πάσῃ*] *εἰ πάσῃ* S.X, *εἰ πᾶσι* W. [s] *ὅτι* om. W. [t] *οὐδὲ ἡ δόξα* U. [v] *ἄλλη τις* S.T.V.W. [w] *ἡ* om. S.V.X. [x] *ἐκείνη* S.T. [y] *ἐστὶν*] *ἥπερ ἐστιν* S, *εἴπερ ἐστιν* T.W, *περ ἐστιν* X. [z] *οὗ καὶ*] *οὗ καὶ ἡ* S.T.W.X, *οὗπερ ἐστι καὶ ἡ* U.V. [a] *ἐκ*] *εἰ* V. [b] *τοῦ* om. X. [c] *δὴ* om. W. [d] *δὲ*] *δέ γε* S.T.U.V.W.X. [e] *ὑπόληψις ἀληθὴς* U.W. [f] *ἔχειν* E.S. [g] *ποδιος* pr. E. [h] *πέπεισται* S.T.U.X, *πιστεύεται* L. [i] *εἶναι* post *ποδιαῖος* W. [k] *μείζω* E.S.T.V. [l] *γοῦν* X. [m] *αὐτοῦ* E.L. [n] *ἀληθῆ* post *εἶχεν* S.U.W.X. [o] *ἐπιλανθανόμενον* L.T.U.V.W.X. [p] *εἰ ἔτι*] *ὅτι* L. [q] *τὴν αὐτὴν* om. pr. E, ante *ἀνάγκη* ponunt L.W. [r] *καὶ ψευδῆ εἶναι* X. [s] *ἐγίνετο* L.S.U.V.X. [t] *οὐκ* E.L.T.W, *οὐ* X. [v] *ἄρα*] *γὰρ* X, om. S. [w] *ἂν* X. [x] *τοῦδε* S.U.V.

φαντασία κίνησίς [y] τις δοκεῖ εἶναι καὶ οὐκ ἄνευ αἰσθήσεως
γίγνεσθαι ἀλλ' αἰσθανομένοις καὶ ὧν [z] αἴσθησις ἐστίν, ἔστι
δὲ [a] γίνεσθαι κίνησιν ὑπὸ τῆς ἐνεργείας τῆς αἰσθήσεως, καὶ
ταύτην ὁμοίαν [b] ἀνάγκη εἶναι τῇ αἰσθήσει, εἴη ἂν αὕτη ἡ
κίνησις οὔτε ἄνευ αἰσθήσεως ἐνδεχομένη οὔτε μὴ αἰσθανομέ-
νοις [c] ὑπάρχειν, καὶ πολλὰ [d] κατ' αὐτὴν [e] καὶ ποιεῖν καὶ πά-
σχειν τὸ ἔχον, καὶ εἶναι [f] καὶ ἀληθῆ [g] καὶ ψευδῆ. Τοῦτο δὲ 18
συμβαίνει διὰ τάδε. Ἡ αἴσθησις τῶν μὲν ἰδίων ἀληθής
ἐστιν ἢ [h] ὅτι [i] ὀλίγιστον ἔχουσα τὸ ψεῦδος. Δεύτερον δὲ
[k] τοῦ [l] συμβεβηκέναι ταῦτα· καὶ ἐνταῦθα ἤδη ἐνδέχεται [m] δια-
ψεύδεσθαι· ὅτι μὲν γὰρ λευκόν, οὐ [n] ψεύδεται, εἰ δὲ τοῦτο
[o] τὸ λευκὸν ἢ ἄλλο [p] τι, ψεύδεται. Τρίτον δὲ τῶν κοινῶν 19
καὶ ἑπομένων τοῖς συμβεβηκόσιν, οἷς ὑπάρχει τὰ ἴδια· λέγω
δ' οἷον κίνησις καὶ μέγεθος, [q] ἃ συμβέβηκε τοῖς αἰσθητοῖς,
περὶ ἃ μάλιστα ἤδη ἔστιν ἀπατηθῆναι κατὰ τὴν αἴσθησιν.
Ἡ [r] δὲ κίνησις [s] ἡ ὑπὸ τῆς ἐνεργείας [t] γινομένη διοίσει [v] τῆς
αἰσθήσεως [w] τῆς ἀπὸ τούτων τῶν τριῶν αἰσθήσεων. Καὶ ἡ 20
μὲν πρώτη παρούσης τῆς αἰσθήσεως ἀληθής, αἱ δ' ἕτεραι καὶ
παρούσης καὶ ἀπούσης εἶεν [x] ἂν ψευδεῖς, καὶ μάλιστα ὅταν
πόρρω τὸ [y] αἰσθητὸν ᾖ. Εἰ οὖν μηθὲν [z] μὲν ἄλλο [a] ἔχει τὰ
εἰρημένα [b] ἢ μὴ φαντασίαν, τοῦτο δ' ἐστὶ τὸ λεχθέν, ἡ φαν-
τασία ἂν εἴη κίνησις [c] ὑπὸ τῆς αἰσθήσεως τῆς κατ' ἐνέργειαν
[d] γιγνομένης. Ἐπεὶ δ' ἡ ὄψις μάλιστα αἴσθησίς [e] ἐστι, καὶ 21
τὸ ὄνομα ἀπὸ τοῦ φάους εἴληφεν, ὅτι ἄνευ φωτὸς οὐκ ἔστιν
ἰδεῖν. Καὶ διὰ τὸ ἐμμένειν καὶ [f] ὁμοίως εἶναι ταῖς αἰσθήσεσι,

[y] τις] τε X, om. pr. W. [z] αἰσθήσεις εἰσὶν T.U.V.W. et omisso verbo S. [a] γενέσθαι U.X. [b] ἀνάγκη ante ὁμοίαν V, post εἶναι S. [c] ὑπάρχει E. [d] κατὰ ταύτην E.L. [e] καὶ om. T.V.X. [f] καὶ post εἶναι om. W. [g] καὶ ψ.] ἢ καὶ ψ. S, ἢ ψ. U. [h] ὅτι om. S. [i] ὀλιγοστὸν L.S.U.V.X. [k] τοῦ] τῷ L. [l] συμβεβηκότος X. [m] διαψεύσασθαι E. [n] διαψεύδεται S.U.V.X. [o] τὸ om. E.S.V.X. [p] τι om. S.T.U.V.W.X. [q] ἃ ante συμβ. om. S.T.U.V.W.X. [r] δὲ] δὴ T.U, δ' ἡ W. [s] ἡ om. T. [t] κινουμένη W. [v] τῶν αἰσθήσεων T. [w] τῆς] ἡ E.L.T.X. τῆς—αἰσθήσεων om. S.U.V.W. [x] ἂν om. X. [y] αἰσθητήριον T.U.V.W.X. [z] μὲν om. S.T.U.V.W.X. [a] ἔχοι L, ἔχοι ἢ E. [b] ἢ φαντασία L.T.U.V.X, ἢ ἡ φαντ. W, ἡ φαντ. E. [c] ἀπὸ L. [d] γιγνομένη L. [e] ἐστι om. S.T.U.V.W.X. [f] ὁμοίας T.U.X.

πολλὰ [g] κατ' αὐτὰς [h] πράττει τὰ ζῷα, τὰ μὲν διὰ τὸ μὴ
ἔχειν νοῦν, οἷον τὰ θηρία, τὰ δὲ διὰ τὸ ἐπικαλύπτεσθαι [i] τὸν
νοῦν ἐνίοτε πάθει ἢ [k] νόσοις ἢ ὕπνῳ, οἷον [l] οἱ ἄνθρωποι. Περὶ
μὲν οὖν φαντασίας, [m] τί ἐστι καὶ [n] διὰ τί ἐστιν, εἰρήσθω ἐπὶ
τοσοῦτον.

4 Περὶ δὲ τοῦ μορίου [o] τοῦ τῆς ψυχῆς ᾧ γινώσκει [p] τε ἡ
ψυχὴ καὶ φρονεῖ, τε χωριστοῦ ὄντος εἴτε καὶ μὴ χωριστοῦ
[q] κατὰ μέγεθος ἀλλὰ κατὰ λόγον, σκεπτέον τίν' ἔχει δια-
φοράν, καὶ πῶς ποτὲ [r] γίνεται τὸ νοεῖν. [s] Εἰ δή ἐστι τὸ
νοεῖν ὥσπερ [t] τὸ αἰσθάνεσθαι, ἢ [v] πάσχειν [w] τι ἂν εἴη ὑπὸ τοῦ
2 νοητοῦ ἤ τι τοιοῦτον ἕτερον. Ἀπαθὲς ἄρα δεῖ εἶναι, δεκτι-
κὸν δὲ τοῦ εἴδους καὶ δυνάμει τοιοῦτον ἀλλὰ μὴ τοῦτο, καὶ
ὁμοίως [x] ἔχειν, ὥσπερ τὸ αἰσθητικὸν πρὸς τὰ αἰσθητά, οὕτω
3 [y] τὸν νοῦν πρὸς τὰ νοητά. Ἀνάγκη ἄρα, [z] ἐπεὶ πάντα νοεῖ,
ἀμιγῆ εἶναι, ὥσπερ φησὶν Ἀναξαγόρας, ἵνα κρατῇ, τοῦτο
δ' ἐστὶν ἵνα γνωρίζῃ· παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλό-
τριον καὶ [a] ἀντιφράττει, ὥστε μηδ' αὐτοῦ [b] εἶναι φύσιν [c] μη-
4 δεμίαν ἀλλ' ἢ ταύτην, ὅτι δυνατόν. Ὁ ἄρα καλούμενος τῆς
ψυχῆς νοῦς (λέγω δὲ νοῦν ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ
ψυχή) οὐθέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων πρὶν νοεῖν. Διὸ οὐδὲ
μεμῖχθαι εὔλογον [d] αὐτὸν τῷ σώματι· ποιός [e] τις γὰρ ἂν
γίγνοιτο, [f] ψυχρὸς ἢ θερμός, [g] ἢ κἂν ὄργανόν τι εἴη, ὥσπερ
5 τῷ αἰσθητικῷ· νῦν δ' οὐθέν ἐστιν. Καὶ εὖ δὴ οἱ λέγοντες
τὴν ψυχὴν εἶναι τόπον εἰδῶν, πλὴν ὅτι οὔτε ὅλη [h] ἀλλ' ἡ
νοητική, οὔτε ἐντελεχείᾳ ἀλλὰ δυνάμει τὰ εἴδη. Ὅτι δ' οὐχ
ὁμοία ἡ ἀπάθεια τοῦ [i] αἰσθητικοῦ καὶ τοῦ νοητικοῦ, φανερὸν
6 ἐπὶ τῶν αἰσθητηρίων καὶ τῆς αἰσθήσεως. Ἡ μὲν γὰρ αἴ-

[g] κατὰ ταύτας E.L. [h] πράττειν E. [i] ἐνίοτε τὸν νοῦν W. [k] νόσῳ T.U.V. [l] οἱ om. X. [m] τίς S.U.V.X. [n] διότι E. [o] τοῦ ante τῆς om. L.S.T.U.W.X. [p] τε] τι T, om. W. [q] κατὰ τὸ μ. W. [r] τὸ νοεῖν γίνεται W. [s] εἰ δή ἐστι τὸ νοεῖν om. pr. T. [t] τὸ om. S.V. [v] πάσχειν post εἴη T. [w] τι] ὅτι E.L. [x] ἔχειν om. pr. X. [y] τὸ νοοῦν V. [z] ἐπειδὴ S.U.V.W.X. [a] ἀντιφράζει S.V.X, ἀντιφράξει U.W. [b] φύσιν εἶναι W. [c] μηδ.] τινὰ μηδ. S.U.V. [d] αὐτὸν τῷ] αὐτῷ V. [e] γὰρ ἄν τις L.S.T.U.V.W.X. [f] ἢ ψ. ἢ θ. E, θ. ἢ ψ. S.T.U.V.W.X. [g] ἢ κἂν] κἂν S.T.W, καὶ U.V.X. [h] ἀλλ' ἡ om. S.U.X. [i] αἰσθητοῦ S.X.

σθησις οὐ δύναται αἰσθάνεσθαι ἐκ τοῦ σφόδρα αἰσθητοῦ,
[k] οἷον ψόφου [l] ἐκ τῶν μεγάλων ψόφων, οὐδ' [m] ἐκ τῶν ἰσχυ-
ρῶν χρωμάτων καὶ ὀσμῶν οὔτε ὁρᾶν οὔτε ὀσμᾶσθαι· ἀλλ' ὁ
νοῦς ὅταν τι νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑπο-
δεέστερα, ἀλλὰ καὶ μᾶλλον· τὸ μὲν γὰρ [n] αἰσθητικὸν οὐκ
ἄνευ σώματος, ὁ δὲ χωριστός. Ὅταν δ' [o] οὕτως ἕκαστα γέ- 7
νηται [p] ὡς ἐπιστήμων λέγεται [q] ὁ κατ' ἐνέργειαν (τοῦτο δὲ
συμβαίνει, ὅταν δύνηται ἐνεργεῖν δι' αὐτοῦ), [r] ἔστι [s] μὲν
[t] ὁμοίως καὶ τότε δυνάμει πως, οὐ μὴν [v] ὁμοίως καὶ πρὶν μα-
θεῖν ἢ εὑρεῖν· καὶ αὐτὸς δὲ αὑτὸν τότε δύναται νοεῖν. Ἐπεὶ 8
δ' ἄλλο ἐστὶ [w] τὸ μέγεθος καὶ τὸ μεγέθει εἶναι καὶ ὕδωρ
[x] καὶ ὕδατι εἶναι· [y] οὕτω δὲ καὶ ἐφ' [z] ἑτέρων πολλῶν, ἀλλ'
οὐκ ἐπὶ πάντων· ἐπ' ἐνίων [a] γὰρ ταὐτόν ἐστι τὸ σαρκὶ εἶναι
καὶ σάρκα· [b] ἢ ἄλλῳ ἢ ἄλλως [c] ἔχοντι [d] κρίνει· ἡ γὰρ σὰρξ
οὐκ ἄνευ τῆς ὕλης, ἀλλ' ὥσπερ τὸ σιμὸν [e] τόδε ἐν τῷδε. Τῷ 9
μὲν οὖν αἰσθητικῷ [f] τὸ θερμὸν καὶ [g] τὸ ψυχρὸν κρίνει, καὶ
[h] ὧν λόγος τις ἡ σάρξ· ἄλλῳ [i] δὲ ἤτοι χωριστῷ, ἢ ὡς [k] ἡ
[l] κεκλασμένη ἔχει πρὸς αὑτὴν ὅταν ἐκταθῇ, τὸ σαρκὶ [m] εἶναι
κρίνει. Πάλιν δ' ἐπὶ τῶν [n] ἐν ἀφαιρέσει ὄντων τὸ εὐθὺ ὡς
τὸ σιμόν· μετὰ συνεχοῦς γάρ· τὸ δὲ τί ἦν εἶναι, [o] εἰ [p] ἔστιν
ἕτερον [q] τὸ εὐθεῖ εἶναι καὶ τὸ εὐθὺ [r] ἄλλῳ· ἔστω γὰρ δυάς.
Ἑτέρῳ ἄρα ἢ [s] ἑτέρως ἔχοντι κρίνει. [t] Καὶ ὅλως [v] ἄρα ὡς 10
χωριστὰ τὰ πράγματα τῆς ὕλης, οὕτω καὶ τὰ περὶ τὸν νοῦν.
Ἀπορήσειε δ' ἄν τις, εἰ ὁ νοῦς [w] ἁπλοῦν ἐστι καὶ ἀπαθὲς καὶ
μηθενὶ μηθὲν [x] ἔχει κοινόν, ὥσπερ [y] φησὶν Ἀναξαγόρας, πῶς

[k] οἷον τοῦ ψ. S.T.V.X, οἷον ἐκ τοῦ ψ. E. [l] ἐκ om. E. [m] ἐκ] ἐπὶ W. [n] αἰσθητὸν X. [o] ἕκαστα οὕτως W. [p] ὡς ὁ ἐπ. E.L.T.U.V.X. [q] ὁ om. S.U.V.W.X. [r] ἔσται V. [s] μὲν] μὲν οὖν L.W. [t] ὁμοίως om. pr. E. [v] ὁμοίως alterum om. S.U.X. [w] τὸ post ἐστὶ om. W. [x] καὶ τὸ ὕδατι E. [y] οὕτω δὲ om. L.T. [z] ἑτέρων δὲ π. T. [a] γὰρ] μὲν γὰρ W. [b] ἢ ἄλλῳ] καὶ ἢ ἄλλῳ E. [c] ἔχοντι om. E.L.S.U.V. [d] κρίνει ὁ νοῦς ἢ E.L. [e] τόδε om. V. [f] τὸ θ. καὶ τὸ ψ. om. V. [g] τὸ ante ψ. om. E.L. [h] ὧν ὁ λόγος E. [i] δὲ om. V. [k] ἡ om. S.U.V.W.X. [l] κεχωρισμένη X. [m] εἶναι καὶ κρίνει L.S. [n] ἐν om. X. [o] εἰ om. L. [p] ἔστι δ' ἕτερον V. [q] τὸ εὐθεῖ] τῷ εὐθεῖ X. [r] ἄλλο T.V.X. [s] ἑτέρῳ X. [t] καὶ om. L.S.T.U.V.X. [v] ἄρα om. pr. E. [w] ἁπλοῦς V. [x] ἔχειν X, ἔχων S.U.V. [y] φασιν ὁ ἀναξαγόρας X.

11 [z] νοήσει, [a] εἰ τὸ νοεῖν πάσχειν τί ἐστιν. [b] Ἦι γάρ τι κοινὸν
ἀμφοῖν ὑπάρχει, τὸ μὲν ποιεῖν δοκεῖ τὸ δὲ πάσχειν. Ἔτι
[c] δ' εἰ νοητὸς καὶ αὐτός. Ἢ γὰρ τοῖς ἄλλοις [d] ὁ νοῦς ὑπάρ-
ξει, εἰ μὴ κατ' ἄλλο αὐτὸς νοητός, ἓν δέ τι τὸ νοητὸν εἴδει, ἢ
μεμιγμένον [e] τι ἕξει, ὃ ποιεῖ νοητὸν αὐτὸν ὥσπερ τἆλλα.
12 Ἢ τὸ μὲν [f] πάσχειν κατὰ κοινόν τι [g] διῄρηται πρότερον, ὅτι
δυνάμει πώς ἐστι τὰ νοητὰ ὁ νοῦς, ἀλλ' ἐντελεχείᾳ [h] οὐδέν,
πρὶν [i] ἂν νοῇ. Δεῖ δ' οὕτως ὥσπερ ἐν γραμματείῳ [k] ᾧ μηθὲν
[l] ὑπάρχει ἐντελεχείᾳ [m] γεγραμμένον. [n] Ὅπερ συμβαίνει ἐπὶ
13 τοῦ νοῦ. Καὶ αὐτὸς δὲ νοητός ἐστιν ὥσπερ τὰ νοητά. Ἐπὶ
μὲν γὰρ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστι τὸ νοοῦν καὶ τὸ νοού-
μενον· ἡ γὰρ ἐπιστήμη [o] ἡ θεωρητικὴ καὶ τὸ οὕτως [p] ἐπι-
στητὸν [q] τὸ αὐτό ἐστιν· τοῦ δὲ μὴ ἀεὶ νοεῖν τὸ αἴτιον ἐπι-
σκεπτέον. Ἐν δὲ τοῖς ἔχουσιν ὕλην δυνάμει ἕκαστόν ἐστι
τῶν νοητῶν. Ὥστ' ἐκείνοις μὲν οὐχ ὑπάρξει νοῦς (ἄνευ γὰρ
ὕλης [r] δύναμις ὁ νοῦς τῶν τοιούτων), [s] ἐκείνῳ δὲ τὸ νοητὸν
ὑπάρξει.

5 [t] Ἐπεὶ δ' ὥσπερ ἐν [v] ἁπάσῃ τῇ φύσει ἐστί τι τὸ μὲν
ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ [w] ὃ πάντα δυνάμει [x] ἐκεῖνα),
ἕτερον δὲ τὸ αἴτιον [y] καὶ ποιητικόν, [z] τῷ ποιεῖν πάντα, οἷον
[a] ἡ τέχνη [b] πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ ἐν τῇ ψυχῇ
2 ὑπάρχειν ταύτας τὰς διαφοράς. Καὶ ἔστιν ὁ μὲν τοιοῦτος
νοῦς [c] τῷ πάντα γίνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν, ὡς ἕξις τις,
οἷον τὸ φῶς· τρόπον γάρ τινα [d] καὶ τὸ φῶς ποιεῖ τὰ δυνά-
μει ὄντα χρώματα [e] ἐνεργείᾳ χρώματα. Καὶ [f] οὗτος ὁ νοῦς
χωριστὸς καὶ [g] ἀπαθὴς καὶ ἀμιγὴς τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ.

[z] νοήσειεν T.V.X. [a] εἰ—ἐστίν om. pr. W. [b] ᾗ] ἢ L. [c] δ' om. pr. E. [d] ὁ om. E.L.V. [e] τι ἕξει] τῇ ἕξει S. [f] πάσχειν om. V. [g] διείρηται S. [h] οὐδὲν—ἐντελεχείᾳ om. L. [i] ἂν] ἂν μὴ L.V.W. et inter versus U.X, om. E. [k] ᾧ om. E.S.U.V.X. [l] ὑπάρχειν S.U.V.X. [m] καταγεγραμμένον E.L, om. pr. T. [n] ὥσπερ S. [o] ἡ ante θ. om. E. [p] ἐπιστ.] θεωρητικὸν pr. T. [q] ταυτό T. [r] δύναμίς ἐστιν ὁ L.S.U.V.W.X. [s] ἐκεῖνο T. [t] ἐπειδὴ W. [v] πάσῃ T. [w] ὃ] ὅτι U.V.W. [x] ἐκεῖνο E. [y] καὶ τὸ π. L.W. [z] τῷ] ὃ τῷ L.T.X. [a] ἡ om. V. [b] πέπονθε πρὸς τὴν ὕλην S. [c] τῷ] τὸ S. [d] καὶ om. V. [e] ἐνεργείᾳ ὄντα χρώματα W. [f] οὗτος] οὐχ ὡς S. [g] ἀμιγὴς καὶ ἀπαθὴς S.T.U.V.W.X.

'Ἀεὶ γὰρ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος καὶ ἡ ἀρχὴ τῆς ὕλης. [h]Τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη 3
τῷ πράγματι· ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί, ὅλως δὲ [i]οὐ χρόνῳ· ἀλλ' [k]οὐχ ὁτὲ μὲν νοεῖ ὁτὲ δ' οὐ νοεῖ. Χωρισθεὶς δ' [l]ἐστὶ μόνον τοῦθ' ὅπερ ἐστί, καὶ τοῦτο μόνον [m]ἀθάνατον καὶ ἀΐδιον. Οὐ [n]μνημονεύομεν δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐθὲν νοεῖ.

'Ἡ μὲν οὖν τῶν ἀδιαιρέτων νόησις ἐν τούτοις, περὶ ἃ οὐκ 6
ἔστι τὸ ψεῦδος· ἐν οἷς δὲ [o]καὶ τὸ [p]ψεῦδος καὶ τὸ ἀληθές, [q]σύνθεσίς [r]τις [s]ἤδη νοημάτων ὥσπερ ἓν ὄντων, καθάπερ 'Ἐμπεδοκλῆς ἔφη

ᾗ πολλῶν μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν,

ἔπειτα συντίθεσθαι τῇ φιλίᾳ. Οὕτω καὶ ταῦτα κεχωρισμένα 2
[t]συντίθεται, οἷον τὸ ἀσύμμετρον καὶ ἡ [v]διάμετρος. 'Ἂν δὲ [w]γινομένων ἢ ἐσομένων, [x]τὸν χρόνον [y]προσεννοῶν καὶ συντιθείς. Τὸ γὰρ ψεῦδος ἐν συνθέσει [z]ἀεί· καὶ γὰρ ἂν τὸ λευκὸν μὴ λευκόν, [a]τὸ μὴ λευκὸν συνέθηκεν. 'Ἐνδέχεται δὲ καὶ διαίρεσιν φάναι πάντα. 'Ἀλλ' οὖν ἔστι γε οὐ μόνον 3
[b]τὸ ψεῦδος ἢ ἀληθές, ὅτι λευκὸς Κλέων ἐστίν, ἀλλὰ καὶ ὅτι ἦν ἢ [c]ἔσται. Τὸ [d]δὲ ἓν ποιοῦν, τοῦτο ὁ νοῦς ἕκαστον. Τὸ δ' ἀδιαίρετον ἐπεὶ διχῶς, [e]ἢ δυνάμει ἢ ἐνεργείᾳ, οὐθὲν κωλύει νοεῖν τὸ ἀδιαίρετον, ὅταν νοῇ τὸ μῆκος· ἀδιαίρετον γὰρ ἐνεργείᾳ καὶ ἐν χρόνῳ ἀδιαιρέτῳ· ὁμοίως γὰρ ὁ χρόνος διαιρετὸς [f]καὶ ἀδιαίρετος τῷ μήκει. Οὔκουν ἔστιν εἰπεῖν ἐν τῷ ἡμίσει 4
τί [g]ἐννοεῖ ἑκατέρῳ· οὐ γάρ ἐστιν, ἂν μὴ διαιρεθῇ, ἀλλ' ἢ

[h] τὸ δ' αὐτό] αὐτὸ δ' S.T.U.V.W.X. [i] οὐ] οὐδὲ S.T.U.V.W.X. [k] οὐχ om. W. [l] ἐστι om. V, post μόνον ponit W. [m] ἀΐδιον καὶ ἀθάνατον W. [n] μνημονεύομεν—(c. 7. §. 10.) ἐκεῖνα desunt E, exciso inter folia 200. et 201. folio. [o] καὶ om. L. [p] ψ. ἤδη καὶ S.T.U. V.W.X. [q] σύνεσις L, συνθεμένων W. [r] τις] τε τις V, om. W. [s] ἤδη τῶν ν. W. [t] συντίθεσθαι S.T.V.W. [v] διάμετρος ἢ τὸ σύμμετρον καὶ ἡ διάμετρος. ἂν W. [w] γενομένων L.S.T.U. [x] τῶν χρόνων X. [y] πρὸς ἓν νοῶν L.X. [z] ἀεί om. X. [a] τὸ] καὶ τὸ T. [b] τὸ om. W. [c] ἔσται] ἐστί X. [d] δὴ U.X. [e] ἢ τὸ δ. S.U.X. [f] καὶ ἀδ.] καὶ οὐ διαιρετὸς T, om. X. et pr. W. [g] ἐνόει L, ἐννοεῖν T.U.W.

*δυνάμει. Χωρὶς δ' ἑκάτερον νοῶν* [h] *τῶν ἡμίσεων διαιρεῖ καὶ
τὸν χρόνον ἅμα·* [i] *τότε δ' οἱονεὶ* [k] *μήκη. Εἰ δ'* [l] *ὡς ἐξ ἀμ-
5 φοῖν, καὶ* [m] *ἐν τῷ* [n] *χρόνῳ τῷ ἐπ' ἀμφοῖν. Τὸ δὲ μὴ* [o] *κατὰ
ποσὸν ἀδιαίρετον ἀλλὰ τῷ εἴδει νοεῖ ἐν* [p] *ἀδιαιρέτῳ χρόνῳ
καὶ ἀδιαιρέτῳ τῆς* [q] *ψυχῆς· κατὰ συμβεβηκὸς δέ, καὶ οὐχ ᾗ
ἐκεῖνα διαιρετά, ᾧ νοεῖ καὶ ἐν ᾧ χρόνῳ, ἀλλ'* [r] *ᾗ ἀδιαίρετα·*
[s] *ἔνεστι γὰρ κἀν τούτοις τι ἀδιαίρετον, ἀλλ' ἴσως οὐ χωρι-
6 στόν, ὃ* [t] *ποιεῖ ἕνα τὸν χρόνον καὶ τὸ μῆκος. Καὶ τοῦθ'
ὁμοίως ἐν* [v] *ἅπαντί ἐστι τῷ συνεχεῖ καὶ χρόνῳ καὶ μήκει. Ἡ
δὲ στιγμὴ καὶ πᾶσα διαίρεσις, καὶ τὸ* [w] *οὕτως ἀδιαίρετον,
δηλοῦται ὥσπερ ἡ στέρησις. Καὶ* [x] *ὅμοιος ὁ λόγος ἐπὶ τῶν
ἄλλων, οἷον* [y] *πῶς τὸ κακὸν γνωρίζει ἢ τὸ μέλαν· τῷ ἐναντίῳ
γάρ πως γνωρίζει. Δεῖ δὲ δυνάμει εἶναι τὸ* [z] *γνωρίζον* [a] *καὶ
7 ἐνεῖναι* [b] *ἐν αὐτῷ. Εἰ δέ τινι μή ἐστιν ἐναντίον τῶν* [c] *αἰτίων,*
[d] *αὐτὸ ἑαυτὸ γινώσκει καὶ ἐνεργείᾳ ἐστὶ καὶ χωριστόν.
Ἔστι δ' ἡ μὲν φάσις* [e] *τι κατά τινος,* [f] *ὥσπερ ἡ κατάφασις,
καὶ ἀληθὴς* [g] *ἢ ψευδὴς πᾶσα· ὁ δὲ νοῦς οὐ πᾶς, ἀλλ' ὁ τοῦ
τί* [h] *ἐστι κατὰ τὸ τί ἦν εἶναι ἀληθής, καὶ οὐ* [i] *τὶ κατά τινος·
ἀλλ' ὥσπερ τὸ ὁρᾶν* [k] *τοῦ ἰδίου ἀληθές, εἰ δ' ἄνθρωπος τὸ
λευκὸν ἢ μή, οὐκ* [l] *ἀληθὲς ἀεί, οὕτως ἔχει* [m] *ὅσα* [n] *ἄνευ
ὕλης.*

7 *Τὸ* [o] *δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πρά-
γματι. Ἡ δὲ κατὰ δύναμιν χρόνῳ* [p] *προτέρα* [q] *ἐν τῷ ἑνί,
ὅλως δὲ οὐδὲ χρόνῳ· ἔστι γὰρ ἐξ ἐντελεχείᾳ ὄντος πάντα τὰ
γιγνόμενα. Φαίνεται δὲ τὸ μὲν* [r] *αἰσθητὸν* [s] *ἐκ δυνάμει ὄν-
τος τοῦ αἰσθητικοῦ ἐνεργείᾳ ποιοῦν· οὐ γὰρ πάσχει οὐδ'*

[h] *τῶν ἡμίσεων* ante *νοῶν* S.U, om. T.X. [i] *τόδε δ'* X. [k] *μήκει* S.T.V. [l] *ὡς* om. S. [m] *ἐν* om. T.V.W. [n] *χρ. τὸ* U. [o] *κατὰ τὸ π.* T.X. [p] *διαιρετῷ χρ.* X. [q] *ψυχῆς νοήσει κατὰ* T.V. [r] *ᾗ*] *ἣ* X. [s] *ἔνεστι γὰρ* om. X. [t] *ποιεῖ καὶ ἕνα* W. [v] *παντί* W. [w] *οὕτως*] *οὔτε* V. [x] *ὁμοίως* T. [y] *πῶς καὶ τὸ* W. [z] *γνωρίζειν* V. [a] *καὶ ἓν εἶναι* E.L.T. V.W.X. [b] *ἐν* om. W. [c] *αἰτίων*] *ἐναντίων* S. [d] *αὐτὸ αὐτῷ* S, *ᾧ τὸ αὐτὸ* W. [e] *τις* L. [f] *ὥσπερ καὶ ἡ* W. [g] *ἢ*] *καὶ* L. [h] *ἐστιν ἢ κατὰ* X. [i] *τι* post *οὐ* om. X. [k] *τοῦ ἰδίου*] *τὸ δι'* V. [l] *ἀληθὴς* X. [m] *ὅσα* om. W. [n] *ἄνευ τῆς ὕλης* V. [o] *αὐτὸ δ'* T.U.V.X. [p] *πυτέρα* U. [q] *ἕνι ᾧ ἕνι* T. [r] *αἰσθητήριον* S.V.X. [s] *ἐν* X.

ἀλλοιοῦται. Διὸ ἄλλο [t] εἶδος τοῦτο κινήσεως· ἡ γὰρ κί- 2
νησις τοῦ ἀτελοῦς [v] ἐνέργεια [w] ἦν, ἡ δ' ἁπλῶς ἐνέργεια ἑτέρα
[x] ἡ τοῦ τετελεσμένου. Τὸ μὲν οὖν αἰσθάνεσθαι ὅμοιον [y] τῷ
φάναι μόνον καὶ νοεῖν· ὅταν δὲ ἡδὺ ἢ λυπηρόν, οἷον κατα-
φᾶσα ἢ ἀποφᾶσα, διώκει ἢ φεύγει· καὶ ἔστι τὸ ἥδεσθαι [z] καὶ
λυπεῖσθαι τὸ ἐνεργεῖν τῇ αἰσθητικῇ μεσότητι πρὸς τὸ ἀγα-
θὸν [a] ἢ κακόν, [b] ᾗ τοιαῦτα. Καὶ ἡ φυγὴ [c] δὲ καὶ ἡ ὄρεξις 3
[d] τοῦτο [e] ἡ κατ' ἐνέργειαν, καὶ οὐχ ἕτερον [f] τὸ ὀρεκτικὸν [g] καὶ
φευκτικόν, οὔτ' ἀλλήλων οὔτε τοῦ αἰσθητικοῦ· ἀλλὰ τὸ εἶναι
ἄλλο. Τῇ [h] δὲ διανοητικῇ ψυχῇ τὰ φαντάσματα οἷον αἰ-
σθήματα ὑπάρχει. Ὅταν δὲ ἀγαθὸν ἢ κακὸν [i] φήσῃ ἢ ἀπο-
φήσῃ, [k] φεύγει ἢ διώκει. Διὸ οὐδέποτε νοεῖ ἄνευ φαντάσμα- 4
τος ἡ ψυχή, ὥσπερ δὲ ὁ ἀὴρ [l] τὴν κόρην τοιανδὶ ἐποίησεν,
[m] αὐτὴ δ' ἕτερον, καὶ [n] ἡ ἀκοὴ ὡσαύτως· τὸ δὲ ἔσχατον ἕν,
καὶ μία μεσότης· τὸ δ' εἶναι [o] αὐτῇ πλείω. Τίνι δ' ἐπικρίνει
[p] τί διαφέρει γλυκὺ καὶ θερμόν, εἴρηται μὲν [q] καὶ πρότερον,
λεκτέον δὲ καὶ [r] ὧδε. Ἔστι γὰρ ἕν τι, οὕτω δὲ [s] καὶ ὡς 5
ὅρος. Καὶ ταῦτα [t] ἓν τῷ ἀνάλογον [v] καὶ τῷ ἀριθμῷ ὂν ἔχει
πρὸς ἑκάτερον, ὡς ἐκεῖνα πρὸς ἄλληλα· τί γὰρ διαφέρει [w] τὸ
ἀπορεῖν [x] πῶς [y] τὰ ὁμογενῆ κρίνει ἢ [z] τἀναντία, οἷον λευκὸν
καὶ μέλαν; Ἔστω δὴ ὡς τὸ Α τὸ λευκὸν [a] πρὸς τὸ Β τὸ 6
μέλαν, τὸ Γ [b] πρὸς τὸ Δ ὡς ἐκεῖνα πρὸς ἄλληλα· [c] ὥστε καὶ
ἐναλλάξ. Εἰ δὴ [d] τὰ Γ Δ [e] ἑνὶ εἴη ὑπάρχοντα, οὕτως ἕξει

[t] εἶδος om. S.X, post τοῦτο ponunt T.U.V, post κινήσεως W. [v] ἐνεργείᾳ S. [w] ἦν om. L.S.U.V.X. [x] ἡ τοῦ] ἢ τοῦ X, τοῦ L. [y] τῷ] τὸ T.X. [z] καὶ λ.] ἢ λ. T.U.V.W. [a] ἢ κακὸν om. S. [b] ᾗ τοιοῦτο L, om. X. [c] δὴ S.U.W.X, om. T.V. [d] ταυτὸν T, τὸ αὐτὸ L.V. [e] ἡ om. V. [f] τὸ] τι V. [g] καὶ τὸ φ. L. [h] δὴ S. [i] φησὶν ἢ ἀπόφησι T.X, κατάφησιν ἢ ἀπόφησι U, κατάφασις ἢ ἀπόφασις W, ἐστι κατάφησιν ἢ ἀπόφησιν V, ἐστι καταφήσειν ἢ ἀποφήσειν corr. S. [k] φεύγει] καὶ φεύγει S.T.U.V.W.X. [l] τὴν κόρην om. X. [m] αὕτη L.S.T.X. [n] ἡ om. T. [o] αὐτῇ om. S.U.V.X. [p] τί] ᾗ T. [q] καὶ post μὲν om. W. [r] ὧδε] νῦν T.W. [s] καὶ ὡς] καὶ ὁ X, ἡ στιγμὴ καὶ ὁ T, om. cum ipso ὅρος L.V. S. incertus. [t] ἓν] ἐν L.S.V.X. [v] καὶ τῷ] ἢ τῷ L, ἢ U.V.W.X, om. S. [w] τὸ] τοδὶ W. [x] πῶς om. X. [y] τὰ μὴ ὁμ. L.S.U.X. [z] τὰ ἐναντία L.T.U.V. [a] πρὸς] καὶ S. [b] πρὸς] ἀέρος X. [c] ὥστε] οὕτως W. [d] τὰ om. X. [e] ἓν T.

ὥσπερ καὶ [f] τὰ Α Β, τὸ αὐτὸ μὲν [g] καὶ ἕν, τὸ [h] δ' εἶναι οὐ
τὸ αὐτό, κἀκεῖνο ὁμοίως. Ὁ δ' αὐτὸς λόγος [i] καὶ εἰ [k] τὸ
7 μὲν Α [l] τὸ γλυκὺ εἴη, τὸ δὲ Β [l] τὸ λευκόν. Τὰ μὲν οὖν εἴδη
τὸ νοητικὸν ἐν τοῖς φαντάσμασι νοεῖ, καὶ ὡς ἐν ἐκείνοις [m] ὥ-
ρισται αὐτῷ τὸ διωκτὸν καὶ φευκτόν, καὶ ἐκτὸς τῆς [n] αἰσθή-
σεως, ὅταν ἐπὶ τῶν φαντασμάτων ᾖ, [o] κινεῖται, οἷον αἰσθα-
νόμενος τὸν [p] φρυκτὸν ὅτι πῦρ, τῇ κοινῇ γνωρίζει, ὁρῶν κι-
8 νούμενον, ὅτι πολέμιος. Ὁτὲ δὲ τοῖς ἐν τῇ ψυχῇ φαντά-
σμασιν ἢ νοήμασιν ὥσπερ ὁρῶν λογίζεται καὶ [q] βουλεύεται
τὰ μέλλοντα πρὸς τὰ παρόντα· καὶ ὅταν εἴπῃ ὡς ἐκεῖ τὸ
[r] ἡδὺ ἢ λυπηρόν, ἐνταῦθα φεύγει ἢ διώκει, καὶ ὅλως ἐν πράξει.
Καὶ τὸ ἄνευ δὲ πράξεως, τὸ ἀληθὲς καὶ [s] τὸ ψεῦδος ἐν τῷ
αὐτῷ γένει ἐστί, τῷ ἀγαθῷ [t] καὶ κακῷ· ἀλλὰ [v] τῷ [w] γε
9 ἁπλῶς διαφέρει καὶ τινί. Τὰ δὲ [x] ἐν ἀφαιρέσει λεγόμενα
νοεῖ ὥσπερ [y] ἂν εἰ τὸ σιμόν, ᾗ μὲν [z] σιμόν, οὐ κεχωρισμένως,
[a] ᾗ δὲ κοῖλον, [b] εἴ τις [c] ἐνόει ἐνεργείᾳ, ἄνευ τῆς σαρκὸς ἂν
10 [d] ἐνόει [e] ἐν ᾗ τὸ κοῖλον. Οὕτω τὰ μαθηματικὰ οὐ [f] κεχωρι-
σμένα [g] ὡς κεχωρισμένα νοεῖ, [h] ὅταν νοῇ [i] ἐκεῖνα. Ὅλως δὲ
ὁ νοῦς ἐστιν ὁ κατ' ἐνέργειαν τὰ πράγματα [k] νοῶν. Ἆρα
δ' ἐνδέχεται τῶν κεχωρισμένων τι νοεῖν [l] ὄντα αὐτὸν μὴ κεχω-
ρισμένον μεγέθους, ἢ οὔ, σκεπτέον ὕστερον.

8 Νῦν δὲ περὶ ψυχῆς τὰ λεχθέντα συγκεφαλαιώσαντες, εἴπωμεν πάλιν ὅτι ἡ ψυχὴ τὰ ὄντα πώς [m] ἐστι πάντα. Ἢ [n] γὰρ αἰσθητὰ [o] τὰ ὄντα ἢ νοητά, ἔστι [p] δ' ἡ ἐπιστήμη μὲν

[f] τὰ] τὸ S.T.V. [g] καὶ ἕν om. S.U.V.X. [h] δ' ante εἶναι om. X. [i] καὶ] κἂν S.U.V.X. [k] μὲν τὸ S.U.V.W.X. [l] τὸ ante γλυκὺ et λευκόν om. W. [m] ὥριστο U.X. et corr. S. [n] αἰσθ. ὂν ὅταν S.T.U.V.X, αἰσθ. ὢν ὅταν W. [o] κινῆται X. [p] φευκτὸν T.U.V.W.X. [q] βούλεται S. [r] ἡδὺ ἢ τὸ λυπηρὸν L, λυπηρὸν ἢ ἡδὺ W. [s] τὸ om. L. [t] καὶ] καὶ τῷ L.U.X, ἢ τῷ W. [v] τό L.S.X. [w] γε om. S.W. [x] ἐν om. S.T.U.X. [y] ἂν om. S.V.X. [z] alterum σιμὸν om. L. σιμότης X. [a] ᾗ δὲ κ.] εἰ δὲ καμπύλον X. [b] εἴ τις] εἴ τι L, om. X. [c] ἐννοεῖ S, ἐννόει V. [d] ἐννοῇ X. [e] ἐν ᾗ om. S.U.V. [f] κεχωρισμένων X. [g] ὡς κεχ.] ὡσεὶ κεχ. T, τῇ ὑποστάσει L, τῇ ὑποστάσει ὡς κεχ. W. [h] ὅτε νοεῖ W. [i] ἐκεῖνο X. [k] νοῶν om. L.U. et pr. E. [l] αὐτὸν ὄντα S.V.W.X. [m] ἐστι τὰ πάντα X. [n] γὰρ om. L, ante ἢ ponit E. [o] τὰ om. X. [p] δ'] δὴ E.L.

*τὰ ἐπιστητά πως, ἡ δ' αἴσθησις τὰ αἰσθητά· πῶς δὲ τοῦτο,*
*[q] δεῖ ζητεῖν. [r] Τέμνεται οὖν ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις [s] εἰς* 2
*τὰ πράγματα, ἡ μὲν δυνάμει εἰς [t] τὰ δυνάμει, ἡ δ' ἐντελεχείᾳ*
*εἰς [v] τὰ ἐντελεχείᾳ. Τῆς δὲ ψυχῆς τὸ αἰσθητικὸν καὶ [w] τὸ*
*ἐπιστημονικὸν δυνάμει [x] ταὐτόν ἐστι, τὸ μὲν [y] ἐπιστητὸν τὸ*
*δὲ [z] αἰσθητόν. Ἀνάγκη δ' ἢ αὐτὰ [a] ἢ τὰ εἴδη [b] εἶναι. Αὐτὰ* 3
*μὲν [c] γὰρ δὴ οὔ· οὐ γὰρ [d] ὁ λίθος ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ εἶ-*
*δος· ὥστε ἡ ψυχὴ ὥσπερ ἡ χείρ ἐστιν· καὶ γὰρ ἡ χεὶρ ὄρ-*
*γανόν ἐστιν ὀργάνων, καὶ ὁ [e] νοῦς [f] εἶδος εἰδῶν καὶ ἡ αἴσθησις*
*εἶδος αἰσθητῶν. Ἐπεὶ δὲ οὐδὲ πρᾶγμα οὐθέν ἐστι παρὰ τὰ* 4
*[g] μεγέθη, ὡς δοκεῖ, τὰ αἰσθητὰ κεχωρισμένον, ἐν τοῖς εἴδεσι*
*τοῖς αἰσθητοῖς [h] τὰ νοητά ἐστι, τά τε [i] ἐν ἀφαιρέσει λεγό-*
*μενα, καὶ ὅσα τῶν αἰσθητῶν [k] ἕξεις καὶ πάθη. Καὶ διὰ* 5
*τοῦτο οὔτε μὴ [l] αἰσθανόμενος μηθὲν οὐθὲν ἂν μάθοι [m] οὐδὲ*
*[n] ξυνείη· ὅταν [o] τε θεωρῇ, ἀνάγκη [p] ἅμα [q] φάντασμά τι θεω-*
*ρεῖν· τὰ γὰρ φαντάσματα ὥσπερ αἰσθήματά ἐστι, πλὴν*
*ἄνευ ὕλης. Ἔστι δ' ἡ φαντασία ἕτερον φάσεως [r] καὶ ἀπο-* 6
*φάσεως· συμπλοκὴ γὰρ [s] νοημάτων ἐστὶ τὸ ἀληθὲς [t] ἢ ψεῦ-*
*δος. Τὰ δὲ πρῶτα νοήματα [v] τίνι διοίσει τοῦ μὴ [w] φαν-*
*τάσματα εἶναι; Ἢ οὐδὲ τἆλλα φαντάσματα, ἀλλ' οὐκ ἄνευ*
*φαντασμάτων.*

*Ἐπεὶ δὲ ἡ ψυχὴ κατὰ δύο ὥρισται δυνάμεις [x] ἡ τῶν ζῴων,* 9
*τῷ τε κριτικῷ, ὃ διανοίας ἔργον ἐστὶ καὶ αἰσθήσεως, καὶ ἔτι τῷ κινεῖν τὴν κατὰ τόπον κίνησιν, περὶ μὲν αἰσθήσεως καὶ νοῦ διωρίσθω τοσαῦτα, περὶ δὲ τοῦ κινοῦντος, τί ποτέ ἐστι*

[q] *ζητεῖν δεῖ* U. [r] verbi *τέμνεται* litteras *εται* corr. E. [s] *εἰς* om. E.L. [t] *τὰ δυνάμει*] *δυνάμεις* L. et pr. E. [v] *τὰ ἐντ.*] *ἐντελεχείας* L. et pr. E, *τὰς ἐντελεχείας* S.X. [w] *τὸ* om. E.L.S.U.V.X. [x] *ταῦτα* S.T.U.V.W.X. [y] *ἐπιστημονικὸν* S.U.V. [z] *αἰσθητικὸν* S. [a] *ἢ* ante *τὰ* om. X. [b] *εἶναι*] *ἐστίν* X. [c] *γὰρ* ante *δὴ* om. L.V.W. et pr. E. [d] *ὁ* om. E.L. [e] *νοῦς*] *νοῦς ἐστὶν* S.V, *νοῦς δὲ* T.W. [f] *εἶδος* om. E. [g] *μεγέθει* S. [h] *τὸ νοητόν* X. [i] *ἐν* om. E.L.S.U.V. [k] *ἕξις* X. [l] *αἰσθανόμενον* L. [m] *οὐδὲ*] *οὐδ' ἂν* W. [n] *ξυνίῃ* L.S.X, *ξυνίοι* E.T.U.V.W.X. [o] *δὲ* T.U.V. [p] *ἅμα*] *ἆρα* U.X. [q] *φαντάσματα θ.* S.V.W.X. [r] *καὶ ἀποφάσεως* om. S.U.V. *ἢ ἀποφάσεως* margo W. [s] *ἐστι νοημάτων* S.U.V. [t] *ἢ τὸ ψ.* W. [v] *τί* S.T.U.V.W.X. [w] *φάντασμα* E. [x] *ἡ* ante *τῶν* om. E.L.

τῆς ψυχῆς, σκεπτέον, πότερον ἕν τι μόριον [y] αὐτῆς χωριστὸν
ὂν [z] ἢ μεγέθει ἢ λόγῳ, ἢ πᾶσα ἡ ψυχή, κἂν εἰ μόριόν τι,
πότερον ἴδιόν τι παρὰ τὰ εἰωθότα λέγεσθαι καὶ τὰ εἰρημένα,
2 ἢ τούτων ἕν τι. Ἔχει δὲ ἀπορίαν εὐθὺς πῶς [a] τε δεῖ μόρια
3 [b] λέγειν τῆς ψυχῆς καὶ πόσα. Τρόπον γάρ τινα ἄπειρα
φαίνεται, καὶ οὐ μόνον ἅ τινες [c] λέγουσι διορίζοντες, λογι-
στικὸν καὶ θυμικὸν καὶ ἐπιθυμητικόν, οἱ δὲ τὸ λόγον ἔχον
καὶ [d] τὸ ἄλογον· κατὰ γὰρ τὰς διαφορὰς δι' ἃς [e] ταῦτα χω-
ρίζουσι, καὶ ἄλλα [f] φανεῖται μόρια μείζω διάστασιν ἔχοντα
τούτων, περὶ ὧν [g] καὶ νῦν εἴρηται, τό [h] τε θρεπτικόν, [i] ὃ καὶ
τοῖς φυτοῖς ὑπάρχει καὶ πᾶσι τοῖς ζῴοις, καὶ [k] τὸ αἰσθητι-
κόν, [l] ὃ οὔτε ὡς ἄλογον οὔτε ὡς λόγον ἔχον [m] θείη ἄν τις
4 ῥᾳδίως. Ἔτι δὲ τὸ φανταστικόν, [n] ὃ [o] τῷ μὲν εἶναι πάντων
ἕτερον, τινὶ δὲ τούτων [p] ταὐτὸν ἢ ἕτερον, ἔχει πολλὴν ἀπο-
ρίαν, εἴ τις θήσει κεχωρισμένα μόρια τῆς ψυχῆς. Πρὸς δὲ
τούτοις τὸ [q] ὀρεκτικόν, ὃ καὶ λόγῳ καὶ δυνάμει ἕτερον ἂν
5 δόξειεν εἶναι [r] πάντων. [s] Καὶ ἄτοπον [t] δὴ [v] τοῦτο διασπᾶν·
ἔν τε τῷ λογιστικῷ γὰρ ἡ βούλησις γίνεται, καὶ ἐν τῷ [w] ἀλό-
γῳ ἡ ἐπιθυμία καὶ ὁ θυμός· εἰ δὲ τρία ἡ ψυχή, ἐν ἑκάστῳ
6 [x] ἔσται ὄρεξις. Καὶ δὴ καὶ περὶ οὗ [y] νῦν ὁ λόγος ἐνέστηκε,
τί τὸ κινοῦν κατὰ τόπον τὸ ζῷόν ἐστιν; Τὴν μὲν γὰρ κατ'
αὔξησιν καὶ φθίσιν κίνησιν, [z] ἅπασιν ὑπάρχουσαν, τὸ πᾶσιν
ὑπάρχον δόξειεν ἂν κινεῖν τὸ γεννητικὸν [a] καὶ θρεπτικόν·
περὶ δὲ ἀναπνοῆς καὶ ἐκπνοῆς [b] καὶ ὕπνου καὶ ἐγρηγόρσεως
ὕστερον ἐπισκεπτέον· ἔχει γὰρ καὶ ταῦτα πολλὴν ἀπορίαν.
7 Ἀλλὰ περὶ τῆς κατὰ τόπον κινήσεως, [c] τί τὸ κινοῦν τὸ ζῷον

[y] χωριστὸν αὐτῆς W. [z] ἢ post ὂν om. S.U.W. [a] τε] ποτε W, om. L. [b] λέγειν ψυχῆς X, ψυχῆς λέγειν S.T.U.V.W. [c] λέγοντες διορίζονται X. [d] τὸ post καὶ om. W. [e] ταύτας E.L. [f] φαίνεται T.U.W.X, φαίνονται L.S.V. [g] καὶ] γε W. [h] τε om. S.T.U.V.W.X. [i] ὃ om. S.U.V. [k] τὸ om. X. [l] ὃ om. U.V. [m] θῇ X. [n] ὃ om. E. [o] τῷ] τὸ E.L. [p] ταυτόν ἐστιν ἢ W. [q] ὀρεκτὸν X. [r] πάντων om. W. [s] καὶ om. T.U.V.W. [t] δὲ T.V, δὲ τὸ W, δὴ τὸ E. [v] τοῦτο φάναι διασπᾶν V.W. [w] ἀλόγῳ δὲ ἡ W. [x] ἔστιν X. [y] ὁ λόγος νῦν W. [z] ἅπασιν ὑπάρχουσαν] ἡ πᾶσιν ὑπάρχουσα W, αἱ πᾶσιν ὑπάρχουσι L.S.T.U.V.X. [a] καὶ θρεπτικόν om. E.L. [b] καὶ ante ὕπνου om. E. [c] τί om. E.

τὴν πορευτικὴν κίνησιν, [d] σκεπτέον. Ὅτι μὲν οὖν οὐχ ἡ
θρεπτικὴ δύναμις, δῆλον· ἀεί [e] τε γὰρ ἕνεκά του ἡ κίνησις
αὕτη, καὶ [f] ἢ μετὰ φαντασίας ἢ ὀρέξεώς ἐστιν· οὐθὲν γὰρ μὴ
ὀρεγόμενον ἢ φεῦγον κινεῖται ἀλλ' ἢ βίᾳ. Ἔτι [g] κἂν τὰ 8
φυτὰ κινητικὰ ἦν, κἂν εἶχέ τι μόριον ὀργανικὸν πρὸς τὴν
κίνησιν ταύτην. Ὁμοίως [h] δὲ οὐδὲ τὸ αἰσθητικόν· πολλὰ
γάρ ἐστι τῶν ζῴων ἃ αἴσθησιν μὲν ἔχει, μόνιμα [i] δ' ἐστὶ καὶ
ἀκίνητα διὰ τέλους. [k] Εἰ οὖν [l] ἡ φύσις μήτε ποιεῖ μάτην 9
μηθὲν μήτε ἀπολείπει [m] τι τῶν ἀναγκαίων, πλὴν [n] ἐν τοῖς
πηρώμασι καὶ [o] ἐν τοῖς ἀτελέσιν· τὰ δὲ τοιαῦτα τῶν ζῴων
τέλεια καὶ οὐ πηρώματά ἐστιν· σημεῖον δ' ὅτι [p] ἔστι γεννη-
τικὰ καὶ ἀκμὴν ἔχει καὶ [q] φθίσιν· ὥστ' εἶχεν ἂν καὶ τὰ ὀρ-
γανικὰ μέρη τῆς πορείας. Ἀλλὰ μὴν οὐδὲ τὸ [r] λογιστικὸν 10
καὶ ὁ καλούμενος νοῦς [s] ἐστὶν ὁ [t] κινῶν· ὁ μὲν γὰρ θεωρητικὸς
οὐθὲν [v] νοεῖ [w] πρακτόν, οὐδὲ λέγει περὶ [x] φευκτοῦ καὶ διωκτοῦ
οὐθέν, [y] ἡ δὲ κίνησις ἢ φεύγοντός [z] τι ἢ διώκοντός τί ἐστιν.
Ἀλλ' [a] οὐδ' ὅταν θεωρῇ τι τοιοῦτον, ἤδη [b] κελεύει [c] φεύγειν 11
ἢ διώκειν, οἷον πολλάκις διανοεῖται [d] φοβερόν τι ἢ ἡδύ, οὐ
κελεύει δὲ φοβεῖσθαι, ἡ [e] δὲ καρδία κινεῖται, ἂν δ' ἡδύ, ἕτερόν
τι μόριον. Ἔτι καὶ ἐπιτάττοντος τοῦ νοῦ καὶ λεγούσης
τῆς διανοίας φεύγειν τι ἢ διώκειν οὐ κινεῖται, ἀλλὰ κατὰ τὴν
ἐπιθυμίαν πράττει, οἷον [f] ὁ [g] ἀκρατής. Καὶ ὅλως δὲ ὁρῶμεν 12
ὅτι [h] ὁ ἔχων [i] τὴν ἰατρικὴν οὐκ ἰᾶται, ὡς ἑτέρου τινὸς κυρίου
ὄντος τοῦ ποιεῖν κατὰ τὴν ἐπιστήμην, ἀλλ' [k] οὐ τῆς ἐπιστή-
μης. Ἀλλὰ μὴν οὐδ' ἡ ὄρεξις ταύτης κυρία τῆς κινήσεως·

[d] σκεπτέον. ἔχει γὰρ καὶ ταῦτα πολλὴν ἀπορίαν. ὅτι V. [e] τε om. L.S.U.V.W.X. [f] ἢ post καὶ om. S.W. [g] κἂν] καὶ S.U.X. [h] δὴ X. [i] δὲ καὶ ἀκ. διατελεῖ W. [k] εἰ] ἡ L. [l] ἡ φύσις μήποτε ποιεῖ μάτην μηδὲν X, ἡ φύσις μήτε μηδὲν ποιεῖ μάτην V, μηδέν τι ἡ φύσις μάτην ποιεῖ W, μήτε μηδὲν ἡ φύσις ποιεῖ μάτην S. [m] τι om. L.S.T.U.W.X. [n] ἐν om. X. [o] ἐν om. L.T.V. [p] ἔστι om. L S.T.U.V.W.X. [q] φύσιν V. [r] λογ.] νοητικὸν L. [s] ἐστὶν om. W. [t] κινῶν] ἐκείνων pr. E. [v] νοεῖ] θεωρεῖ E.L. [w] πρακτικὸν T. [x] διωκτοῦ καὶ φευκτοῦ U. [y] ἡ δὲ] εἰ δὲ E, ἀεὶ δὲ ἡ S.T.U.V.X. [z] τι ante ἢ om. E. [a] οὐχ W. [b] κελεύη X. [c] διώκειν ἢ φεύγειν E.L. [d] τι φοβερὸν T.U.V. [e] καρδία δὲ L. [f] ὁ om. S.T.U.X. [g] ἀκρατεῖς W, ἀκροατὴς T.X. [h] ὁ om. L. [i] τὴν om. T.W. [k] οὐ μόνης τῆς W.

οἱ γὰρ ἐγκρατεῖς ὀρεγόμενοι καὶ ἐπιθυμοῦντες οὐ πράττουσιν ὧν ἔχουσι τὴν ὄρεξιν, ἀλλ' ἀκολουθοῦσι τῷ νῷ.

Φαίνεται [l] δέ γε [m] δύο ταῦτα κινοῦντα, ἢ ὄρεξις [n] ἢ νοῦς, εἴ τις τὴν φαντασίαν [o] τιθείη ὡς νόησίν τινα· πολλὰ γὰρ [p] παρὰ τὴν ἐπιστήμην ἀκολουθοῦσι [q] ταῖς φαντασίαις, καὶ ἐν τοῖς [r] ἄλλοις ζῴοις [s] οὐ νόησις [t] οὐδὲ λογισμός ἐστιν, ἀλλὰ
2 φαντασία. Ἄμφω ἄρα ταῦτα κινητικὰ [v] κατὰ τόπον, νοῦς καὶ ὄρεξις. Νοῦς [w] δὲ ὁ ἕνεκά του λογιζόμενος καὶ ὁ πρακτικός· διαφέρει δὲ τοῦ [x] θεωρητικοῦ τῷ τέλει. Καὶ ἡ ὄρεξις ἕνεκά του πᾶσα· [y] οὗ γὰρ ἡ ὄρεξις, [z] αὕτη ἀρχὴ τοῦ πρακτι-
3 κοῦ νοῦ· τὸ δ' ἔσχατον ἀρχὴ τῆς πράξεως. Ὥστε εὐλόγως [a] ταῦτα δύο φαίνεται [b] τὰ κινοῦντα, ὄρεξις καὶ [c] διάνοια πρακτική· τὸ [d] ὀρεκτὸν γὰρ κινεῖ, καὶ διὰ τοῦτο ἡ διάνοια κινεῖ, ὅτι ἀρχὴ [e] αὐτῆς ἐστὶ τὸ [f] ὀρεκτόν. Καὶ [g] ἡ φαντασία δὲ ὅταν κινῇ οὐ [h] κινεῖ ἄνευ ὀρέξεως. Ἓν δή [i] τι τὸ κινοῦν [k] τὸ [l] ὀρεκτόν. Εἰ γὰρ δύο, νοῦς καὶ ὄρεξις, [m] ἐκίνουν, κατὰ
4 κοινὸν ἄν τι [n] ἐκίνουν εἶδος. Νῦν δὲ ὁ μὲν νοῦς οὐ φαίνεται κινῶν ἄνευ ὀρέξεως· ἡ γὰρ βούλησις ὄρεξις· ὅταν δὲ κατὰ τὸν λογισμὸν κινῆται, καὶ κατὰ βούλησιν κινεῖται. Ἡ δ' ὄρεξις κινεῖ [o] παρὰ τὸν λογισμόν· ἡ γὰρ ἐπιθυμία ὄρεξίς τις ἐστίν. Νοῦς μὲν [p] οὖν πᾶς [q] ὀρθός· ὄρεξις δὲ καὶ φαντασία
5 καὶ ὀρθὴ καὶ οὐκ ὀρθή. [r] Διὸ ἀεὶ [s] κινεῖ μὲν τὸ [t] ὀρεκτόν, ἀλλὰ τοῦτ' ἐστὶν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαινόμενον ἀγαθόν. Οὐ πᾶν δέ, ἀλλὰ τὸ [v] πρακτὸν ἀγαθόν. Πρακτὸν δ' ἐστὶ τὸ ἐνδεχόμενον καὶ ἄλλως ἔχειν. Ὅτι μὲν οὖν ἡ τοιαύτη

[l] δέ om. S. [m] ταῦτα δύο E.L. [n] ἢ ὁ νοῦς U. [o] θείη W. [p] περὶ W. [q] ταῖς] ἐν ταῖς L. [r] ἄλλοις] ἀλόγοις W. [s] οὐ] οὐχ ἡ L, ἡ S.T.V.X. [t] οὐδὲ] οὐ T.V.X. et pr. E. [v] νοῦς καὶ ὄρεξις κατὰ τόπον S.V. [w] δὲ ὁ corr. E. [x] θεωρικοῦ E. [y] οὗ] οὐ L. [z] αὐτὴ X. [a] δύο ταῦτα S.T.U.V.X. [b] τὰ om. E. [c] δ. ἡ πρ. T.X. [d] ὀρεκτὸν E: ceteri ὀρεκτικόν. [e] ἐστὶν αὐτῆς X. [f] ὀρεκτὸν E.L: ceteri ὀρεκτικόν. [g] ἡ om. S.U. [h] κινεῖ om. pr. E. [i] τι τοίνυν τὸ W. [k] τὸ] κατὰ τὸ L.W. [l] ὀρεκτικὸν S.T.U.V.X. [m] ἐκίνει X. [n] εἶδος ἐκίνουν S.U.V.W.X. [o] περὶ W. [p] οὖν] γὰρ W. [q] ὀρθός ἐστιν· ὄρεξις S.T.U.V.W.X. [r] διὸ καὶ ἀεὶ W. [s] μὲν κινεῖ S.T.U.V.W.X. [t] ὀρεκτικὸν X. [v] πρακτικὸν ἀγ. L.

δύναμις [w]κινεῖ τῆς ψυχῆς ἡ καλουμένη ὄρεξις, φανερόν. Τοῖς 6
δὲ διαιροῦσι τὰ μέρη τῆς ψυχῆς, ἐὰν κατὰ τὰς δυνάμεις δι-
αιρῶσι καὶ χωρίζωσι, πάμπολλα γίνεται, θρεπτικόν, [x]αἰ-
σθητικόν, νοητικόν, βουλευτικόν, [y]ἔτι [z]ὀρεκτικόν· ταῦτα γὰρ
[a]πλέον διαφέρει ἀλλήλων ἢ [b]τὸ ἐπιθυμητικὸν καὶ θυμικόν.
Ἐπεὶ [c]δ' ὀρέξεις [d]γίνονται ἐναντίαι ἀλλήλαις, τοῦτο δὲ συμ- 7
βαίνει [e]ὅταν ὁ λόγος καὶ ἡ ἐπιθυμία ἐναντίαι ὦσι, [f]γίνεται
δ' ἐν τοῖς χρόνου αἴσθησιν ἔχουσιν (ὁ μὲν γὰρ νοῦς διὰ τὸ
[g]μέλλον ἀνθέλκειν κελεύει, ἡ δ' ἐπιθυμία διὰ τὸ ἤδη· φαίνε-
ται γὰρ τὸ [h]ἤδη ἡδὺ [i]καὶ ἁπλῶς ἡδὺ καὶ ἀγαθὸν ἁπλῶς,
διὰ τὸ μὴ ὁρᾶν τὸ μέλλον), εἴδει [k]μὲν [l]ἓν ἂν εἴη τὸ [m]κινοῦν
τὸ ὀρεκτικόν, [n]ᾗ [o]ὀρεκτικόν, πρῶτον δὲ πάντων τὸ ὀρεκτόν
(τοῦτο γὰρ κινεῖ οὐ κινούμενον τῷ νοηθῆναι ἢ φαντασθῆναι),
ἀριθμῷ δὲ πλείω τὰ κινοῦντα. [p]Ἐπειδὴ δ' ἐστὶ τρία, ἓν 8
[q]μὲν τὸ κινοῦν, δεύτερον δ' ᾧ κινεῖ, [r]τρίτον τὸ κινούμενον·
τὸ δὲ κινοῦν διττόν, τὸ μὲν [s]ἀκίνητον, τὸ δὲ [t]κινοῦν καὶ κι-
νούμενον· ἔστι δὲ τὸ μὲν ἀκίνητον τὸ πρακτὸν ἀγαθόν, τὸ δὲ
κινοῦν καὶ κινούμενον [v]τὸ ὀρεκτικόν (κινεῖται γὰρ τὸ [w]κινού-
μενον ᾗ ὀρέγεται, καὶ [x]ἡ [y]κίνησις ὄρεξίς [z]τίς ἐστιν [a]ᾗ ἐνέρ-
γεια), τὸ δὲ κινούμενον τὸ ζῷον· ᾧ δὲ κινεῖ ὀργάνῳ [b]ἡ ὄρεξις,
ἤδη τοῦτο σωματικόν ἐστιν· διὸ ἐν τοῖς κοινοῖς σώματος καὶ
ψυχῆς ἔργοις θεωρητέον περὶ [c]αὐτοῦ. Νῦν δὲ ὡς [d]ἐν κεφα- 9
λαίῳ εἰπεῖν τὸ κινοῦν ὀργανικῶς, [e]ὅπου ἀρχὴ καὶ τελευτὴ τὸ
αὐτό, οἷον ὁ [f]γιγγλυμός· ἐνταῦθα γὰρ τὸ κυρτὸν [g]καὶ κοῖ-
λον τὸ μὲν τελευτὴ τὸ δ' ἀρχή· διὸ τὸ μὲν ἠρεμεῖ τὸ δὲ

[w] κινεῖ] κοινὴ W. [x] αἰσθ. ὀρεκτικὸν νοητ. X. [y] ἔτι] ἔτι δὲ S.T.U. V.W.X. [z] ὀρεκτόν X. [a] πλεῖον L.S.U, πλείω T.V.W.X. [b] τὸ om. L. [c] δὲ αἱ ὀρέξεις U. [d] γιν. καὶ ἐν. S.U.V. [e] ὅτε λόγος καὶ αἱ ἐπιθυμίαι E.W. [f] γίγνονται L. [g] μελλειν X. [h] ἤδη om. E. [i] καὶ ἁπλῶς ἡδύ om. W. [k] μὲν] μὲν οὖν T.V.X, μὲν ὃ W. [l] ἂν εἴη ἓν S.U.W. [m] κινεῖ S. [n] ᾗ] ᾗ τὸ S. [o] ὀρεκτικόν S.W. [p] ἐπεὶ E. [q] μὲν οὖν τὸ S. [r] τρίτον] ἔτι τρίτον L.S, καὶ ἔτι τρίτον T.X. [s] κινητὸν L. [t] κινεῖ S. κινοῦν καὶ om. E. [v] τὸ post κιν. om. E.L.S.U.V. [w] κινούμενον] ὀρεγόμενον T.X. [x] ἡ om. X. [y] ὄρεξις κίνησις S.T.U. V.W.X. [z] τις om. T.W.X. [a] ἡ E, ᾗ U. [b] ἡ om. S.V. [c] αὐτῶν L.U.V.W. [d] ἐν om. W. [e] ὅπου ἂν ἀρχὴ E.W. [f] γινγλυμός E, γιγλυμός X, γιγλυσμός S.T.V, γιγγλισμός U.W.X. [g] καὶ τὸ κοῖλον X.

κινεῖται, λόγῳ μὲν ἕτερα ὄντα, μεγέθει δ' ἀχώριστα· πάντα
10 γὰρ ὤσει καὶ ἕλξει κινεῖται. Διὸ δεῖ ὥσπερ ἐν κύκλῳ μένειν τι, καὶ ἐντεῦθεν ἄρχεσθαι τὴν κίνησιν. Ὅλως μὲν οὖν, ὥσ[h]περ εἴρηται, ᾗ ὀρεκτικὸν τὸ ζῷον, ταύτῃ [i]αὑτοῦ κινητικόν· ὀρεκτικὸν δὲ οὐκ ἄνευ φαντασίας· φαντασία δὲ πᾶσα ἢ λογιστικὴ ἢ αἰσθητική. Ταύτης μὲν οὖν καὶ τὰ ἄλλα ζῷα μετέχει.

11 Σκεπτέον δὲ [k]καὶ περὶ τῶν [l]ἀτελῶν, τί τὸ κινοῦν [m]ἐστίν, οἷς ἁφὴ μόνον ὑπάρχει [n]αἴσθησις, πότερον ἐνδέχεται φαντασίαν ὑπάρχειν τούτοις, ἢ οὔ, καὶ ἐπιθυμίαν. Φαίνεται γὰρ λύπη καὶ ἡδονὴ [o]ἐνοῦσα. Εἰ δὲ ταῦτα, καὶ ἐπιθυμίαν ἀνάγκη. Φαντασία δὲ πῶς ἂν [p]ἐνείη; [q]Ἢ ὥσπερ καὶ κινεῖται [r]ἀορί-
2 στως, [s]καὶ [t]ταῦτ' ἔνεστι μέν, ἀορίστως δ' ἔνεστιν. Ἡ μὲν οὖν αἰσθητικὴ φαντασία, ὥσπερ εἴρηται, καὶ ἐν τοῖς [v]ἄλλοις ζῴοις ὑπάρχει, ἡ δὲ βουλευτικὴ ἐν τοῖς [w]λογιστικοῖς· πότερον [x]γὰρ πράξει τόδε ἢ τόδε, λογισμοῦ [y]ἤδη ἐστὶν ἔργον· καὶ [z]ἀνάγκη ἑνὶ μετρεῖν· τὸ μεῖζον γὰρ διώκει. Ὥστε δύ-
3 ναται ἓν ἐκ [a]πλειόνων φαντασμάτων ποιεῖν. Καὶ αἴτιον τοῦτο τοῦ δόξαν μὴ δοκεῖν ἔχειν, ὅτι τὴν ἐκ συλλογισμοῦ οὐκ ἔχει, αὕτη δὲ ἐκείνην. Διὸ τὸ βουλευτικὸν οὐκ ἔχει ἡ ὄρεξις. Νικᾷ δ' ἐνίοτε καὶ κινεῖ [b]τὴν βούλησιν· ὁτὲ δ' ἐκείνη ταύτην, ὥσπερ σφαῖρα, ἡ ὄρεξις τὴν ὄρεξιν, ὅταν ἀκρασία [c]γένηται. Φύσει δὲ ἀεὶ ἡ ἄνω ἀρχικωτέρα καὶ κινεῖ, [d]ὥστε τρεῖς φορὰς ἤδη κινεῖσθαι. Τὸ δ' ἐπιστημονικὸν οὐ
4 [e]κινεῖται, ἀλλὰ μένει. Ἐπεὶ δ' ἡ μὲν καθόλου ὑπόληψις καὶ λόγος, ἡ δὲ τοῦ καθ' [f]ἕκαστα (ἡ μὲν γὰρ λέγει [g]ὅτι δεῖ τὸν τοιοῦτον τὸ τοιόνδε πράττειν, ἡ δὲ ὅτι τόδε [h]τὸ νῦν

[h] περ om. X. [i] ἑαυτοῦ V, δ' αὐτοῦ E.L. [k] καὶ om. E. [l] ἀτελῶν] ἄλλων L. [m] ἐστίν om. W. [n] αἰσθ.] ἡ αἴσθησις E, ᾗ αἴσθησις L. [o] ἔχουσα E. [p] εἴη L.S.U.V.W. [q] ἢ om. E.S. [r] ἀόριστος L.T.U.V.W.X. [s] καὶ] ἡ W. καὶ—ἀορίστως om. S.V. [t] ταῦτ'] τούτοις L.X, ταύτας vel ταύταις E. [v] ἀλόγοις T.W. [w] λογικοῖς W.X. [x] γὰρ] δὲ W. [y] ἐστιν ἤδη L. [z] ἀνάγκη ἀεὶ μετρεῖν ἑνί W. [a] πλεόνων E. [b] τὴν βούλησιν om. S.V.W. [c] γένηται] ἐνῇ E.L. [d] ὡς S.V. [e] κινεῖ T.W.X. [f] ἕκαστον E. [g] ὅτι τοῦτον δεῖ τὸ S, ὅτι δεῖ τοῦτον τὸ U. δεῖ—τὸ om. X. [h] τὸ om. X, τὸ νῦν om. L.S.T.U.V.W.

τοιόνδε, [i]κἀγὼ δὲ τοιόσδε) ἤδη αὕτη κινεῖ ἡ δόξα, [k]οὐχ ἡ
καθόλου. Ἢ ἄμφω, ἀλλ' ἡ μὲν ἠρεμοῦσα μᾶλλον, ἡ δ' οὔ.

Τὴν μὲν οὖν θρεπτικὴν ψυχὴν ἀνάγκη πᾶν ἔχειν [l]ὅτι 12
περ ἂν ζῇ καὶ ψυχὴν [m]ἔχῃ [n]ἀπὸ γενέσεως [o]μέχρι φθορᾶς·
ἀνάγκη γὰρ τὸ γενόμενον αὔξησιν ἔχειν καὶ ἀκμὴν καὶ φθί-
σιν, ταῦτα δ' ἄνευ τροφῆς ἀδύνατον· ἀνάγκη ἄρα [p]ἐνεῖναι
τὴν θρεπτικὴν δύναμιν ἐν πᾶσι τοῖς φυομένοις καὶ φθίνουσιν.
Αἴσθησιν δ' οὐκ ἀναγκαῖον ἐν ἅπασι τοῖς ζῶσιν· οὔτε γὰρ 2
[q]ὅσων τὸ σῶμα ἁπλοῦν, [r]ἐνδέχεται ἁφὴν ἔχειν, οὔτε ἄνευ
ταύτης [s]οἷόν τε οὐθὲν εἶναι ζῷον· οὔτε [t]ὅσα μὴ δεκτικὰ τῶν
εἰδῶν ἄνευ τῆς ὕλης. Τὸ δὲ ζῷον ἀναγκαῖον [v]αἴσθησιν ἔχειν,
εἰ [w]μηθὲν μάτην ποιεῖ ἡ φύσις. Ἕνεκά του γὰρ [x]πάντα
ὑπάρχει τὰ φύσει, ἢ συμπτώματα ἔσται τῶν ἕνεκά του. Εἰ 3
οὖν πᾶν σῶμα πορευτικὸν μὴ ἔχον αἴσθησιν, φθείροιτο ἂν
καὶ εἰς τέλος οὐκ ἂν ἔλθοι, ὅ ἐστι φύσεως ἔργον· πῶς γὰρ
θρέψεται; Τοῖς μὲν γὰρ μονίμοις ὑπάρχει [y]τὸ [z]ὅθεν πεφύ-
κασιν· οὐχ οἷόν τε δὲ σῶμα ἔχειν [a]μὲν ψυχὴν καὶ νοῦν κρι-
τικόν, αἴσθησιν δὲ μὴ ἔχειν, μὴ [b]μόνιμον ὄν, γεννητὸν δέ.
ˈἈλλὰ μὴν οὐδὲ ἀγέννητον· διὰ τί [c]γὰρ ἕξει; Ἢ γὰρ τῇ 4
ψυχῇ βέλτιον ἢ τῷ σώματι. Νῦν [d]δ' οὐδέτερον· ἡ μὲν γὰρ
οὐ μᾶλλον νοήσει, [e]τὸ δ' οὐθὲν ἔσται μᾶλλον δι' ἐκεῖνο.
Οὐθὲν ἄρα ἔχει ψυχὴν σῶμα μὴ μόνιμον ἄνευ αἰσθήσεως.
ˈἈλλὰ μὴν εἴγε αἴσθησιν [f]ἔχει, [g]ἀνάγκη τὸ σῶμα [h]εἶναι ἢ
ἁπλοῦν ἢ μικτόν. Οὐχ οἷόν τε δὲ ἁπλοῦν· ἁφὴν γὰρ οὐχ 5
ἕξει, ἔστι δὲ ἀνάγκη ταύτην [i]ἔχειν. Τοῦτο δὲ ἐκ τῶνδε δῆλον.
[k]ˈἘπεὶ γὰρ τὸ ζῷον σῶμα ἔμψυχόν ἐστι, σῶμα δὲ ἅπαν
ἁπτόν, ἁπτὸν δὲ τὸ αἰσθητὸν ἁφῇ, ἀνάγκη καὶ τὸ τοῦ ζῴου

[i] κάτω L. [k] οὐχὶ κ. S. [l] ὅπερ W. [m] ἔχει E.L.S.T.U.V.W. [n] ἀπὸ γενέσεως om. W. [o] μέχρι] καὶ μέχρι E.L.W, ἕως X, καὶ S. [p] ἓν εἶναι L. [q] ὅσων] ὧν E.L, ὃν X. [r] ἁφὴν ἐνδέχεται S.U.V. [s] οὐθὲν οἷόν τε L.T.W. [t] ὅσα μὴ] δὲ ὅσα μὴ T, μηδ' ὅσα X, ὅσα μηδὲ V. [v] ἔχειν αἴσθησιν W. [w] μη-] exit E. [x] ἅπαντα L.T.V.X. [y] τὸ] ταῦτα W, τοῦτο S.T.U.V.X. [z] ὅθι U, ὅτι S.V.X. [a] μὲν τὴν ψ. L. [b] μόνιμον ὄν] μόνον S.V. [c] γὰρ οὐχ ἕχει T.U.V.W. [d] δ' om. S. [e] τὸ] τῷ L.W. [f] ἔχοι L, om. S.U.V. [g] ἀναγκαῖον W. [h] εἶναι post μικτόν W. [i] ἔχειν] εἶναι T. [k] ἐπειδὴ T.

6 σῶμα ἁπτικὸν εἶναι, εἰ [l] μέλλει σώζεσθαι τὸ ζῷον. Αἱ γὰρ
ἄλλαι αἰσθήσεις δι' ἑτέρων αἰσθάνονται, οἷον ὄσφρησις ὄψις
ἀκοή· ἁπτόμενον δέ, εἰ μὴ ἕξει αἴσθησιν, οὐ δυνήσεται τὰ μὲν
φεύγειν τὰ δὲ λαβεῖν. Εἰ δὲ τοῦτο, ἀδύνατον [m] ἔσται σώ-
ζεσθαι τὸ ζῷον. Διὸ καὶ ἡ γεῦσίς ἐστιν ὥσπερ ἀφή [n] τις·
7 τροφῆς γάρ ἐστιν, ἡ δὲ τροφὴ τὸ σῶμα τὸ ἁπτόν. [o] Ψόφος
δὲ καὶ [p] χρῶμα καὶ ὀσμὴ οὐ τρέφει, οὐδὲ ποιεῖ οὔτ' αὔξησιν
οὔτε φθίσιν. Ὥστε καὶ τὴν γεῦσιν ἀνάγκη ἀφήν εἶναί τινα,
διὰ τὸ τοῦ ἁπτοῦ καὶ θρεπτικοῦ αἴσθησιν εἶναι. Αὗται μὲν
οὖν ἀναγκαῖαι τῷ ζῴῳ, καὶ φανερὸν ὅτι οὐχ οἷόν τε ἄνευ
8 ἀφῆς [q] εἶναι ζῷον. Αἱ δὲ ἄλλαι τοῦ [r] τε εὖ ἕνεκα καὶ γένει
ζῴων ἤδη οὐ τῷ τυχόντι, ἀλλὰ τισίν, οἷον τῷ πορευτικῷ
[s] ἀνάγκη ὑπάρχειν· εἰ [t] γὰρ [v] μέλλει σώζεσθαι, [w] οὐ [x] μόνον
δεῖ ἁπτόμενον [y] αἰσθάνεσθαι ἀλλὰ καὶ ἄποθεν. Τοῦτο δ' ἂν
εἴη, [z] εἰ διὰ τοῦ μεταξὺ αἰσθητικὸν εἴη τῷ ἐκεῖνο μὲν ὑπὸ τοῦ
9 αἰσθητοῦ πάσχειν καὶ κινεῖσθαι, αὐτὸ δ' ὑπ' ἐκείνου. Ὥσ[a]περ
γὰρ τὸ κινοῦν κατὰ τόπον μέχρι [b] τοῦ μεταβάλλειν ποιεῖ,
καὶ τὸ ὦσαν ἕτερον ποιεῖ ὥστε ὠθεῖν, καὶ ἔστι διὰ μέσου ἡ
κίνησις, [c] καὶ δὴ τὸ μὲν πρῶτον [d] κινοῦν ὠθεῖ οὐκ ὠθούμενον,
τὸ δ' ἔσχατον μόνον ὠθεῖται οὐκ [e] ὦσαν, τὸ δὲ μέσον ἄμφω,
πολλὰ δὲ μέσα, οὕτως ἐπ' ἀλλοιώσεως, πλὴν [f] ὅτι [g] μένοντος
ἐν τῷ αὐτῷ τόπῳ [h] ἀλλοιοῖ, οἷον [i] εἰ εἰς κηρὸν βάψειέ τις,
μέχρι [k] τούτου ἐκινήθη, [l] ἕως ἔβαψεν· λίθος δὲ οὐδέν, ἀλλ'
10 ὕδωρ μέχρι πόρρω. Ὁ δ' ἀὴρ ἐπὶ πλεῖστον κινεῖται καὶ ποιεῖ
καὶ πάσχει, ἐὰν [m] μένῃ καὶ εἷς ᾖ. Διὸ καὶ περὶ ἀνακλάσεως
βέλτιον ἢ τὴν ὄψιν ἐξιοῦσαν [n] κλᾶσθαι, τὸν ἀέρα πάσχειν
ὑπὸ τοῦ σχήματος καὶ χρώματος, μέχρι περ [o] οὗ ἂν εἷς ᾖ.

[l] μέλλοι T. [m] ἔστι T.X. [n] τις] τῆς U. [o] ψόφοι U. [p] χρώ-
ματα W. [q] εἶναι τὸ ζ. L. [r] τε om. L. [s] ἀναγκαῖον W. [t] γὰρ] γε S.
[v] μέλλοι W. [w] οὐ] οὐδὲν T.U.X. [x] μόνον om. T.X. [y] αἰσθάνεσθαι]
σώζεσθαι T.W.X. [z] εἰ om. X. [a] περ om. T.X. [b] τοῦ] τούτου S.
[c] καὶ δὴ τὸ μὲν πρ.] καὶ μὲν δὴ τὸ πρ. S.U, καὶ τὸ μὲν πρ. W, καὶ τὸ πρ.
μὲν T.X, τὸ δὲ πρ. L. [d] κινοῦν] κινεῖ καὶ L. [e] ὠθοῦν X. [f] ὅτε V.
[g] μένοντα V.W.X. [h] ἀλλοιοῖ] ἀλλ' S. [i] εἰ om. S. [k] τοῦ U.X.
[l] ἕως οὗ ἔβ. V. [m] μείνῃ S.U.X. [n] ἀνακλᾶσθαι L.W. [o] ἂν οὗ ᾖ εἷς L,
οὗ ἂν ᾖ εἷς T.W.X.

Ἐπὶ δὲ τοῦ [p] λείου ἐστὶν εἷς· [q] διὸ [r] πάλιν οὗτος τὴν ὄψιν [s] κινεῖ, ὥσπερ ἂν εἰ τὸ ἐν τῷ κηρῷ σημεῖον διεδίδοτο μέχρι τοῦ πέρατος.

Ὅτι δ᾽ οὐχ οἷόν τε [t] ἁπλοῦν εἶναι τὸ τοῦ ζῴου σῶμα, 13
φανερόν, [v] λέγω δ᾽ οἷον πύρινον ἢ ἀέρινον. Ἄνευ μὲν γὰρ ἁφῆς οὐδεμίαν [w] ἐνδέχεται ἄλλην αἴσθησιν ἔχειν· τὸ γὰρ σῶμα ἁπτικὸν τὸ ἔμψυχον πᾶν, ὥσπερ εἴρηται. Τὰ δὲ ἄλλα ἔξω γῆς [x] αἰσθητήρια [y] μὲν ἂν γένοιτο, [z] πάντα δὲ [a] τῷ δι᾽ ἑτέρου αἰσθάνεσθαι ποιεῖ τὴν αἴσθησιν καὶ διὰ τῶν μεταξύ. Ἡ δ᾽ 2
ἁφὴ τῷ [b] αὐτῶν [c] ἅπτεσθαί ἐστιν, διὸ καὶ τοὔνομα τοῦτο ἔχει. Καίτοι καὶ τὰ ἄλλα αἰσθητήρια ἁφῇ αἰσθάνεται, ἀλλὰ δι᾽ [d] ἑτέρου· αὕτη δὲ δοκεῖ μόνη δι᾽ αὑτῆς. Ὥστε τῶν μὲν τοιούτων στοιχείων οὐθὲν ἂν εἴη σῶμα τοῦ ζῴου. Οὐδὲ δὴ γήϊνον. Πάντων γὰρ ἡ ἁφὴ τῶν ἁπτῶν ἐστιν ὥσπερ 3
μεσότης, καὶ δεκτικὸν τὸ αἰσθητήριον οὐ μόνον ὅσαι διαφοραὶ γῆς εἰσίν, ἀλλὰ καὶ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ἄλλων ἁπτῶν ἁπάντων. Καὶ διὰ τοῦτο τοῖς ὀστοῖς καὶ ταῖς θριξὶ καὶ τοῖς τοιούτοις μορίοις οὐκ αἰσθανόμεθα, ὅτι [e] γῆς ἐστίν.
Καὶ τὰ φυτὰ διὰ τοῦτο οὐδεμίαν [f] ἔχει αἴσθησιν, ὅτι [g] γῆς 4
[h] ἐστίν· ἄνευ δὲ ἁφῆς οὐδεμίαν [i] οἷόν τε ἄλλην ὑπάρχειν, τοῦτο δὲ τὸ αἰσθητήριον οὐκ ἔστιν οὔτε γῆς οὔτε ἄλλου τῶν στοιχείων οὐδενός. Φανερὸν τοίνυν ὅτι ἀνάγκη μόνης ταύτης στερισκόμενα τῆς [k] αἰσθήσεως τὰ ζῷα [l] ἀποθνήσκειν· οὔτε γὰρ ταύτην [m] ἔχειν οἷόν τε μὴ ζῷον, οὔτε ζῷον [n] ὂν ἄλλην ἔχειν ἀνάγκη πλὴν [o] ταύτης. Καὶ διὰ τοῦτο τὰ μὲν 5
ἄλλα αἰσθητὰ ταῖς ὑπερβολαῖς οὐ [p] διαφθείρει τὸ ζῷον, οἷον χρῶμα καὶ ψόφος καὶ ὀσμή, ἀλλὰ μόνον τὰ αἰσθητήρια, [q] ἂν μὴ [r] κατὰ συμβεβηκός, οἷον [s] ἂν ἅμα τῷ ψόφῳ ὦσις γένηται

[p] τελείου X. [q] διότι T. [r] πάλιν] πάλιν καὶ W, om. L. [s] ἐκίνει X. [t] ἁπλοῦν εἶναι post σῶμα L. [v] λέγομεν U. [w] ἄλλην ἐνδέχεται S.U.V. [x] αἰσθητικὰ V.W. [y] μὲν om. T.X. [z] πᾶν T.X. [a] τὸ X. [b] αὐτῶν] ἁπτῶν W. [c] ἅπτεσθαι τε ἐστι X. [d] ἑτέρων L.V. [e] γῇ S. [f] αἴσθησιν ἔχει L.W. [g] γῇ S. [h] εἰσίν T.V.X. [i] ἄλλην οἷόν τε V.W. [k] αἰσθήσεως ἁφῆς τὰ T.X. [l] ἀποθνήσκει L. [m] οἷόν τε μὴ ζῷον ὂν ἔχειν W. [n] ὂν om. S.U.V. [o] ταύτην U.X, ταύτην (supra posito ς) T. [p] διαφθ.] φέρει W. [q] ἂν μὴ om. T.X. [r] κατὰ] ἢ κατὰ L. [s] ἂν om. W.

καὶ πληγῇ, καὶ ὑπὸ ὁραμάτων καὶ ὀσμῆς ἕτερα κινεῖται, [t] ἃ
6 τῇ ἀφῇ φθείρει. Καὶ ὁ χυμὸς [v] δὲ ᾗ ἅμα συμβαίνει ἁπτικὸν εἶναι, ταύτῃ φθείρει. Ἡ δὲ τῶν ἁπτῶν ὑπερβολή, οἷον [w] θερμῶν καὶ ψυχρῶν καὶ σκληρῶν, ἀναιρεῖ τὸ ζῷον· παντὸς μὲν γὰρ [x] αἰσθητοῦ ὑπερβολὴ ἀναιρεῖ τὸ αἰσθητήριον, ὥστε [y] καὶ τὸ ἁπτὸν τὴν ἀφήν, ταύτῃ δὲ [z] ὥρισται τὸ [a] ζῆν· ἄνευ
7 γὰρ ἀφῆς δέδεικται ὅτι ἀδύνατον [b] εἶναι ζῷον. [c] Διὸ ἡ τῶν ἁπτῶν ὑπερβολὴ οὐ μόνον τὸ αἰσθητήριον φθείρει, ἀλλὰ καὶ τὸ ζῷον, ὅτι ἀνάγκη [d] μόνην [e] ἔχειν ταύτην. Τὰς δ' ἄλλας αἰσθήσεις ἔχει τὸ ζῷον, ὥσπερ εἴρηται, οὐ τοῦ εἶναι ἕνεκα ἀλλὰ τοῦ εὖ, οἷον ὄψιν, ἐπεὶ [f] ἐν ἀέρι καὶ ὕδατι, [g] ὅπως [h] ὁρᾷ, [i] ὅλως δ' ἐπεὶ ἐν διαφανεῖ, γεῦσίν [k] τε διὰ τὸ ἡδὺ καὶ λυπηρόν, ἵνα αἰσθάνηται [l] τὸ ἐν τροφῇ καὶ ἐπιθυμῇ καὶ [m] κινῆται, ἀκοὴν δὲ ὅπως [n] σημαίνῃ τι αὐτῷ, [o] γλῶτταν δὲ ὅπως σημαίνῃ τι ἑτέρῳ.

[t] ἃ om. L. [v] δὲ om. U. [w] θερμὸν καὶ ψυχρὸν καὶ σκληρὸν L. [x] ὑπερβολὴ αἰσθητοῦ L.W, αἰσθητικοῦ ὑπερβολὴ T.U.V. [y] καὶ om. W. [z] διώρισται S.T.U.X. [a] ζῷον T.X. [b] εἶναι τὸ ζ. W. [c] διὸ καὶ ἡ V. [d] μόνον U.X. [e] ταύτην ἔχειν W. [f] ἐν om. X. [g] πῶς L, om. S.U. [h] ὁρᾷ om. U. [i] ὅλως] καὶ ὅλως X. [k] τε] δὲ L.S.U.W. [l] τὸ ἐν τροφῇ om. W. [m] κινεῖται U. [n] σημανῇ T.U.X, σημαίνηται (omisso τι) L. [o] γλῶτταν δὲ] καὶ γλῶτταν L.

# ΠΕΡΙ [a] ΑΙΣΘΗΣΕΩΣ ΚΑΙ [b] ΑΙΣΘΗΤΩΝ.

## ΠΕΡΙ ΜΝΗΜΗΣ ΚΑΙ ΑΝΑΜΝΗΣΕΩΣ.
## ΠΕΡΙ ΥΠΝΟΥ ΚΑΙ ΕΓΡΗΓΟΡΣΕΩΣ.
## ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ ΚΑΙ ΤΗΣ ΚΑΘ' ΥΠΝΟΝ ΜΑΝΤΙΚΗΣ.
## ΠΕΡΙ ΜΑΚΡΟΒΙΟΤΗΤΟΣ ΚΑΙ ΒΡΑΧΥΒΙΟΤΗΤΟΣ.
## ΠΕΡΙ ΝΕΟΤΗΤΟΣ ΚΑΙ ΓΗΡΩΣ.
## ΠΕΡΙ ΖΩΗΣ ΚΑΙ ΘΑΝΑΤΟΥ.
## ΠΕΡΙ ΑΝΑΠΝΟΗΣ.

[c] 1 ἘΠΕΙ δὲ περὶ ψυχῆς καθ' αὑτὴν διώρισται [d] καὶ περὶ
τῶν δυνάμεων ἑκάστης κατὰ μόριον αὐτῆς, ἐχόμενόν ἐστι
ποιήσασθαι τὴν ἐπίσκεψιν περὶ τῶν ζῴων καὶ τῶν ζωὴν
ἐχόντων ἁπάντων, τίνες εἰσὶν ἴδιαι καὶ τίνες κοιναὶ πράξεις
αὐτῶν. Τὰ μὲν οὖν εἰρημένα περὶ ψυχῆς ὑποκείσθω, περὶ
δὲ τῶν [e] λοιπῶν [f] λέγωμεν, καὶ πρῶτον περὶ τῶν πρώτων.
Φαίνεται δὲ τὰ μέγιστα, καὶ τὰ κοινὰ καὶ [g] τὰ ἴδια τῶν 2
ζῴων, κοινὰ [h] τῆς ψυχῆς ὄντα καὶ τοῦ σώματος, οἷον αἴσθη-
σις καὶ μνήμη καὶ θυμὸς καὶ ἐπιθυμία καὶ ὅλως ὄρεξις, καὶ
πρὸς τούτοις ἡδονή [i] τε καὶ λύπη· καὶ [k] γὰρ ταῦτα σχεδὸν
ὑπάρχει πᾶσι τοῖς ζῴοις. Πρὸς δὲ τούτοις τὰ μὲν πάντων 3
ἐστὶ τῶν μετεχόντων ζωῆς κοινά, τὰ δὲ τῶν ζῴων ἐνίοις.
Τυγχάνουσι [l] δὲ τούτων τὰ μέγιστα [m] τέτταρες [n] οὖσαι συ-
ζυγίαι τὸν [o] ἀριθμόν, οἷον ἐγρήγορσις καὶ ὕπνος, καὶ νεότης
καὶ γῆρας, [p] καὶ ἀναπνοὴ καὶ [q] ἐκπνοή, καὶ ζωὴ καὶ θάνατος·
περὶ ὧν θεωρητέον, τί τε ἕκαστον αὐτῶν, καὶ διὰ τίνας αἰτίας

Codices libri de sensu E.L.M.P.S.U.Y. Tit. [a] *αἰσθήσεων* E.M.S. [b] *αἰσθητῶν πρῶτον* i.l, *αἰσθητῶν βιβλία δύο* c. [c] *ἐπειδὴ* Y. [d] *καὶ*] *πρότερον καὶ* L.P.S.U. [e] *λοιπῶν*] *κοινῶν* M. [f] *λέγομεν* E.Y. [g] *τὰ* ante *ἴδια* om. L.P.S.U. [h] *τῆς τε ψυχῆς*. [i] *τε* om. L.P.S.U. [k] *γὰρ* om. S. [l] *δὴ* M. [m] *τέσσαρες* M.S. [n] *οὖσαι* om. E.M.Y. [o] *ἀριθμὸν μόναι οἷον* L.P.U. [p] *καὶ* ante *ἀν.* om. P. [q] *ἐμπνοὴ* Y.

4 [r] συμβαίνει. Φυσικοῦ δὲ καὶ περὶ ὑγιείας καὶ νόσου τὰς πρώτας ἰδεῖν ἀρχάς· [s] οὔτε γὰρ ὑγίειαν οὔτε νόσον οἷόν τε γίνεσθαι τοῖς ἐστερημένοις ζωῆς. Διὸ [t] σχεδὸν τῶν [v] τε περὶ φύσεως οἱ πλεῖστοι καὶ τῶν ἰατρῶν οἱ [w] φιλοσοφωτέρως τὴν τέχνην μετιόντες, οἱ μὲν τελευτῶσιν εἰς [x] τὰ περὶ ἰατρικῆς, [y] οἱ δ' ἐκ τῶν περὶ φύσεως ἄρχονται περὶ [z] τῆς ἰατρικῆς.

5 Ὅτι [a] δὲ τὰ λεχθέντα κοινὰ τῆς τε ψυχῆς [b] ἐστὶ καὶ τοῦ σώματος, οὐκ ἄδηλον. Πάντα γὰρ τὰ μὲν μετ' αἰσθήσεως συμβαίνει, τὰ δὲ δι' αἰσθήσεως· ἔνια δὲ τὰ μὲν πάθη ταύτης ὄντα τυγχάνει, τὰ δ' ἕξεις, τὰ δὲ φυλακαὶ καὶ [c] σωτηρίαι, τὰ δὲ φθοραὶ καὶ στερήσεις. Ἡ δ' αἴσθησις ὅτι διὰ σώματος γίνεται τῇ ψυχῇ, δῆλον [d] καὶ διὰ τοῦ λόγου καὶ τοῦ

6 λόγου χωρίς. Ἀλλὰ περὶ μὲν αἰσθήσεως καὶ τοῦ αἰσθάνεσθαι, [e] τί ἐστι καὶ διὰ τί συμβαίνει τοῖς ζῴοις τοῦτο τὸ πάθος, εἴρηται [f] πρότερον ἐν τοῖς περὶ ψυχῆς. Τοῖς δὲ ζῴοις, ᾗ μὲν ζῷον ἕκαστον, [g] ἀνάγκη ὑπάρχειν αἴσθησιν· τού-

7 τῳ γὰρ τὸ ζῷον εἶναι καὶ μὴ [h] ζῷον διορίζομεν. Ἰδίᾳ [i] δ' ἤδη καθ' ἕκαστον ἡ μὲν ἁφὴ καὶ γεῦσις ἀκολουθεῖ πᾶσιν ἐξ ἀνάγκης, ἡ μὲν ἁφὴ διὰ τὴν εἰρημένην αἰτίαν ἐν [k] τοῖς περὶ ψυχῆς, ἡ δὲ γεῦσις διὰ τὴν τροφήν· τὸ γὰρ ἡδὺ διακρίνει καὶ τὸ λυπηρὸν [l] αὕτη [m] περὶ τὴν τροφήν, ὥστε τὸ μὲν [n] φεύγειν τὸ δὲ διώκειν, καὶ ὅλως ὁ χυμός ἐστι τοῦ [o] θρεπτι-

8 κοῦ [p] μορίου [q] πάθος. Αἱ δὲ διὰ τῶν ἔξωθεν αἰσθήσεις τοῖς πορευτικοῖς αὐτῶν, οἷον ὄσφρησις καὶ ἀκοὴ καὶ ὄψις, πᾶσι μὲν τοῖς [r] ἔχουσι σωτηρίας [s] ἕνεκεν ὑπάρχουσιν, ὅπως διώκωσί τε προαισθανόμενα τὴν τροφὴν καὶ τὰ φαῦλα καὶ τὰ φθαρτικὰ φεύγωσι, τοῖς δὲ καὶ φρονήσεως τυγχάνουσι

[r] συμβαίνουσι L.P.S. [s] οὐ γ. L. [t] σχεδὸν om. L.P.S.U. [v] τε om. E.M.P.Y. [w] φιλοσοφώτερον P. [x] τὸ M. [y] οἱ—ἰατρικῆς om. S. [z] τῆς om. L.P.S. [a] δὲ πάντα τὰ L.P. [b] ἐστὶ om. P. [c] σωτηρία S.U, τὰ μὲν σωτηρία E.Y, τὰ μὲν σωτηρίαι M. [d] καὶ ante διὰ om. L. [e] τί ἐστι om. L. [f] πρότερον om. L.M. [g] ἀναγκαῖον P.S.U. [h] ζ. εἶναι διορ L. [i] δ' ἤδη] δὲ L.S.U. [k] τοῖς] τῷ L. [l] αὐτῇ E.M.S.Y, αὕτη ante καὶ τὸ λυπηρὸν L. [m] παρὰ L. [n] φυγεῖν S. [o] γευστικοῦ L.U. [p] μορίου] μορίου τῆς ψυχῆς P, om. E.M.Y. [q] πάθους M. [r] ἔχουσι] ὑπάρχουσι E.M.Y. [s] ἕνεκα S.

τοῦ εὖ ἕνεκα· πολλὰς γὰρ εἰσαγγέλλουσι διαφοράς, ἐξ ὧν ἥ
τε τῶν [t]νοητῶν ἐγγίνεται φρόνησις καὶ ἡ τῶν πρακτῶν.
Αὐτῶν δὲ τούτων πρὸς μὲν τὰ ἀναγκαῖα [v]κρείττων ἡ ὄψις 9
[w]καὶ καθ' αὐτήν, πρὸς δὲ νοῦν [x]καὶ κατὰ συμβεβηκὸς ἡ ἀκοή.
Διαφορὰς [y]μὲν γὰρ πολλὰς [z]εἰσαγγέλλει καὶ παντοδαπὰς 10
[a]ἡ τῆς ὄψεως δύναμις διὰ τὸ πάντα [b]τὰ σώματα μετέχειν
χρώματος, ὥστε καὶ τὰ κοινὰ διὰ ταύτης αἰσθάνεσθαι μάλι-
στα (λέγω δὲ κοινὰ [c]σχῆμα, μέγεθος, [d]κίνησιν, ἀριθμόν)·
ἡ δ' ἀκοὴ [e]τὰς τοῦ ψόφου διαφορὰς μόνον, ὀλίγοις δὲ καὶ
[f]τὰς τῆς φωνῆς. Κατὰ συμβεβηκὸς δὲ [g]πρὸς φρόνησιν [h]ἡ 11
ἀκοὴ πλεῖστον συμβάλλεται μέρος. Ὁ γὰρ λόγος αἴτιός
ἐστι τῆς μαθήσεως ἀκουστὸς ὤν, οὐ καθ' αὑτὸν ἀλλὰ κατὰ
συμβεβηκός· ἐξ ὀνομάτων γὰρ σύγκειται, τῶν δ' ὀνομάτων
ἕκαστον σύμβολόν ἐστιν. Διόπερ φρονιμώτεροι τῶν ἐκ γε- 12
νετῆς ἐστερημένων εἰσὶν ἑκατέρας [i]τῆς αἰσθήσεως οἱ τυφλοὶ
τῶν [k]ἐνεῶν καὶ κωφῶν. Περὶ μὲν οὖν τῆς δυνάμεως ἣν ἔχει
τῶν αἰσθήσεων ἑκάστη, πρότερον εἴρηται.

Τοῦ δὲ σώματος ἐν οἷς [l]ἐγγίγνεσθαι πέφυκεν αἰσθητη- 2
ρίοις, [m]ἔνιοι μὲν ζητοῦσι κατὰ τὰ στοιχεῖα τῶν σωμάτων·
οὐκ εὐποροῦντες [n]δὲ πρὸς τέτταρα πέντ' οὔσας συνάγειν,
γλίχονται περὶ τῆς πέμπτης. Ποιοῦσι δὲ [o]πάντες τὴν 2
ὄψιν πυρὸς διὰ τὸ πάθους τινὸς ἀγνοεῖν τὴν αἰτίαν· θλι-
βομένου γὰρ καὶ κινουμένου τοῦ ὀφθαλμοῦ φαίνεται πῦρ
[p]ἐκλάμπειν· τοῦτο δ' ἐν τῷ σκότει πέφυκε συμβαίνειν, ἢ
τῶν βλεφάρων ἐπικεκαλυμμένων· γίνεται γὰρ καὶ [q]τότε
σκότος. Ἔχει δ' ἀπορίαν τοῦτο καὶ ἑτέραν. Εἰ [r]γὰρ μὴ 3
ἔστι λανθάνειν αἰσθανόμενον καὶ ὁρῶντα [s]ὁρώμενόν τι,

[t] νοημάτων S.U. [v] κρείσσων L. [w] καὶ om. E. [x] καὶ om. S.U. [y] μὲν om. L. [z] εἰσαγγέλλει ante ἡ U, post ὄψεως P. et, qui cum M. ἀγγέλλει, E.Y. [a] ἡ] καὶ Y. [b] τὰ om. L. [c] σχῆμα καὶ μέγεθος E.M.Y, μέγεθος σχῆμα P. [d] κίνησιν στάσιν ἀριθμόν L. [e] τὰς om. M. [f] τὰ Y. [g] εἰς L.S.U. [h] πλεῖστον ἡ ἀκοὴ L. [i] τῆς om. L. [k] ἐννεῶν nonnulli. [l] γίγνεσθαι M. [m] ἔνιοι] νῦν E.M.Y. [n] δὲ om. S. [o] τὴν ὄψιν πάντες P. [p] ἐκλάμπον L. [q] τότ' ἐν σκότει L.S.U. [r] γὰρ καὶ μὴ M. [s] ὁρώμενόν τι] ὁρῴη μὲν ἀντία P, om. S.U.

ἀνάγκη [t] ἄρ' αὐτὸν [v] ἑαυτὸν ὁρᾶν τὸν ὀφθαλμόν. Διὰ τί
οὖν ἠρεμοῦντι τοῦτ' [w] οὐ συμβαίνει; [x] Τὰ δ' αἴτια τούτου,
καὶ τῆς ἀπορίας καὶ τοῦ δοκεῖν πῦρ εἶναι τὴν ὄψιν, ἐντεῦθεν
4 ληπτέον. Τὰ γὰρ λεῖα πέφυκεν ἐν τῷ [y] σκότει λάμπειν, οὐ
μέντοι [z] φῶς γε [a] ποιεῖ, τοῦ δ' ὀφθαλμοῦ τὸ καλούμενον
μέλαν καὶ μέσον λεῖον [b] φαίνεται. Φαίνεται δὲ τοῦτο κινου-
μένου τοῦ ὄμματος διὰ [c] τὸ συμβαίνειν ὥσπερ δύο γίνεσθαι
τὸ ἕν. Τοῦτο δ' ἡ ταχυτὴς ποιεῖ τῆς κινήσεως, [d] ὥστε δοκεῖν
5 ἕτερον εἶναι τὸ ὁρῶν καὶ τὸ ὁρώμενον. Διὸ καὶ οὐ γίνεται,
[e] ἂν μὴ ταχέως καὶ ἐν σκότει τοῦτο συμβῇ· τὸ γὰρ λεῖον ἐν
τῷ σκότει πέφυκε λάμπειν, οἷον [f] κεφαλαὶ ἰχθύων [g] τινῶν
καὶ [h] ὁ τῆς σηπίας θολός· καὶ βραδέως μεταβάλλοντος τοῦ
ὄμματος οὐ [i] συμβαίνει ὥστε δοκεῖν ἅμα [k] ἓν καὶ δύο εἶναι τό
6 θ' ὁρῶν καὶ τὸ ὁρώμενον. [l] Ἐκείνως δ' [m] αὐτὸς [n] αὑτὸν ὁρᾷ
[o] ὁ ὀφθαλμός, ὥσπερ καὶ ἐν τῇ ἀνακλάσει, ἐπεὶ εἴ γε πῦρ
ἦν, καθάπερ Ἐμπεδοκλῆς φησὶ καὶ ἐν τῷ Τιμαίῳ γέγρα-
πται, καὶ συνέβαινε τὸ ὁρᾶν ἐξιόντος ὥσπερ ἐκ λαμπτῆρος
7 τοῦ φωτός, διὰ τί οὐ καὶ ἐν τῷ σκότει ἑώρα ἂν ἡ ὄψις; Τὸ
δ' ἀποσβέννυσθαι φάναι ἐν τῷ σκότει ἐξιοῦσαν, ὥσπερ ὁ
Τίμαιος λέγει, κενόν ἐστι παντελῶς· [p] τίς γὰρ ἀπόσβεσις
φωτός ἐστιν; Σβέννυται γὰρ [q] ἢ ὑγρῷ ἢ ψυχρῷ τὸ θερμὸν
καὶ ξηρόν, οἷον δοκεῖ τό τ' ἐν τοῖς ἀνθρακώδεσιν εἶναι πῦρ
8 καὶ ἡ φλόξ, ὧν τῷ φωτὶ οὐδέτερον φαίνεται ὑπάρχον. Εἰ
δ' ἄρα ὑπάρχει μὲν ἀλλὰ διὰ τὸ ἠρέμα [r] λανθάνει ἡμᾶς, ἔδει
μεθ' ἡμέραν τε [s] καὶ ἐν τῷ ὕδατι ἀποσβέννυσθαι [t] τὸ φῶς,
καὶ ἐν τοῖς πάγοις [v] μᾶλλον γίνεσθαι σκότον· ἡ γοῦν φλὸξ
καὶ τὰ πεπυρωμένα σώματα πάσχει τοῦτο· νῦν δ' [w] οὐδὲν

[t] ἄρ'] γὰρ Y, γὰρ καὶ M. [v] ἑαυτὸν om. E.M.P.Y. [w] οὐ om. pr. S. [x] τὸ δ' αἴτιον S.U. [y] σκότῳ E.M.Y. [z] γε φῶς M. [a] ποιεῖν L.P.S.U. [b] φαίνεται om. P.S. [c] τὸ] τοῦ S. [d] ὥστε] τὸ U. [e] ἐὰν L.P.S.U. [f] κεφαλαί τε ἰχθ. S.U. [g] τινὲς E.M.U.Y. [h] τὸ τῆς σ. θόλον M.P, τὸ τῆς σ. ὅλον E.Y. [i] συμβαίνειν E.M.Y. [k] δύο καὶ ἓν L. [l] ἐκεῖνος E.P.Y. [m] αὐτὸς om. E.M.Y. [n] αὐτὸν Y, αὐτῶν pr. E. [o] ὁ om. Y. [p] τίς—ὕδατι] τί γάρ ἐστιν S.U. [q] ἢ ἐν ὑγρῷ L. [r] λανθάνειν E.P. [s] καὶ om. P. [t] τὸ om. M. [v] μάλιστα L. [w] οὐθὲν P.

συμβαίνει τοιοῦτον. Ἐμπεδοκλῆς [x]δ' ἔοικε [y]νομίζοντι [z]ὁτὲ 9
μὲν ἐξιόντος τοῦ φωτός, ὥσπερ εἴρηται πρότερον, βλέπειν·
λέγει [a]γοῦν [b]οὕτως.

> Ὡς δ' ὅτε τις [c]πρόοδον νοέων [d]ὡπλίσσατο λύχνον,
> χειμερίην διὰ νύκτα πυρὸς σέλας αἰθομένοιο,
> [e]ἅψας παντοίων ἀνέμων λαμπτῆρας [f]ἀμουργούς,
> [g]οἵτ' ἀνέμων [h]μὲν [i]πνεῦμα [k]διασκιδνᾶσιν ἀέντων,
> [l]φῶς δ' [m]ἔξω διαθρῶσκον, ὅσον ταναώτερον [n]ἦεν,
> [o]λάμπεσκεν κατὰ βηλὸν [p]ἀτειρέσιν [q]ἀκτίνεσσιν·
> ὣς δὲ [r]τότ' ἐν [s]μήνιγξιν [t]ἐεργμένον [v]ὠγύγιον πῦρ
> λεπτῇσιν [w]ὀθόνῃσι [x]λοχάζετο [y]κύκλοπα [z]κούρην·
> αἱ δ' ὕδατος [a]μὲν [b]βένθος ἀπέστεγον [c]ἀμφινάοντος,
> πῦρ δ' ἔξω [d]διαθρῶσκον, [e]ὅσον ταναώτερον ἦεν.

Ὁτὲ μὲν [f]οὖν οὕτως ὁρᾶν φησίν, ὁτὲ δὲ ταῖς [g]ἀπορροίαις 10
[h]ταῖς ἀπὸ τῶν ὁρωμένων. Δημόκριτος δ' ὅτι μὲν ὕδωρ
[i]εἶναί φησι, λέγει καλῶς, ὅτι δ' οἴεται τὸ ὁρᾶν εἶναι τὴν
ἔμφασιν, οὐ καλῶς· τοῦτο [k]μὲν γὰρ συμβαίνει ὅτι τὸ ὄμμα
λεῖον, καὶ ἔστιν οὐκ ἐν ἐκείνῳ ἀλλ' ἐν τῷ ὁρῶντι· ἀνάκλασις
γὰρ τὸ πάθος. Ἀλλὰ καθόλου περὶ τῶν ἐμφαινομένων καὶ 11
[l]ἀνακλάσεως [m]οὐδέν πω δῆλον [n]ἦν, ὡς ἔοικεν. [o]Ἄτοπον
δὲ καὶ τὸ μὴ ἐπελθεῖν αὐτῷ ἀπορῆσαι διὰ τί [p]ὁ ὀφθαλμὸς

[x] δ' om. L. [y] νομίζειν τι E.i. [z] τότε P, τὸ E.M.i, τῇ U, om. S. [a] οὖν i. [b] οὕτως om. P. [c] πρόσοδον pr. S.U. [d] ὡπλίσατο λ. L.V.W, ὡπλίσσ' αὐτολύχνον G[a]. [e] αἶψα N.V. [f] ἀμοργοὺς M.l, ἀμοργοῦς Y, ἀμοργους (supra γ posito β) E. [g] αἴτ' E.M.P.Y.G[a]. [h] μὲν om. N.V. [i] πνεύματα E.Y.G[a]. [k] διασκεδνᾶσιν N, διασκεδᾶσιν f. [l] πῦρ E.M. P.Y.G[a]. et supra posito ἢ φῶς i.l. [m] ἔξω διάνταται τρείατο θεσπεσίῃσιν ὀθόνῃσιν διαθρῶσκον P. [n] ἢ N.V. [o] λάμπεσκε nonnulli. [p] ἀπειρέσιν N.V, ἀτηρέσιν m. [q] ἀκτίνεσιν plerique. [r] τότ'] ὅτε S. [s] μήνιξιν U.G[a].l, μῆνι γοῦν N. [t] ἑργμένον L, ἐερμένον W, ἐελμένον E.M, ἐεκμένον Y, ἐκμένων G[a]. [v] ὀγύγιον N. [w] ὀθόνοισιν X, γ' ὀθόνῃσιν corr. V, χθονίῃσι E.M.Y.G[a].i.l, χοανῇσιν P. [x] λοχάζετο E.M.Y.i.l, λοχάζεται G[a], ἐχείατο L, ἐχεύατο ceteri. [y] κύκλωπα Q.H[a].c.f.m. [z] κοῦρον G[a]. [a] μὲν om. N.V. [b] βένθεος N.c. [c] ἀμφιναέντος vel ἀμφινάεντος E.N.P.S.U. V.W.Y.i.l, ἀμφὶ καέντος M. [d] διαθρῶσκον] διίεσκον P. [e] ὅσῳ U. [f] οὖν om. E.L.M.U.Y. [g] ἀπορροαῖς U. [h] ταῖς ἀπὸ] τῶν ἀπὸ M, om. S.U. [i] φησὶν εἶναι U, εἶναι φασὶν P. [k] μὲν om. L. [l] ἀνακλάσεων P.S.U. [m] οὐδέ E.L.M.S.Y. [n] ἦν] ἦν αὐτῷ L.M, ἦν ἀστῷ S. [o] ἄτομον M. [p] ὁ om. U

*ὁρᾷ μόνον, τῶν δ' ἄλλων οὐδὲν ἐν οἷς ἐμφαίνεται τὰ εἴδωλα.*
*Τὸ μὲν* [q] *οὖν* [r] *τὴν ὄψιν εἶναι ὕδατος ἀληθὲς μέν, οὐ μέντοι*
*συμβαίνει τὸ ὁρᾶν ᾗ ὕδωρ ἀλλ' ᾗ διαφανές· ὃ καὶ ἐπὶ τοῦ*
12 *ἀέρος κοινόν ἐστιν.* ˈ*Ἀλλ' εὐφυλακτότερον καὶ* [s] *εὐπιλητό-*
*τερον τὸ ὕδωρ τοῦ* [t] *ἀέρος· διόπερ* [v] *ἡ κόρη καὶ τὸ ὄμμα*
*ὕδατός ἐστιν.* [w] *Τοῦτο δὲ καὶ ἐπ'* [x] *αὐτῶν τῶν ἔργων* [y] *δῆ-*
*λον· φαίνεται γὰρ* [z] *ὕδωρ τὸ ἐκρέον* [a] *διαφθειρομένων, καὶ ἔν*
[b] *γε τοῖς πάμπαν ἐμβρύοις τῇ* [c] *ψυχρότητι* [d] *ὑπερβάλλον*
13 [e] *καὶ τῇ λαμπρότητι. Καὶ τὸ* [f] *λευκὸν* [g] *τοῦ ὄμματος ἐν*
*τοῖς ἔχουσιν* [h] *αἷμα πῖον καὶ λιπαρόν·* [i] *ὅπερ διὰ τοῦτ' ἐστί,*
*πρὸς τὸ διαμένειν τὸ ὑγρὸν ἄπηκτον. Καὶ διὰ τοῦτο τοῦ*
*σώματος* [k] *ἀρριγότατον ὁ ὀφθαλμός ἐστιν· οὐδεὶς γάρ πω*
[l] *τὸ ἐντὸς τῶν* [m] *βλεφάρων ἐρρίγωσεν. Τῶν δ' ἀναίμων*
[n] *σκληρόδερμοι οἱ ὀφθαλμοί εἰσι, καὶ τοῦτο ποιεῖ τὴν σκέ-*
14 *πην.* ˈ*Ἄλογον δὲ ὅλως τὸ ἐξιόντι τινὶ τὴν ὄψιν ὁρᾶν,* [o] *καὶ*
*ἀποτείνεσθαι μέχρι τῶν ἄστρων, ἢ μέχρι τινὸς ἐξιοῦσαν*
*συμφύεσθαι, καθάπερ λέγουσί τινες. Τούτου μὲν γὰρ βέλ-*
*τιον τὸ* [p] *ἐν ἀρχῇ συμφύεσθαι* [q] *τοῦ ὄμματος.* ˈ*Ἀλλὰ καὶ*
*τοῦτο εὔηθες· τό* [r] *τε γὰρ συμφύεσθαι τί ἐστι φωτὶ πρὸς*
*φῶς;* ˈ*Ἢ πῶς οἷόν θ'* [s] *ὑπάρχειν; Οὐ γὰρ τῷ τυχόντι*
15 *συμφύεται τὸ τυχόν.* [t] *Τό τ' ἐντὸς τῷ ἐκτὸς πῶς;* ˈ*Ἡ*
*γὰρ μῆνιγξ μεταξύ ἐστιν. Περὶ μὲν* [v] *οὖν τοῦ ἄνευ φωτὸς*
*μὴ ὁρᾶν εἴρηται ἐν ἄλλοις· ἀλλ' εἴτε φῶς εἴτ' ἀήρ ἐστι τὸ*
*μεταξὺ* [w] *τοῦ ὁρωμένου καὶ τοῦ ὄμματος, ἡ διὰ τούτου κίνησίς*
*ἐστιν* [x] *ἡ ποιοῦσα τὸ ὁρᾶν. Καὶ εὐλόγως τὸ ἐντός ἐστιν*

[q] *οὖν* om. Y. [r] *εἶναι τὴν ὄψιν* P. [s] *εὐπειλητότερον* P, *εὐυποληπτότερον* L.S.U. [t] *ἀέρος*] *ἀέρος ἐστί* P.S.U. [v] *ἡ*] *καὶ ἡ* P. [w] *τοῦτο δὲ*] *καὶ τοῦτο ἐστι* P.S.U. [x] *αὐτῶν* om. P. [y] *δῆλον* om. S.U. [z] *τὸ ἐκρέον ὕδωρ* S. [a] *διαφθ. τῶν ὀφθαλμῶν καὶ* L.P.S.U. [b] *γε*] *τε* P, om. E.M.Y. [c] *λαμπρότητι* L. [d] *ὑπερβ.*] *ὑπερβ. ἐστὶ* L.P.S. [e] *καὶ τῇ λαμπρότητι* ante *ὑπερβάλλον* S, *καὶ τῇ στιλπνότητι* L. [f] *λευκὸν*] *λαμπρὸν* S.U. [g] *τοῦ*] *τὸ* L. [h] *πῖον αἷμα* M, *αἷμα πλεῖον* E.M.Y. [i] *ὅπερ* om. P.U. [k] *ἀρριγώτατον* E.L.U.Y, *ἀρριγωτότατον* S, *ἀριγώτερον* M. [l] *τὸ*] *τὰ* P.U. [m] *βλεφάρων*] *ὀμμάτων* L. [n] *σκληρότεροι* S.U. [o] *καὶ*] *καὶ ἢ* P.S.U. [p] *ἐν*] *ἐπ'* P. [q] *τοῦ—γὰρ συμφύεσθαι* om. pr. S. [r] *τε* om. L. [s] *ὑπάρχειν τοῦτο; οὐ* S.U. [t] *τῷ τ' ἐντὸς τὸ ἐκτὸς* S.U, *τῷ τ' ἐκτὸς τὸ ἐντὸς* P. [v] *οὖν* om. S. [w] *τοῦ* ante *ὁρ.* om. Y. [x] *ἡ* om. S.U.

ὕδατος· διαφανὲς γὰρ τὸ ὕδωρ. Ὁρᾶται δὲ ὥσπερ καὶ ἔξω 16
οὐκ ἄνευ φωτός, οὕτω [y] καὶ ἐντός· διαφανὲς ἄρα δεῖ εἶναι.
[z] Καὶ ἀνάγκη ὕδωρ εἶναι, [a] ἐπειδὴ οὐκ ἀήρ. Οὐ γὰρ ἐπὶ
[b] τοῦ ἐσχάτου ὄμματος ἡ ψυχὴ [c] ἢ τῆς ψυχῆς τὸ [d] αἰσθη-
τήριόν ἐστιν, ἀλλὰ δῆλον ὅτι ἐντός· διόπερ ἀνάγκη διαφανὲς
εἶναι καὶ δεκτικὸν φωτὸς τὸ ἐντὸς τοῦ ὄμματος. Καὶ τοῦτο 17
καὶ ἐπὶ τῶν συμβαινόντων δῆλον· [e] ἤδη γάρ τισι πληγεῖσιν
ἐν [f] πολέμῳ παρὰ τὸν κρόταφον οὕτως ὥστ' [g] ἐκτμηθῆναι
τοὺς πόρους τοῦ ὄμματος, ἔδοξε [h] γενέσθαι σκότος ὥσπερ
λύχνου ἀποσβεσθέντος, διὰ τὸ οἷον λαμπτῆρά τινα ἀποτμη-
θῆναι τὸ διαφανές, τὴν καλουμένην κόρην. Ὥστ' εἴπερ [i] τού- 18
των τι συμβαίνει, καθάπερ λέγομεν, φανερὸν [k] ὡς δεῖ τοῦτον
τὸν τρόπον ἀποδιδόναι καὶ προσάπτειν ἕκαστον τῶν αἰσθη-
τηρίων ἑνὶ τῶν στοιχείων. Τοῦ μὲν ὄμματος τὸ ὁρατικὸν
ὕδατος ὑποληπτέον, ἀέρος δὲ τὸ τῶν ψόφων αἰσθητικόν,
πυρὸς δὲ τὴν ὄσφρησιν. Ὃ γὰρ [l] ἐνεργείᾳ ἡ ὄσφρησις, 19
τοῦτο δυνάμει τὸ ὀσφραντικόν· τὸ γὰρ αἰσθητὸν ἐνεργεῖν
ποιεῖ τὴν αἴσθησιν, ὥσθ' ὑπάρχειν [m] ἀνάγκη [n] αὐτὴν δυνάμει
πρότερον. Ἡ δ' ὀσμὴ [o] καπνώδης τίς ἐστιν ἀναθυμίασις, ἡ
δ' ἀναθυμίασις [p] ἡ καπνώδης [q] ἐκ πυρός. Διὸ καὶ [r] τῷ περὶ 20
τὸν ἐγκέφαλον τόπῳ [s] τὸ τῆς ὀσφρήσεως [t] αἰσθητήριόν ἐστιν
ἴδιον· δυνάμει γὰρ [v] θερμὴ ἡ τοῦ ψυχροῦ ὕλη ἐστίν. Καὶ
ἡ τοῦ [w] ὄμματος γένεσις τὸν αὐτὸν ἔχει τρόπον· ἀπὸ τοῦ
ἐγκεφάλου γὰρ συνέστηκεν· οὗτος [x] γὰρ ὑγρότατος καὶ ψυ-
χρότατος τῶν ἐν τῷ σώματι μορίων ἐστίν. Τὸ δ' ἁπτικὸν 21
γῆς. Τὸ δὲ γευστικὸν εἶδός [y] τι ἁφῆς ἐστίν. Καὶ διὰ
τοῦτο πρὸς τῇ καρδίᾳ τὸ αἰσθητήριον αὐτῶν, τῆς [z] τε γεύ-

[y] καὶ τὸ ἐντός P. [z] καὶ ἀνάγκη] ἀνάγκη ἄρα P.S.U. [a] ἐπεὶ M. [b] τοῦ ἐσχάτου τοῦ ὄμματος S.U. [c] ἢ] καὶ L. [d] αἰσθητικόν M.P.S.U.Y. [e] ἤδη γάρ τισι] τισὶ γὰρ S.U. [f] πολέμοις Y, πόλεμοι E. [g] ἀποτμηθῆναι P.S.U. [h] γίνεσθαι P.U. [i] τούτων τι] ἐπὶ τούτων L.P.S.U. [k] ὡς εἰ δεῖ L.P.S.U. [l] ἐνεργείᾳ om. L. [m] ἀναγκαῖον E.L.M.Y. [n] αὐτὴν] αὐτὴν ὃ P.U, αὕτη ὃ S. [o] καπν. ἀναθ. ἐστίν E.M.U.Y. [p] ἡ om. S. et pr. U. [q] ἔμπυρος corr. P. [r] τῷ ante τόπῳ P.S.U. [s] τὸ] τῷ P. [t] ἴδιον αἰσθ. ἐστίν P. [v] θερμὸν M. [w] αἵματος E.Y. [x] γὰρ καὶ ὑγρότατος M. [y] τι] τῆς Y. [z] τε om. E.M.Y.

σεως καὶ τῆς ἁφῆς· ἀντίκειται γὰρ τῷ ἐγκεφάλῳ αὕτη, καὶ ἔστι [a] θερμότατον τῶν μορίων. Καὶ περὶ μὲν τῶν αἰσθητικῶν τοῦ σώματος μορίων ἔστω τοῦτον τὸν τρόπον διωρισμένα.

3 Περὶ [b] δὲ τῶν αἰσθητῶν τῶν καθ' ἕκαστον αἰσθητήριον,
οἷον λέγω χρώματος καὶ ψόφου καὶ ὀσμῆς καὶ χυμοῦ καὶ
ἁφῆς, καθόλου μὲν εἴρηται ἐν [c] τοῖς περὶ ψυχῆς, τί [d] τὸ ἔρ-
γον αὐτῶν καὶ τί τὸ ἐνεργεῖν καθ' ἕκαστον τῶν αἰσθητηρίων·
τί δέ ποτε [e] δεῖ λέγειν ὁτιοῦν αὐτῶν, οἷον [f] τί χρῶμα ἢ [g] τί
ψόφον ἢ [h] τί ὀσμὴν ἢ χυμόν, ὁμοίως δὲ καὶ περὶ ἁφῆς, [i] ἐπι-
2 σκεπτέον, καὶ πρῶτον περὶ χρώματος. Ἔστι μὲν οὖν ἕκα-
στον διχῶς λεγόμενον, τὸ μὲν ἐνεργείᾳ τὸ δὲ δυνάμει. Τὸ
μὲν οὖν ἐνεργείᾳ χρῶμα καὶ [k] ὁ ψόφος πῶς ἐστὶ τὸ αὐτὸ ἢ
ἕτερον ταῖς κατ' ἐνέργειαν αἰσθήσεσιν, οἷον ὁράσει καὶ ἀκού-
σει, εἴρηται ἐν [l] τοῖς περὶ ψυχῆς· τί δὲ [m] ἕκαστον αὐτῶν ὂν
[n] ποιήσει τὴν αἴσθησιν καὶ τὴν ἐνέργειαν, [o] νῦν [p] λέγωμεν.
3 Ὥσπερ οὖν εἴρηται περὶ φωτὸς [q] ἐν ἐκείνοις, ὅτι ἐστὶ χρῶμα
τοῦ διαφανοῦς κατὰ συμβεβηκός· ὅταν γὰρ [r] ἐνῇ τι πυρῶ-
δες [s] ἐν διαφανεῖ, ἡ μὲν παρουσία φῶς, ἡ δὲ στέρησίς ἐστι
4 σκότος. Ὃ δὲ λέγομεν διαφανές, οὐκ ἔστιν ἴδιον [t] ἀέρος ἢ
ὕδατος οὐδ' [v] ἄλλου τῶν οὕτω λεγομένων σωμάτων, ἀλλά
[w] τίς [x] ἐστι [y] κοινὴ φύσις καὶ δύναμις, ἣ χωριστὴ μὲν οὐκ
ἔστιν, ἐν τούτοις δ' ἐστί, καὶ [z] τοῖς ἄλλοις σώμασιν ἐνυπάρ-
χει, τοῖς μὲν μᾶλλον τοῖς δ' ἧττον. Ὥσπερ οὖν καὶ τῶν
5 σωμάτων ἀνάγκη τι εἶναι ἔσχατον, καὶ ταύτης. Ἡ μὲν οὖν
τοῦ φωτὸς φύσις ἐν ἀορίστῳ [a] τῷ διαφανεῖ ἐστίν· τοῦ δ' ἐν
τοῖς σώμασι διαφανοῦς τὸ ἔσχατον, ὅτι μὲν εἴη [b] ἄν τι,

[a] θερμοτάτη L. [b] δὲ τῶν καθ' ἕκαστον αἰσθητηρίων αἰσθητῶν L. [c] τῷ M. [d] τὸ om. M. [e] δεῖ om. S.U. [f] τί] τὸ Y, τί τὸ L.S.U. [g] τί] τὸν L.S.U. [h] τί] τὴν L.U, om. P.S. [i] σκεπτέον L. [k] ὁ om. S.U. [l] τοῖς] τῷ L. [m] ὂν ἕκαστον αὐτῶν L. [n] ποιεῖ P. [o] νῦν om. P.S.U. [p] λέγομεν E.Y. [q] ἐν om. E.Y. [r] ἐνῇ] ᾖ P.S.U. [s] ἐν τῷ διαφανεῖ P.S. [t] ὕδ. ἢ ἀέρος P. [v] ἄλλων Y. [w] τις om. S.U. [x] ἐστι om. P. [y] καινὴ L. [z] τοῖς] ἐν τοῖς P.S.U, om. L. [a] τῷ om. L.P.S.U. [b] ἄν τι P. cum pr. S. et corr. U: ceteri παντὶ.

δῆλον, ὅτι δὲ τοῦτ' ἐστὶ τὸ χρῶμα, [c] ἐκ τῶν συμβαινόντων
φανερόν. [d] Τὸ γὰρ χρῶμα [e] ἢ ἐν τῷ πέρατί ἐστιν [f] ἢ πέ-
ρας· διὸ καὶ οἱ Πυθαγόρειοι τὴν ἐπιφάνειαν [g] χροιὰν [h] ἐκά-
λουν. Ἔστι μὲν [i] γὰρ ἐν τῷ τοῦ σώματος πέρατι, ἀλλ' οὐ 6
[k] τι τὸ τοῦ σώματος πέρας, ἀλλὰ τὴν αὐτὴν φύσιν δεῖ νομί-
ζειν, [l] ἥπερ καὶ ἔξω χρωματίζεται, ταύτην καὶ ἐντός. Φαί-
νεται δὲ [m] καὶ ἀὴρ καὶ ὕδωρ [n] χρωματιζόμενα· καὶ γὰρ ἡ
[o] αὐγὴ τοιοῦτόν ἐστιν. Ἀλλ' ἐκεῖ μὲν διὰ τὸ ἐν ἀορίστῳ οὐ 7
τὴν αὐτὴν ἐγγύθεν καὶ [p] προσιοῦσι καὶ πόρρωθεν ἔχει [q] χροιὰν
οὔθ' ὁ ἀὴρ οὔθ' ἡ θάλαττα· ἐν δὲ τοῖς σώμασιν ἐὰν μὴ τὸ
περιέχον ποιῇ [r] τὸ μεταβάλλειν, [s] ὥρισται καὶ ἡ φαντασία
τῆς χρόας. Δῆλον ἄρα ὅτι τὸ αὐτὸ κἀκεῖ [t] κἀνθάδε δεκτικὸν
[v] τῆς χρόας ἐστίν. [w] Τὸ ἄρα διαφανὲς καθ' ὅσον [x] ὑπάρχει 8
ἐν τοῖς σώμασιν (ὑπάρχει δὲ [y] μᾶλλον καὶ ἧττον ἐν πᾶσι)
χρώματος ποιεῖ μετέχειν. Ἐπεὶ δ' ἐν πέρατι ἡ χρόα, τού-
του ἂν [z] ἐν πέρατι εἴη. Ὥστε χρῶμα ἂν [a] εἴη τὸ τοῦ δια-
φανοῦς ἐν [b] σώματι ὡρισμένῳ πέρας. Καὶ αὐτῶν δὲ τῶν 9
διαφανῶν, οἷον ὕδατος καὶ εἴ τι ἄλλο τοιοῦτον, καὶ [c] ὅσοις
[d] φαίνεται χρῶμα ἴδιον ὑπάρχειν κατὰ τὸ ἔσχατον, ὁμοίως
πᾶσιν ὑπάρχει. Ἔστι μὲν οὖν ἐνεῖναι ἐν τῷ διαφανεῖ τοῦθ'
ὅπερ καὶ ἐν τῷ ἀέρι ποιεῖ φῶς, ἔστι δὲ μή, ἀλλ' ἐστερῆσθαι.
Ὥσπερ [e] οὖν ἐκεῖ τὸ μὲν φῶς τὸ δὲ σκότος, οὕτως ἐν τοῖς
σώμασιν ἐγγίνεται τὸ λευκὸν καὶ [f] τὸ μέλαν. Περὶ δὲ τῶν 10
ἄλλων χρωμάτων ἤδη [g] διελομένους ποσαχῶς ἐνδέχεται γίγνε-
σθαι λεκτέον. Ἐνδέχεται μὲν [h] γὰρ παρ' ἄλληλα τιθέμενα
[i] τὸ [k] λευκὸν καὶ τὸ μέλαν, ὥσθ' ἑκάτερον μὲν εἶναι [l] ἀόρατον

[c] ἐκ—γὰρ χρῶμα om. S. [d] τό τε γὰρ P.U. [e] ἢ om. P. [f] ἢ] ᾖ P. [g] χρόαν P.S.U. [h] καλοῦσιν γρ. E. [i] γὰρ] οὖν S.U. [k] τι om. P.S.U. [l] εἴπερ P. [m] καὶ post δὲ om. S. [n] χρωματιζόμενον P.S.U. [o] αὐγὴ τὸ τοιοῦτόν S.U. [p] προϊοῦσιν S. et pr. U. [q] χρόαν P.S.U. [r] τὸ ante μετ. om. P.S.U. [s] ὁρίζεται S.U. [t] δεκτικὸν κἀνθάδε U, καὶ ἐνταῦθα δεκτικὸν P. [v] τῆς om. pr. U. [w] τὸ δ' ἄρα M. [x] ἐνυπάρχει τοῖς L. [y] μᾶλλον καὶ] ἢ μᾶλλον ἢ P.S.U. [z] ἐν π.] πέρας τι P. [a] εἴκη Y. [b] χρώματι S. [c] ὅσων S.U. [d] φαίνεταί τι χρῶμα P. [e] οὖν] γὰρ M. [f] τὸ om. E.Y. [g] διελομένοις L. [h] γὰρ καὶ π. L. [i] τὸ] τό τε P.U. [k] μέλαν καὶ τὸ λευκὸν P. [l] ἀόρατον ante εἶναι L, ante τὸ δ' P.

διὰ [m] σμικρότητα, τὸ δ' ἐξ ἀμφοῖν ὁρατὸν οὕτω γίνεσθαι.
11 Τοῦτο γὰρ οὔτε [n] λευκὸν οἷόν τε φαίνεσθαι οὔτε μέλαν·
ἐπεὶ δ' ἀνάγκη [o] μέν τι ἔχειν [p] χρῶμα, τούτων δ' οὐδέτερον
δυνατόν, ἀνάγκη μικτόν [q] τι εἶναι καὶ εἶδός τι χρόας ἕτερον.
12 Ἔστι μὲν οὖν οὕτως ὑπολαβεῖν πλείους εἶναι χρόας παρὰ τὸ
λευκὸν καὶ [r] τὸ μέλαν, πολλὰς δὲ τῷ λόγῳ· τρία γὰρ πρὸς
δύο, καὶ τρία πρὸς [s] τέτταρα, καὶ κατ' ἄλλους ἀριθμοὺς ἔστι
παρ' ἄλληλα κεῖσθαι, τὰ δ' ὅλως κατὰ μὲν λόγον μηδένα,
καθ' ὑπεροχὴν δέ τινα καὶ ἔλλειψιν ἀσύμμετρον, καὶ τὸν
αὐτὸν [t] δὴ τρόπον ἔχειν ταῦτα ταῖς συμφωνίαις· τὰ μὲν
[v] γὰρ ἐν ἀριθμοῖς εὐλογίστοις [w] χρώματα, καθάπερ ἐκεῖ τὰς
συμφωνίας, [x] τὰ ἥδιστα τῶν χρωμάτων εἶναι δοκοῦντα, οἷον
τὸ [y] ἁλουργὸν [z] καὶ φοινικοῦν [a] καὶ ὀλίγ' [b] ἄττα τοιαῦτα, δι'
ἥνπερ αἰτίαν [c] καὶ αἱ συμφωνίαι ὀλίγαι, τὰ δὲ μὴ ἐν ἀριθμοῖς
[d] τἆλλα χρώματα, ἢ [e] καὶ πάσας τὰς χρόας ἐν ἀριθμοῖς εἶναι,
τὰς [f] μὲν τεταγμένας τὰς δὲ ἀτάκτους, καὶ αὐτὰς ταύτας,
ὅταν μὴ καθαραὶ ὦσι, διὰ τὸ μὴ ἐν ἀριθμοῖς εἶναι [g] τοιαύτας
13 γίνεσθαι. Εἷς μὲν οὖν τρόπος τῆς γενέσεως τῶν χρωμάτων
οὗτος, εἷς δὲ [h] τὸ φαίνεσθαι δι' ἀλλήλων, οἷον ἐνίοτε οἱ [i] γρα-
φῆς [k] ποιοῦσιν, ἑτέραν χρόαν ἐφ' [l] ἑτέραν [m] ἐναργεστέραν
ἐπαλείφουσιν, ὥσπερ ὅταν ἐν ὕδατί [n] τι ἢ [o] ἐν ἀέρι [p] βούλων-
ται ποιῆσαι φαινόμενον, [q] καὶ οἷον [r] ὁ ἥλιος καθ' αὑτὸν μὲν
14 λευκὸς φαίνεται, διὰ δ' ἀχλύος [s] καὶ καπνοῦ φοινικοῦς. Πολ-
λαὶ δὲ καὶ οὕτως ἔσονται χρόαι τὸν αὐτὸν τρόπον τῷ [t] πρό-
τερον εἰρημένῳ· λόγος γὰρ ἂν εἴη τις τῶν ἐπιπολῆς [v] πρὸς

[m] μικρότητα P.S.U. [n] λ. οὔτε μελαν οἷόν τε γίνεσθαι L. [o] ἔχειν μέν τι L.S.U. [p] τὸ χρῶμα M. [q] τι εἶναι] τε εἶναι P.S.U. [r] τὸ alterum om. S. [s] τέσσαρα L. [t] δὴ] δεῖ M. [v] γὰρ om. S.U, post ἀριθμοῖς ponit P. [w] χρώματος E.M. [x] τὰ] ταῦτα δ' P, om. E.M.Y. [y] ἁλουργοῦν E.M.Y. [z] καὶ τὸ φ. P.S.U. [a] καὶ om. P. [b] ἄττα] δὲ τὰ P.S.U. [c] καὶ om. L.S.U. [d] τἆλλα—ἀριθμοῖς om. E.Y. [e] καὶ om. P. [f] μὲν om. P. [g] τοιαῦτα M. [h] τὸ] τῷ S.U, om. Y. [i] γραφῆς E: ceteri γραφεῖς. [k] ποιοῦσιν ante οἱ P. [l] ἑτέρα E.M.Y. [m] ἐνεργεστέραν E.Y. [n] τι om. S.U. [o] ἐν om. P.S. [p] βούλωνταί τι ποιῆσαι P.S.U. [q] καὶ om. U. [r] ὁ om. S.U. [s] καὶ om. P. [t] προτέρῳ L. [v] πρὸς L.

[w]τὰ ἐν βάθει, τὰ δὲ καὶ ὅλως οὐκ ἐν λόγῳ. Τὸ μὲν οὖν, 15
ὥσπερ [x]καὶ οἱ ἀρχαῖοι, [y]λέγειν [z]ἀπορροίας εἶναι [a]τὰς
χροίας καὶ ὁρᾶσθαι διὰ τοιαύτην αἰτίαν ἄτοπον· [b]πάντως
γὰρ δι' ἁφῆς ἀναγκαῖον [c]αὐτοῖς ποιεῖν τὴν αἴσθησιν, ὥστ'
εὐθὺς κρεῖττον φάναι τῷ κινεῖσθαι [d]τὸ μεταξὺ τῆς αἰσθήσεως
ὑπὸ τοῦ αἰσθητοῦ γίνεσθαι τὴν αἴσθησιν, [e]ἁφῇ καὶ μὴ ταῖς
ἀπορροίαις. Ἐπὶ μὲν οὖν τῶν παρ' ἄλληλα κειμένων ἀνάγκη 16
ὥσπερ καὶ μέγεθος λαμβάνειν ἀόρατον, οὕτω καὶ χρόνον
ἀναίσθητον, ἵνα [f]λάθωσιν αἱ κινήσεις ἀφικνούμεναι καὶ ἓν
[g]δοκῇ εἶναι διὰ τὸ ἅμα φαίνεσθαι. Ἐνταῦθα δὲ οὐδεμία
ἀνάγκη, ἀλλὰ τὸ ἐπιπολῆς χρῶμα [h]ἀκίνητον ὂν καὶ κινού-
μενον ὑπὸ τοῦ ὑποκειμένου οὐχ ὁμοίαν ποιήσει τὴν κίνησιν.
[i]Διὸ καὶ ἕτερον [k]φαίνεται καὶ οὔτε λευκὸν οὔτε μέλαν.
Ὥστ' εἰ μὴ ἐνδέχεται μηδὲν εἶναι μέγεθος ἀόρατον, [l]ἀλλὰ 17
πᾶν ἔκ τινος [m]ἀποστήματος ὁρατόν, καὶ αὕτη [n]τις ἂν εἴη
[o]χρωμάτων μίξις. Κἀκείνως δ' οὐδὲν [p]κωλύει φαίνεσθαί
τινα χρόαν [q]κοινὴν τοῖς πόρρωθεν· ὅτι [r]γὰρ οὐκ ἔστιν οὐδὲν
μέγεθος ἀόρατον, ἐν τοῖς ὕστερον ἐπισκεπτέον. Εἰ δ' ἐστὶ 18
μίξις τῶν σωμάτων μὴ μόνον τὸν τρόπον τοῦτον ὅνπερ οἴον-
ταί [s]τινες, παρ' ἄλληλα τῶν ἐλαχίστων τιθεμένων, ἀδήλων
δ' ἡμῖν διὰ τὴν αἴσθησιν, ἀλλ' ὅλως [t]πάντῃ [v]πάντως, ὥσπερ
ἐν [w]τοῖς περὶ μίξεως εἴρηται καθόλου περὶ πάντων. Ἐκείνως 19
μὲν γὰρ μίγνυται [x]ταῦτα μόνον ὅσα ἐνδέχεται διελεῖν εἰς τὰ
ἐλάχιστα, καθάπερ ἀνθρώπους [y]ἵππους ἢ τὰ σπέρματα· τῶν
μὲν γὰρ ἀνθρώπων [z]ἄνθρωπος [a]ἐλάχιστος, τῶν δ' ἵππων
[b]ἵππος· ὥστε τῇ τούτων παρ' ἄλληλα θέσει [c]τὸ πλῆθος

[w] τὸ ἐν S.U. [x] καὶ om. L.P.S.U. [y] λέγουσιν P. [z] ἀπόρροιαν S.U, ἀπορίαν P. [a] τὰς χρόας L, τῆς χρόας pr. S, τὴν χρόαν P.U. et rc. S. [b] ἁπάντων L.P.S.U. [c] αὐτοῖς post αἴσθησιν L. [d] τὸ] τῷ M. [e] ἁφῇ καὶ μὴ ταῖς] ἢ ἁφῇ καὶ ταῖς L, ἢ ἁφῇ καὶ S.U, ἡ ἁφὴ καὶ P. [f] λανθάνωσιν P.S.U. [g] δοκεῖ M. [h] κινητὸν E.M.Y. [i] διὸ καὶ] διὰ τὸ S.U, διὸ E.M.P. [k] φαίνεσθαι S.U, φανεῖται P. [l] ἀλλ' ἅπαν P. [m] διαστήματος L. [n] τι Y. [o] μίξις χρωμάτων U. [p] κωλύσει P.S.U. [q] κοινῇ S.U. [r] γὰρ οὐδέν ἐστι L. [s] τινες μόνον παρ' P. [t] παντὶ P.Y. [v] παντὸς P. [w] τῷ L. [x] ταῦτα μόνον] μόνως S.U. [y] ἵπποις P. [z] ἄνθρωπον E.M.Y. [a] ἐλάχιστον E.M.U. [b] ἵππον E.M.Y. [c] τὸ μὲν πλῆθος M.

[d] *μέμικται τῶν συναμφοτέρων· ἄνθρωπον δὲ ἕνα* [e] *ἑνὶ ἵππῳ*
20 *οὐ λέγομεν μεμῖχθαι. Ὅσα δὲ μὴ διαιρεῖται εἰς τὸ ἐλάχι-*
*στον,* [f] *τούτων οὐκ ἐνδέχεται μίξιν γενέσθαι τὸν τρόπον τοῦ-*
*τον ἀλλὰ τῷ* [g] *πάντῃ μεμῖχθαι, ἅπερ καὶ μάλιστα* [h] *μίγνυ-*
*σθαι πέφυκεν. Πῶς δὲ* [i] *τοῦτο γίγνεσθαι δυνατόν, ἐν τοῖς*
21 *περὶ μίξεως εἴρηται πρότερον.* [k] *Ἀλλ' ὅτι ἀνάγκη μιγνυ-*
*μένων καὶ τὰς χρόας μίγνυσθαι, δῆλον, καὶ ταύτην τὴν* [l] *αἰ-*
*τίαν εἶναι κυρίαν* [m] *τοῦ πολλὰς εἶναι* [n] *χροίας, ἀλλὰ μὴ τὴν*
*ἐπιπόλασιν μηδὲ τὴν* [o] *παρ' ἄλληλα θέσιν· οὐ γὰρ πόρρωθεν*
*μὲν ἐγγύθεν δ' οὔ* [p] *φαίνεται μία χρόα τῶν* [q] *μεμιγμένων,*
22 *ἀλλὰ πάντοθεν. Πολλαὶ δ' ἔσονται χρόαι διὰ* [r] *τὸ κατὰ*
*πολλοὺς λόγους ἐνδέχεσθαι μίγνυσθαι ἀλλήλοις τὰ* [s] *μιγνύ-*
*μενα, καὶ τὰ μὲν ἐν ἀριθμοῖς τὰ δὲ καθ' ὑπεροχὴν μόνον.*
23 Καὶ *τἆλλα* [t] *δὴ τὸν αὐτὸν τρόπον ὅν*[v]*περ ἐπὶ τῶν παρ' ἄλ-*
*ληλα τιθεμένων χρωμάτων ἢ ἐπιπολῆς, ἐνδέχεται λέγειν καὶ*
[w] *περὶ* [x] *τῶν μιγνυμένων· διὰ τίνα δ' αἰτίαν εἴδη τῶν χρωμά-*
*των ἐστὶν ὡρισμένα καὶ οὐκ ἄπειρα, καὶ χυμῶν καὶ ψόφων,*
*ὕστερον* [y] *ἐροῦμεν.*

4 Τί [z] *μὲν οὖν* [a] *ἐστὶ χρῶμα καὶ διὰ τίν' αἰτίαν πολλαὶ*
[b] *χροιαί εἰσιν, εἴρηται· περὶ δὲ ψόφου καὶ φωνῆς εἴρηται πρό-*
*τερον ἐν τοῖς περὶ ψυχῆς· περὶ δὲ ὀσμῆς καὶ χυμοῦ* [c] *νῦν λε-*
*κτέον. Σχεδὸν γάρ ἐστι τὸ αὐτὸ πάθος, οὐκ ἐν τοῖς* [d] *αὐτοῖς*
2 *δ' ἐστὶν ἑκάτερον αὐτῶν. Ἐναργέστερον δ'* [e] *ἐστὶν ἡμῖν τὸ τῶν*
*χυμῶν γένος ἢ τὸ τῆς ὀσμῆς. Τούτου δ' αἴτιον ὅτι χειρίστην*
*ἔχομεν τῶν* [f] *ἄλλων ζῴων τὴν* [g] *ὄσφρησιν καὶ τῶν ἐν ἡμῖν*
*αὐτοῖς αἰσθήσεων, τὴν δ' ἁφὴν ἀκριβεστάτην τῶν ἄλλων*

[d] *μέμικται τὸ τῶν* P. [e] *ἑνὶ*] *ἑνὶ δὲ* S. [f] *τούτων δὲ οὐκ* P. [g] *παντὶ* E.Y, *πᾶν παντὶ* U, *πάμπαν* P, *πάμπαν τι* S. [h] *πέφυκε μίγνυσθαι* L. [i] *τοῦτο μάλιστα γίγνεσθαι* L. [k] *ἀλλ' ὅτι*] *ἀλλὰ τίς* E.L.M.Y, *ἅμα δέ τις* P. [l] *αἰτίαν*] *οἰκείαν* Y. et pr. E. [m] *τοῦ*] *τοῦτο* L. [n] *χρόας* L.P.S. [o] *πρὸς* S. [p] *φανεῖται* L.S.U. [q] *μιγνυμένων* L. [r] *τὸ πολλοῖς λόγοις* E.M.Y. [s] *φαινόμενα* L. [t] *δὲ* Y. [v] *περ* om. L. [w] *περὶ μὲν τῶν μιγνυμένων καὶ ἐν ἄλλοις διώρισται, διὰ* L. et pr. U. [x] *τῶν* om. L. [y] *ἐροῦμεν*] *ἐπισκεπτέον* P.S.U. [z] *μὲν* om. L. [a] *χρῶμά ἐστι* P. [b] *χρόαι* P.U. [c] *νῦν* om. P.S.U. [d] *δ' αὐτοῖς δ'* S. [e] *ἡμῖν ἐστὶ* L.P.S.U. [f] *ἄλλων* om. P.S.U. [g] *ὄσφρησιν*] *αἴσθησιν ταύτην* L.

ζῴων. ʽΗ δὲ γεῦσις ἁφή τις ἐστίν. ʽΗ μὲν οὖν τοῦ ὕδατος φύ- 3
σις βούλεται [h] ἄχυμος εἶναι· ἀνάγκη [i] δ' ἢ ἐν αὐτῷ τὸ ὕδωρ
ἔχειν τὰ γένη τῶν χυμῶν ἀναίσθητα διὰ [k] μικρότητα, καθά-
περ ʽἘμπεδοκλῆς φησίν, ἢ ὕλην τοιαύτην [l] ἐνεῖναι οἷον παν-
σπερμίαν χυμῶν, καὶ ἅπαντα μὲν ἐξ ὕδατος γίγνεσθαι, [m] ἄλλα
δ' ἐξ ἄλλου μέρους, ἢ μηδεμίαν [n] ἔχοντος διαφορὰν τοῦ ὕδα-
τος τὸ ποιοῦν αἴτιον εἶναι, οἷον εἰ τὸ θερμὸν καὶ τὸν ἥλιον
φαίη τις. Τούτων δ', ὡς μὲν ʽἘμπεδοκλῆς λέγει, λίαν εὐσύν- 4
οπτον τὸ ψεῦδος· ὁρῶμεν γὰρ μεταβάλλοντας ὑπὸ τοῦ
θερμοῦ τοὺς χυμοὺς ἀφαιρουμένων τῶν περικαρπίων εἰς τὸν
ἥλιον καὶ [o] πυρουμένων, ὡς [p] οὐ τῷ ἐκ τοῦ ὕδατος ἕλκειν τοι-
ούτους [q] γινομένους, ἀλλ' ἐν αὐτῷ τῷ περικαρπίῳ μεταβάλ-
λοντας, καὶ [r] ἐξικμαζομένους δὲ καὶ [s] κειμένους, διὰ τὸν χρό-
νον, [t] αὐστηροὺς ἐκ γλυκέων καὶ πικροὺς [v] καὶ παντοδαποὺς
γινομένους, καὶ ἑψομένους, [w] εἰς πάντα τὰ γένη τῶν χυμῶν
[x] ὡς εἰπεῖν μεταβάλλοντας. ʽΟμοίως δὲ καὶ τὸ [y] πανσπερ- 5
μίας [z] εἶναι τὸ ὕδωρ ὕλην ἀδύνατον· ἐκ τοῦ αὐτοῦ γὰρ ὁρῶ-
μεν ὡς [a] ἐκ τῆς αὐτῆς τροφῆς γινομένους ἑτέρους χυμούς.
Λείπεται [b] δὴ τῷ πάσχειν τι τὸ ὕδωρ μεταβάλλειν. ʽΟτι 6
μὲν τοίνυν οὐχ ὑπὸ τῆς τοῦ [c] θερμοῦ δυνάμεως λαμβάνει ταύ-
την τὴν δύναμιν ἣν καλοῦμεν χυμόν, φανερόν· λεπτότατον
γὰρ [d] τῶν πάντων ὑγρῶν τὸ ὕδωρ ἐστί, καὶ αὐτοῦ [e] τοῦ
ἐλαίου. ʽἈλλ' ἐπεκτείνεται ἐπὶ [f] πλεῖον τοῦ ὕδατος τὸ
ἔλαιον διὰ τὴν γλισχρότητα. Τὸ δ' ὕδωρ ψαθυρόν ἐστι·
διὸ καὶ [g] χαλεπώτερον φυλάξαι ἐν τῇ χειρὶ [h] ὕδωρ ἢ ἔλαιον.
ʽἘπεὶ δὲ θερμαινόμενον οὐδὲν φαίνεται παχυνόμενον τὸ ὕδωρ 7
αὐτὸ μόνον, δῆλον ὅτι ἑτέρα τις ἂν εἴη αἰτία· οἱ γὰρ χυμοὶ

[h] χυμὸς P. [i] δ' ἢ] δ' εἰ P, δὴ E.M.Y. [k] σμικρότητα L. [l] εἶναι E.M.Y, δ' ἐνεῖναι S. [m] ἄλλο P.S.U. [n] ἔχοντας E. [o] πυρωμένων P. [p] οὐ τῷ] οὕτως Y. [q] γενομένους L.M. [r] ἐξικμασμένους S.U. [s] κινουμένους L.S.U. et pr. P. [t] αὐστηροτέρους S. [v] καὶ post πικροὺς om. P. [w] εἰς] καὶ εἰς P. [x] μεταβάλλοντας ὡς εἰπεῖν L. [y] πανσπερμίαν L.U.Y. [z] ὕλην εἶναι τὸ ὕδωρ P.S. [a] ἐκ τῆς αὐτῆς om. E.M.Y, αὐτῆς om. P. [b] δὲ E.M.P.S.U.Y. [c] θερμοῦ μόνον δυνάμεως L.P. [d] πάντων τῶν L.P.S.U. [e] τοῦ om. L. [f] πλέον L.M. [g] χαλεπώτερόν ἐστι φυλάξαι S.U. [h] ὕδωρ ἢ] τὸ ὕδωρ ἤπερ E.L.M.Y.

[k] πάντες πάχος ἔχουσι μᾶλλον· τὸ δὲ θερμὸν συναίτιον.
Φαίνονται δ' οἱ χυμοὶ ὅσοιπερ [l] καὶ ἐν [m] τοῖς περικαρπίοις,
8 [n] οὗτοι ὑπάρχοντες καὶ ἐν τῇ γῇ. Διὸ καὶ πολλοί φασι
τῶν ἀρχαίων φυσιολόγων τοιοῦτον εἶναι τὸ ὕδωρ δι' [o] οἵας
ἂν [p] γῆς πορεύηται. Καὶ τοῦτο δῆλόν ἐστιν ἐπὶ τῶν ἁλμυ-
ρῶν ὑδάτων [q] μάλιστα· οἱ γὰρ ἅλες γῆς [r] τι εἶδός [s] εἰσιν.
[t] Καὶ [v] τὰ διὰ τῆς τέφρας διηθούμενα πικρᾶς οὔσης πικρὸν
9 ποιεῖ τὸν [w] χυμόν. Εἰσί [x] τε κρῆναι [y] πολλαὶ αἱ μὲν πικραί,
αἱ δ' ὀξεῖαι, αἱ δὲ παντοδαποὺς [z] ἔχουσαι χυμοὺς ἄλλους.
[a] Εὐλόγως δ' ἐν τοῖς φυομένοις τὸ τῶν χυμῶν [b] γίνεται
γένος μάλιστα. Πάσχειν γὰρ πέφυκε τὸ ὑγρόν, ὥσπερ καὶ
τἆλλα, ὑπὸ τοῦ ἐναντίου· ἐναντίον δὲ τὸ ξηρόν. Διὸ καὶ
ὑπὸ τοῦ πυρὸς πάσχει τι· ξηρὰ γὰρ [c] ἡ τοῦ πυρὸς φύσις.
10 Ἀλλ' ἴδιον τοῦ πυρὸς τὸ θερμόν ἐστι, γῆς δὲ τὸ ξηρόν,
ὥσπερ εἴρηται ἐν τοῖς [d] περὶ στοιχείων. [e] Ἧι μὲν οὖν πῦρ
καὶ [f] ἡ γῆ, οὐδὲν πέφυκε ποιεῖν [g] ἢ πάσχειν, οὐδ' ἄλλο οὐδέν·
[h] ᾗ δ' [i] ὑπάρχει ἐναντιότης [k] ἐν ἑκάστῳ, ταύτῃ πάντα [l] καὶ
11 ποιοῦσι καὶ πάσχουσιν. Ὥσπερ οὖν οἱ ἐναποπλύνοντες [m] ἐν
τῷ ὑγρῷ [n] τὰ χρώματα καὶ τοὺς χυμοὺς [o] τοιοῦτον ἔχειν
ποιοῦσι τὸ ὕδωρ, οὕτω καὶ ἡ φύσις τὸ ξηρὸν καὶ [p] τὸ γεῶδες,
καὶ διὰ [q] τοῦ ξηροῦ [r] καὶ γεώδους διηθοῦσα [s] καὶ κινοῦσα τῷ
12 θερμῷ ποιόν τι τὸ ὑγρὸν παρασκευάζει. Καὶ ἔστι τοῦτο
χυμὸς τὸ [t] γιγνόμενον ὑπὸ τοῦ εἰρημένου [v] ξηροῦ πάθος ἐν
τῷ ὑγρῷ τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέρ-

[k] πάντες om. U. [l] καὶ om. L.P. [m] τῷ περικαρπίῳ L. [n] ὑπάρχοντες οὗτοι S.U. [o] οἵας] ἧς S.U. [p] πορεύηται γῆς L. [q] μάλιστα om. S.U. [r] τι om. U. [s] ἐστί E.M.P. [t] καὶ] διὸ καὶ L.S.U. [v] τὰ om. M. [w] χυμὸν καὶ τὰ διὰ τῶν ἄλλων (ἁλῶν corr. S.) ὁμοίως. εἰσί L.S. [x] τε] δὲ καὶ P.S.U. [y] πολλαί om. L. [z] ἔχουσι L. [a] εὐλόγως δὴ P, διὸ εὐλόγως L.S.U. [b] γίνεται μάλιστα γένος P, μάλιστα γίνεται γένος L, γένος γίνεται μάλιστα M. [c] ἡ φύσις τοῦ πυρός P. [d] περὶ τῶν στοιχείων P. [e] ᾗ] εἰ Y. [f] ἡ Y. [g] ἢ] καὶ E.M.Y, οὐδὲ P.U. et corr. S, δὲ pr. S. [h] ᾗ] εἰ Y. [i] ὑπάρχει] ὑπάρχει ἐν αὐτοῖς L.P. [k] ἐν om. S. [l] καὶ om. L. [m] ἐν om. P. [n] τὰ] καὶ τὰ P.S.U. [o] τοιοῦτον ποιοῦσιν ἔχειν L, ποιοῦσι τοιοῦτον ἔχειν P.S.U. [p] τὸ post καὶ om. P.S.U. [q] τοῦ om. Y. [r] καὶ τοῦ γεώδους L. [s] τῷ θερμῷ καὶ κινοῦσα P. [t] γενόμενον U. [v] ξηροῦ πάθους M, πάθος ξηροῦ L.

γειαν· ἄγει γὰρ τὸ αἰσθητικὸν εἰς τοῦτο δυνάμει προϋπάρ-
χον· οὐ [w] γὰρ κατὰ τὸ μανθάνειν ἀλλὰ κατὰ τὸ θεωρεῖν
ἐστὶ τὸ αἰσθάνεσθαι. Ὅτι δ' οὐ παντὸς ξηροῦ ἀλλὰ τοῦ 13
τροφίμου οἱ χυμοὶ ἢ πάθος εἰσὶν ἢ [x] στέρησις, δεῖ λαβεῖν
ἐντεῦθεν, ὅτι οὔτε τὸ ξηρὸν ἄνευ τοῦ ὑγροῦ [y] οὔτε τὸ ὑγρὸν
ἄνευ τοῦ ξηροῦ· τροφὴ γὰρ [z] οὐδὲν αὐτῶν τοῖς [a] ζῴοις, ἀλλὰ
[b] τὸ μεμιγμένον. Καὶ ἔστι τῆς προσφερομένης τροφῆς τοῖς 14
ζῴοις τὰ μὲν ἁπτὰ τῶν αἰσθητῶν αὔξησιν ποιοῦντα καὶ φθί-
σιν· τούτων [c] μὲν γὰρ αἴτιον [d] ᾗ θερμὸν [e] καὶ ψυχρὸν τὸ
προσφερόμενον· [f] ταῦτα γὰρ ποιεῖ καὶ αὔξησιν καὶ φθίσιν·
τρέφει δὲ ᾗ γευστὸν τὸ προσφερόμενον· πάντα γὰρ τρέ-
φεται τῷ γλυκεῖ, ἢ ἁπλῶς ἢ [g] μεμιγμένως. Δεῖ μὲν οὖν [h] διο- 15
ρίζειν περὶ τούτων ἐν [i] τοῖς περὶ γενέσεως, νῦν δ' ὅσον
ἀναγκαῖον ἅψασθαι αὐτῶν. Τὸ γὰρ [k] θερμὸν αὔξάνει καὶ
δημιουργεῖ τὴν τροφήν, [l] καὶ τὸ [m] μὲν κοῦφον ἕλκει, τὸ δ'
ἁλμυρὸν καὶ πικρὸν καταλείπει [n] διὰ βάρος. Ὃ δὴ ἐν τοῖς
ἔξω σώμασι ποιεῖ τὸ ἔξω θερμόν, [o] τοῦτο ἐν τῇ φύσει τῶν
ζῴων καὶ φυτῶν· διὸ τρέφεται τῷ γλυκεῖ. Συμμίγνυνται 16
δ' οἱ ἄλλοι χυμοὶ εἰς [p] τὴν τροφὴν τὸν αὐτὸν τρόπον τῷ
ἁλμυρῷ καὶ ὀξεῖ, ἀντὶ ἡδύσματος. Ταῦτα δὲ διὰ τὸ [q] ἀντι-
σπᾶν [r] τῷ λίαν τρόφιμον εἶναι τὸ γλυκὺ [s] καὶ [t] ἐπιπολα-
στικόν. Ὥσπερ δὲ τὰ χρώματα [v] ἐκ λευκοῦ καὶ μέλανος
[w] μίξεώς ἐστιν, οὕτως [x] οἱ χυμοὶ ἐκ γλυκέος καὶ πικροῦ.
[y] Καὶ κατὰ λόγον δὴ [z] τῷ μᾶλλον καὶ ἧττον [a] ἕκαστοί εἰσιν, 17

[w] γὰρ ante ἀλλὰ P. [x] στερήσεις P.S.U. [y] οὔτε—ξηροῦ om. M. [z] οὐδὲν αὐτῶν] οὐδ' αὐτοῖς E.M.Y, οὐχ ἓν U, οὐχ ἓν μόνον S, οὐδὲν αὐτοῖς ζώοις οὐχ ἓν μόνον (additis nihilo minus τοῖς ζώοις) P. [a] ζώοις] ζώοις οὐδὲ αὖ τοῖς φυτοῖς margo U. [b] τὸ μιγνύμενον L, τοῖς μεμιγμένοις. οὐδὲ αὖ τοῖς φυτοῖς ἀλλὰ τοῖς μεμιγμένοις P. [c] μὲν γὰρ] γὰρ τὸ μὲν S.U. [d] ᾗ] ἢ U, εἰ Y, om. P. [e] καὶ] ἢ S.U, ἢ καὶ P. [f] ταῦτα—προσφερόμενον om. pr. U. [g] μεμιγμένῳ P.S.U. [h] περὶ τούτων διορίζειν P. [i] τῷ L. [k] θερμὸν ὃ αὐξάνει S.U. [l] καὶ τὸ] τῷ τὸ P, qui mox ἕλκειν et καταλείπειν. [m] μὲν om. E.P.S.U.Y. [n] διὰ τὸ βάρος L.P.U. [o] τοῦτο τὸ ἐν P.S.U. [p] τὴν om. L. [q] ἀντιπάν E, ἀντὶ πάντων Y. [r] τῷ] τῶν M, om. E.Y. [s] καὶ τὸ ἐπ. L. [t] ἐπιπολαυστικόν Y. [v] ἐκ τῆς τοῦ λευκοῦ L. [w] ἐστι μίξεως L, μίξεώς εἰσι P. [x] οἱ] καὶ οἱ S. [y] καὶ post πικροῦ om. S. [z] τὸ Y. [a] ἕκαστός M.

*εἴτε κατ' ἀριθμούς τινας τῆς μίξεως καὶ κινήσεις, εἴτε καὶ*
*ἀορίστως. Οἱ δὲ τὴν ἡδονὴν ποιοῦντες μιγνύμενοι, [b] οὗτοι*
*ἐν ἀριθμοῖς μόνον.* ʽΟ [c] *μὲν οὖν λιπαρὸς τοῦ γλυκέος ἐστὶ*
*χυμός, τὸ δ' ἁλμυρὸν καὶ πικρὸν σχεδὸν τὸ αὐτό, ὁ δὲ [d] αὐ-*
18 *στηρὸς καὶ δριμὺς καὶ στρυφνὸς καὶ ὀξὺς ἀνὰ μέσον. Σχε-*
*δὸν γὰρ ἴσα καὶ τὰ τῶν χυμῶν εἴδη [e] καὶ τὰ τῶν χρωμάτων*
*ἐστίν.* ʽΕπτὰ *γὰρ [f] ἀμφοτέρων εἴδη, [g] ἄν τις [h] τιθῇ, ὥσπερ*
*εὔλογον, τὸ φαιὸν μέλαν τι εἶναι· λείπεται γὰρ τὸ ξανθὸν*
*μὲν τοῦ λευκοῦ εἶναι ὥσπερ τὸ λιπαρὸν τοῦ γλυκέος, [i] τὸ*
*φοινικοῦν δὲ καὶ [k] ἁλουργὸν καὶ [l] πράσινον καὶ κυανοῦν [m] με-*
*ταξὺ τοῦ λευκοῦ [n] καὶ μέλανος, τὰ δ' ἄλλα [o] μικτὰ ἐκ τούτων.*
19 [p] Καὶ *ὥσπερ τὸ μέλαν στέρησις ἐν τῷ διαφανεῖ τοῦ λευκοῦ,*
*οὕτω τὸ ἁλμυρὸν [q] καὶ πικρὸν τοῦ γλυκέος ἐν τῷ τροφίμῳ*
*ὑγρῷ. Διὸ καὶ ἡ τέφρα τῶν [r] κατακαομένων πικρὰ πάντων·*
*ἐξίκμασται γὰρ τὸ πότιμον ἐξ αὐτῶν. Δημόκριτος δὲ καὶ*
*οἱ πλεῖστοι τῶν φυσιολόγων, ὅσοι λέγουσι περὶ αἰσθήσεως,*
*ἀτοπώτατόν [s] τι ποιοῦσιν· πάντα γὰρ τὰ [t] αἰσθητὰ ἁπτὰ*
20 *ποιοῦσιν.* Καίτοι [v] *εἰ [w] οὕτω τοῦτ' ἔχει, δῆλον [x] ὡς καὶ τῶν*
*ἄλλων αἰσθήσεων ἑκάστη ἁφή τις ἐστίν· τοῦτο δ' [y] ὅτι ἀδύ-*
*νατον, οὐ χαλεπὸν συνιδεῖν.* ʼΈτι *δὲ τοῖς κοινοῖς τῶν αἰσθή-*
*σεων πασῶν χρῶνται ὡς ἰδίοις· μέγεθος γὰρ καὶ σχῆμα καὶ*
*τὸ τραχὺ καὶ [z] τὸ λεῖον, ἔτι [a] δὲ τὸ ὀξὺ [b] καὶ τὸ ἀμβλὺ τὸ*
[c] *ἐν τοῖς ὄγκοις κοινὰ τῶν αἰσθήσεών ἐστιν, εἰ δὲ μὴ πασῶν,*
21 *ἀλλ' ὄψεώς [d] γε καὶ [e] ἁφῆς. Διὸ καὶ περὶ [f] μὲν τούτων*
[g] *ἀπατῶνται, [h] περὶ δὲ τῶν ἰδίων οὐκ ἀπατῶνται, [i] οἷον ὄψις*

[b] *οὗτοι δ' ἐν* L.P.S.U. [c] *μόνος μὲν οὖν λιπαρὸς* E.M.Y. [d] *δριμὺς καὶ αὐστηρὸς* L.P. [e] *καὶ τὰ τῶν χρωμάτων—εἴδη* om. P. [f] *ἀμφοτέρων* om. L. [g] *ἐάν* P. [h] *θείη ὥστε εὔλογον τὸ φαιὸν λευκόν τι εἶναι· ἕπεται* E.M.Y. [i] *τὸ* ante *φοινικοῦν* om. E.M.P.Y. [k] *ἀλουργοῦν* E.M.P.Y. [l] *πρασιὸν* Y, *πράσιον* E.M.P. [m] *μεταξὺ*] *ἀναμέσον* E.M.Y. [n] *καὶ τοῦ μέλανος* P.S. [o] *μικτὰ ἐκ*] *μεταξὺ* E.M.P. [p] *καὶ* om. U. [q] *καὶ τὸ πικρὸν* L.S.U. [r] *κατακαιομένων* L.U, *καομένων* E.M.P. [s] *τι* om. L.S.U. [t] *ἁπτὰ αἰσθητὰ* P. [v] *εἰ*] *εἰ καὶ* E.M P. [w] *τοῦτο οὕτως* E.M.S.Y. [x] *ὡς*] *ὅτι* L.P.U. [y] *ὅτι ἐστὶν ἀδύνατον* L.S.U. [z] *τὸ* ante *λεῖον* om. L. [a] *δὲ καὶ τὸ* P. [b] *καὶ*] *ἢ* L. [c] *ἐν* om. M. [d] *γε*] *τε* E.M.S.Y. [e] *ἀκοῆς* E.M. [f] *μὲν* om. L.P.S.U. [g] *ἀπαιτῶνται* L. [h] *περὶ—ἀπατῶνται* om. M. [i] *οἷον ἡ ὄψις π. χρ. καὶ ἡ ἀκοὴ* E.M.Y.

περὶ χρώματος καὶ ἀκοὴ περὶ ψόφων. Οἱ δὲ τὰ ἴδια εἰς
[k] ταῦτα ἀνάγουσιν, ὥσπερ Δημόκριτος· τὸ [l] γὰρ λευκὸν καὶ
τὸ μέλαν τὸ μὲν τραχύ φησιν εἶναι [m] τὸ δὲ λεῖον, εἰς δὲ τὰ
σχήματα ἀνάγει τοὺς χυμούς. Καίτοι ἢ οὐδεμιᾶς ἢ μᾶλλον
τῆς ὄψεως τὰ κοινὰ γνωρίζειν. Εἰ δ' [n] ἄρα τῆς γεύσεως 22
μᾶλλον, τὰ γοῦν ἐλάχιστα τῆς ἀκριβεστάτης ἐστὶν αἰσθή-
σεως διακρίνειν περὶ ἕκαστον γένος, ὥστε ἐχρῆν τὴν γεῦσιν
καὶ τῶν ἄλλων κοινῶν [o] αἰσθάνεσθαι μάλιστα καὶ [p] τῶν σχη-
μάτων εἶναι κριτικωτάτην. [q] Ἔτι τὰ μὲν αἰσθητὰ [r] πάντα 23
ἔχει ἐναντίωσιν, οἷον ἐν χρώματι τῷ μέλανι τὸ λευκὸν καὶ ἐν
χυμοῖς [s] τῷ γλυκεῖ τὸ πικρόν· σχῆμα δὲ σχήματι οὐ δοκεῖ
εἶναι ἐναντίον· [t] τίνι γὰρ τῶν πολυγώνων περιφερὲς ἐναντί-
ον; Ἔτι ἀπείρων ὄντων τῶν σχημάτων ἀναγκαῖον καὶ τοὺς 24
χυμοὺς εἶναι ἀπείρους· διὰ τί γὰρ [v] ὁ [w] μὲν [x] ἂν [y] ποιήσειεν
αἴσθησιν, [z] ὁ δ' οὐκ ἂν ποιήσειεν; Καὶ περὶ μὲν τοῦ [a] γευστοῦ
καὶ χυμοῦ εἴρηται· τὰ γὰρ ἄλλα πάθη τῶν χυμῶν οἰκείαν
ἔχει τὴν [b] σκέψιν ἐν τῇ φυσιολογίᾳ τῇ περὶ τῶν [c] φυτῶν.

Τὸν αὐτὸν δὲ τρόπον δεῖ νοῆσαι καὶ περὶ τὰς ὀσμάς· [d] ὅπερ 5
γὰρ ποιεῖ ἐν τῷ [e] ὑγρῷ τὸ ξηρόν, τοῦτο ποιεῖ ἐν ἄλλῳ γένει
τὸ ἔγχυμον ὑγρόν, ἐν ἀέρι καὶ ὕδατι ὁμοίως. Κοινὸν δὲ
κατὰ τούτων νῦν [f] μὲν λέγομεν τὸ διαφανές, ἔστι δ' ὀσφραν-
τὸν οὐχ ᾗ διαφανές, ἀλλ' ᾗ πλυντικὸν [g] ἢ ῥυπτικὸν ἐγχύμου
ξηρότητος· οὐ γὰρ μόνον [h] ἐν ἀέρι ἀλλὰ καὶ ἐν ὕδατι τὸ τῆς
ὀσφρήσεώς ἐστιν. Δῆλον δ' ἐπὶ τῶν ἰχθύων καὶ τῶν ὀστρα- 2
κοδέρμων· [i] φαίνονται γὰρ [k] ὀσφραινόμενα οὔτε ἀέρος ὄντος

[k] ταυτὰ P. [l] γὰρ] μὲν P. γὰρ ante τραχὺ ponunt E.M.Y. [m] τὸ δὲ λεῖον εἶναι P. [n] ἄρα] ἄλλα S. [o] μάλιστα αἰσθάνεσθαι L. [p] τῶν ἄλλων σχημάτων L.S. [q] ἔτι τὰ] ἑπτὰ P. [r] ἅπαντα S. [s] τὸ γλυκὺ τῷ πικρῷ L. [t] τίνι—ἐναντίον om. pr. S. [v] ὁ] ἂν τὸ P. [w] μὲν] μὲν τῶν χυμῶν L.S.U. [x] ἂν om. L.P.S.U. [y] αἴσθησιν ποιήσει L.S.U. [z] ὁ] τὸ P. [a] χυμοῦ καὶ γευστοῦ L. [b] σκέψιν] ἀπόδοσιν E.M.Y. [c] post φυτῶν Q.Y.Ga.c.f. ἀριστοτέλους περὶ αἰσθήσεως καὶ αἰσθητῶν βιβλίον δεύτερον, l. et margo i. περὶ αἰσθήσεως καὶ αἰσθητῶν δεύτερον, margo M. ἀρχὴ τοῦ δευτέρου, m. (qui incipit ab illis sect. 18. καὶ πράσινον) ἀρχὴ τοῦ β. [d] ὃ E.S. [e] ξηρῷ τὸ ὑγρὸν S. [f] μὲν om. P.Y. [g] ἢ] καὶ L.U. [h] ἐν ante ἀέρι om. P. [i] φαίνεται M. et pr. E.Y. [k] ὀσφραινόμενοι L.

ἐν τῷ ὕδατι (ἐπιπολάζει γὰρ [l] ὁ ἀήρ, ὅταν ἐγγένηται) οὔτ'
[m] αὐτὰ ἀναπνέοντα. Εἰ οὖν [n] τις θείη καὶ τὸν ἀέρα καὶ τὸ
ὕδωρ ἄμφω ὑγρά, εἴη ἂν ἡ ἐν ὑγρῷ τοῦ ἐγχύμου ξηροῦ φύσις
3 ὀσμή, καὶ ὀσφραντὸν τὸ τοιοῦτον. ‖Ὅτι δ' [o] ἄπαν χυμοῦ
ἐστὶ τὸ πάθος, δῆλον ἐκ τῶν ἐχόντων [p] καὶ μὴ ἐχόντων
ὀσμήν· τά τε γὰρ στοιχεῖα ἄοσμα, οἷον πῦρ [q] ἀὴρ ὕδωρ [r] γῆ,
διὰ τὸ τά τε [s] ξηρὰ αὐτῶν καὶ τὰ ὑγρὰ ἄχυμα εἶναι, ἐὰν μή
4 τι μιγνύμενον ποιῇ. Διὸ καὶ ἡ θάλαττα ἔχει ὀσμήν· ἔχει
γὰρ χυμὸν καὶ ξηρότητα. Καὶ ἅλες μᾶλλον [t] λίτρου ὀσμώ-
δεις· δηλοῖ δὲ τὸ [v] ἐξικμαζόμενον ἐξ αὐτῶν ἔλαιον· τὸ δὲ
[w] λίτρον γῆς ἐστὶ μᾶλλον. [x] ‖Ἔτι λίθος μὲν [y] ἄοσμον,
ἄχυμον γάρ, τὰ δὲ ξύλα ὀσμώδη, [z] ἔγχυμα γάρ· καὶ τούτων
5 τὰ ὑδατώδη ἧττον. [a] ‖Ἔτι τῶν μεταλλευομένων χρυσὸς
ἄοσμον, ἄχυμον γάρ, ὁ δὲ χαλκὸς καὶ [b] ὁ σίδηρος [c] ὀσμώδη.
‖Ὅταν δ' ἐκκαυθῇ τὸ ὑγρόν, [d] ἀοσμότεραι αἱ σκωρίαι γίγνονται
πάντων. ‖Ἄργυρος δὲ καὶ καττίτερος τῶν μὲν μᾶλλον
6 [e] ὀσμώδη τῶν δ' ἧττον· ὑδατώδη γάρ. Δοκεῖ [f] δ' ἐνίοις ἡ
καπνώδης ἀναθυμίασις εἶναι ὀσμή, οὖσα κοινὴ γῆς [g] τε καὶ
ἀέρος. Καὶ πάντες ἐπιφέρονται ἐπὶ τοῦτο περὶ ὀσμῆς· διὸ
καὶ ‖Ἡράκλειτος οὕτως εἴρηκεν, ὡς εἰ πάντα τὰ ὄντα καπνὸς
7 [h] γένοιτο, ῥῖνες ἂν [i] διαγνοῖεν. [k] ‖Ἐπὶ δὲ τὴν ὀσμὴν πάντες
ἐπιφέρονται οἱ μὲν ὡς ἀτμίδα, οἱ δ' ὡς ἀναθυμίασιν, οἱ δ' [l] ὡς
ἄμφω ταῦτα. ‖Ἔστι δ' ἡ [m] μὲν ἀτμὶς ὑγρότης [n] τις, ἡ δὲ
καπνώδης ἀναθυμίασις, ὥσπερ εἴρηται, [o] κοινὸν ἀέρος καὶ γῆς·
[p] καὶ συνίσταται ἐκ μὲν ἐκείνης ὕδωρ, ἐκ δὲ ταύτης γῆς τι

[l] ὁ om. P. [m] *αὐτοὶ ἀναπνέοντες* L. [n] *τι* P. [o] *ἄπαν χυμοῦ*] *ἀπ' ἐγχύμου* L.P.S.U. [p] *καὶ μὴ ἐχόντων* om. P. [q] *ἀὴρ* post *ὕδωρ* P, om. L.S. [r] *γῆ* ante *ὕδωρ* E.M, om. Y. [s] *ὑγρὰ καὶ ξηρὰ αὐτῶν* E.M.S.Y. [t] *νίτρου* L.M.P.S.U. et rc. E.Y. [v] *ἐξικμάζον* E.M.P.Y. et pr. S. [w] *νίτρον* L.M.P.S.U. [x] *ἔτι δὲ λίθος* L. *ἔτι λίθος μὲν* om. pr. U. [y] *ἄοσμος ἄχυμος* L. [z] *ἔγχυμα—σίδηρος ὀσμώδη* om. pr. S. [a] *ἔτι ἐπὶ τῶν* E.M.U.Y. [b] *ὁ* om. P.U. et rc. S. [c] *ὀσμώδης* P, *ὀσμώδεις* U. [d] *ἀοδμότεραι* P. [e] *ὀσμώδεις* S.U. [f] *δ'*] *γὰρ* P. [g] *τε* om. L.P.S.U. [h] *γένοιτο ὅτι ῥῖνες* E.M.P.Y. [i] *διαγνῶεν* S.U. [k] *ἐπεὶ* E.M. [l] *ὡς*] *καὶ* L, om. E.M.S.U.Y. [m] *μὲν* om. U. [n] *τις* om. S.U. [o] *κοινὴ* L.S. [p] *καὶ* post *γῆς* om. M.

εἶδος. Ἀλλ' οὐδέτερον τούτων ἔοικεν· ἡ μὲν γὰρ ἀτμὶς 8
ἐστιν ὕδατος, ἡ δὲ καπνώδης ἀναθυμίασις [q]ἀδύνατος [r]ἐν ὕδατι
γενέσθαι. Ὀσμᾶται δὲ καὶ τὰ ἐν [s]τῷ ὕδατι, [t]ὥσπερ εἴρη-
ται πρότερον. Ἔτι ἡ ἀναθυμίασις ὁμοίως λέγεται ταῖς
[v]ἀπορροίαις. Εἰ οὖν [w]μηδ' ἐκείνη καλῶς, οὐδ' αὕτη καλῶς.
Ὅτι μὲν οὖν ἐνδέχεται ἀπολαύειν τὸ ὑγρὸν καὶ τὸ ἐν τῷ 9
πνεύματι καὶ τὸ ἐν [x]τῷ ὕδατι καὶ πάσχειν τι ὑπὸ τῆς ἐγ-
χύμου ξηρότητος, οὐκ ἄδηλον· καὶ γὰρ ὁ ἀὴρ [y]ὑγρὸν τὴν
φύσιν ἐστίν. [z]Ὅτι δ' ὁμοίως ἐν τοῖς ὑγροῖς ποιεῖ καὶ ἐν
τῷ ἀέρι οἷον ἀποπλυνόμενον τὸ ξηρόν, φανερόν. [a]Ἔτι δεῖ
ἀνάλογον εἶναι τὰς ὀσμὰς τοῖς χυμοῖς. Ἀλλὰ μὴν τοῦτό 10
γε ἐπ' ἐνίων συμβέβηκεν· καὶ γὰρ δριμεῖαι καὶ γλυκεῖαί εἰσιν
ὀσμαὶ καὶ αὐστηραὶ καὶ στρυφναὶ καὶ λιπαραί, καὶ [b]τοῖς
πικροῖς τὰς σαπρὰς ἄν τις ἀνάλογον [c]εἴποι. Διὸ ὥσπερ
[d]ἐκεῖνα δυσκατάποτα, τὰ σαπρὰ δυσανάπνευστά ἐστιν. Δῆ-
λον ἄρα [e]ὅτι ὅπερ ἐν τῷ ὕδατι [f]ὁ χυμός, τοῦτ' ἐν τῷ ἀέρι
[g]καὶ ὕδατι ἡ ὀσμή. Καὶ διὰ τοῦτο τὸ ψυχρὸν καὶ ἡ [h]πῆξις 11
[i]καὶ τοὺς χυμοὺς ἀμβλύνει καὶ τὰς ὀσμὰς ἀφανίζει· τὸ γὰρ
θερμὸν τὸ κινοῦν καὶ δημιουργοῦν ἀφανίζουσιν ἡ ψύξις καὶ
ἡ πῆξις. Εἴδη δὲ τοῦ ὀσφραντοῦ δύο [k]ἐστίν· οὐ γὰρ ὥσπερ
[l]τινές φασιν, οὐκ ἔστιν εἴδη τοῦ ὀσφραντοῦ, ἀλλ' ἔστιν.
Διοριστέον [m]δὲ πῶς ἔστι καὶ πῶς οὐκ ἔστιν· τὸ μὲν γὰρ 12
ἐστι κατὰ τοὺς χυμοὺς [n]τεταγμένον αὐτῶν, ὥσπερ [o]εἴπομεν,
καὶ τὸ ἡδὺ καὶ τὸ λυπηρὸν κατὰ συμβεβηκὸς ἔχουσιν· διὰ
γὰρ τὸ [p]τοῦ θρεπτικοῦ [q]πάθη εἶναι, ἐπιθυμούντων μὲν
ἡδεῖαι [r]αἱ ὀσμαὶ τούτων εἰσί, πεπληρωμένοις δὲ καὶ [s]μηδὲν

[q] ἀδύνατον E.M. [r] γενέσθαι ἐν ὕδατι L. [s] τῷ om. L.U. [t] καθάπερ L.S.U. [v] ἀπορροαῖς U. [w] οὐδ'] μηδ' L.U. [x] τῷ om. Y. [y] ὑγρὸς S. [z] ὅτι δ'] ὅτι δέ περ E.Y, ἔτι δ' εἴπερ P.S.U, ἔτι δὲ εἰ L. [a] ὅτι L.P.S.U. [b] ταῖς πικραῖς E.M.Y. [c] εἰπεῖν S, εἴποιεν P. [d] ἐκεῖνοι δυσκατάποτοι L.S.U. [e] ὅτι om. M. [f] ὁ om. L.S. [g] καὶ τῷ ὕδατι P. [h] πῆξις] ψύξις L.U, ψύξις καὶ ἡ πῆξις S. [i] καὶ om. E.Y, καὶ τοὺς— πῆξις om. M. et pr. S. [k] εἰσίν L.P. [l] φασίν τινες L.U. [m] δὲ καὶ πῶς L. [n] τεταγμένων E.M.Y. [o] εἴπαμεν P. [p] τοῦ om. E.M.U.Y. et pr. S. [q] εἶναι πάθη P, εἶναι πάθος S, εἶναι πάθησιν L. [r] αἱ om. L.M. et pr. S. [s] μηδενὸς M, οὐθὲν P.

δεομένοις οὐχ ἡδεῖαι, οὐδ' [t] ὅσοις μὴ καὶ [v] ἡ τροφὴ ἡ ἔχουσα
13 τὰς [w] ὀσμὰς ἡδεῖα, οὐδὲ τούτοις. Ὥστε αὗται [x] μέν, [y] καθά-
περ εἴπομεν, [z] κατὰ συμβεβηκὸς ἔχουσι τὸ ἡδὺ [a] καὶ λυπηρόν,
διὸ καὶ πάντων εἰσὶ κοιναὶ τῶν ζῴων· αἱ δὲ καθ' αὑτὰς [b] ἡδεῖαι
τῶν ὀσμῶν εἰσίν, οἷον αἱ τῶν ἀνθῶν· οὐδὲν γὰρ μᾶλλον οὐδ'
ἧττον πρὸς τὴν τροφὴν παρακαλοῦσιν, οὐδὲ συμβάλλεται
πρὸς ἐπιθυμίαν οὐδέν, ἀλλὰ τοὐναντίον μᾶλλον· ἀληθὲς γὰρ
ὅπερ Εὐριπίδην [c] σκώπτων εἶπε [d] Στράττις,

ὅταν [e] φακῆν [f] ἕψητε, μὴ [g] ἐπιχεῖν μύρον.

14 Οἱ δὲ νῦν μιγνύντες εἰς τὰ πόματα τὰς τοιαύτας δυνάμεις
βιάζονται τῇ συνηθείᾳ τὴν ἡδονήν, ἕως ἂν ἐκ δυ' αἰσθήσεων
15 γένηται τὸ ἡδὺ ὡς [h] ἓν καὶ ἀπὸ μιᾶς. Τοῦτο μὲν οὖν τὸ
ὀσφραντὸν [i] ἴδιον ἀνθρώπου ἐστίν, ἡ δὲ κατὰ τοὺς χυμοὺς
τεταγμένη καὶ τῶν ἄλλων [k] ζῴων, ὥσπερ εἴρηται πρότερον·
κἀκείνων μέν, διὰ τὸ κατὰ συμβεβηκὸς ἔχειν τὸ ἡδύ, διῄρηται
τὰ εἴδη κατὰ τοὺς χυμούς, ταύτης δ' οὐκέτι, διὰ τὸ τὴν φύσιν
αὐτῆς [l] εἶναι καθ' αὑτὴν ἡδεῖαν ἢ λυπηράν. Αἴτιον δὲ τοῦ
ἴδιον εἶναι [m] ἀνθρώπου τὴν τοιαύτην ὀσμὴν διὰ τὴν [n] ψύξιν
16 τὴν περὶ τὸν ἐγκέφαλον. Ψυχροῦ γὰρ ὄντος [o] τὴν φύσιν
τοῦ ἐγκεφάλου, καὶ τοῦ αἵματος τοῦ περὶ αὐτὸν ἐν τοῖς
φλεβίοις ὄντος λεπτοῦ μὲν καὶ καθαροῦ, εὐψύκτου δέ ([p] διὸ
καὶ ἡ [q] τῆς τροφῆς ἀναθυμίασις ψυχομένη [r] διὰ τὸν τόπον
τὰ [s] νοσηματικὰ ῥεύματα [t] ποιεῖ), τοῖς ἀνθρώποις πρὸς βοή-
θειαν ὑγιείας γέγονε τὸ τοιοῦτον εἶδος τῆς ὀσμῆς· οὐδὲν γὰρ
17 ἄλλο [v] ἔργον ἐστὶν αὐτῆς [w] ἢ τοῦτο. Τοῦτο δὲ ποιεῖ φανε-
ρῶς· ἡ μὲν γὰρ τροφὴ ἡδεῖα [x] οὖσα, καὶ [y] ἡ ξηρὰ καὶ ἡ ὑγρά,

[t] ὅσοις μὴ] αἱ ὀσμαὶ L.S. U. autem hæc ὅσοις μὴ super illa καὶ ἡ τροφὴ ponit. [v] ἡ om. E.M.Y. [w] ὀσμὰς οὐχ ἡδεῖα E.L.M.S.Y. [x] μέν] μὲν γὰρ E.M. [y] ὥσπερ L.P.S.U. [z] κατὰ] οὖν κατὰ M. [a] καὶ τὸ λυπηρὸν L.Y. [b] ἰδίαι M. [c] εἶπε σκώπτων L.S. [d] στράτις L.M.P.U. [e] φακὴ E.L.M. [f] ἕψηται L.P. et pr. S. [g] 'πιχεῖν M, πιχεῖν E.U.Y. [h] ἓν] ἂν E.M.Y. [i] ἴδιον τῶν ἀνθρώπων E.M.U.Y. [k] ζώων ἐστὶν ὥσπερ L. [l] καθ' αὑτὴν εἶναι L. [m] ἀνθρώπῳ E.M. [n] ἕξιν E.M.Y. [o] τοῦ ἐγκεφάλου τὴν φύσιν P. [p] διὸ om. E.M.Y. [q] τῆς om. P. [r] διὰ τὸ τὸν S. [s] ῥευματικὰ νοσήματα L. [t] ποιεῖν E.M. ποιεῖ ante ῥεύματα P. [v] ἐστὶν ἔργον P. [w] ἢ τοῦτο om. E.M.P.Y. [x] οὖσα om. L. [y] ἡ ante ξηρὰ et post καὶ om. E.M.Y.

*πολλάκις [z] νοσώδης ἐστίν, ἡ δ' ἀπὸ τῆς ὀσμῆς τῆς καθ' [a] αὐ-*
*τὴν [b] εὐώδους ὁπωσοῦν ἔχουσιν ὠφέλιμος ὡς εἰπεῖν ἀεί.* Καὶ 18
*διὰ τοῦτο γίνεται διὰ τῆς ἀναπνοῆς, οὐ πᾶσιν ἀλλὰ τοῖς*
*ἀνθρώποις καὶ τῶν ἐναίμων οἷον τοῖς [c] τετράποσι καὶ ὅσα*
*μετέχει [d] μᾶλλον τῆς τοῦ ἀέρος φύσεως· ἀναφερομένων γὰρ*
*τῶν ὀσμῶν πρὸς τὸν ἐγκέφαλον διὰ τὴν [e] ἐν αὐταῖς [f] τῆς θερ-*
*μότητος κουφότητα, [g] ὑγιεινοτέρως [h] ἔχει τὰ περὶ τὸν τόπον*
*τοῦτον· ἡ γὰρ τῆς ὀσμῆς δύναμις θερμὴ τὴν φύσιν ἐστίν.*
Κατακέχρηται *δ' ἡ φύσις τῇ ἀναπνοῇ ἐπὶ δύο, ὡς ἔργῳ μὲν* 19
*ἐπὶ τὴν εἰς τὸν θώρακα βοήθειαν, ὡς παρέργῳ δ' ἐπὶ τὴν*
*ὀσμήν· [i] ἀναπνέοντος γὰρ ὥσπερ [k] ἐκ παρόδου ποιεῖται διὰ*
*τῶν μυκτήρων τὴν κίνησιν.* Ἴδιον *δὲ τῆς τοῦ ἀνθρώπου φύ-* 20
*σεώς [l] ἐστι τὸ τῆς ὀσμῆς τῆς τοιαύτης γένος διὰ τὸ πλεῖ-*
*στον [m] ἐγκέφαλον καὶ ὑγρότατον ἔχειν [n] τῶν ζῴων ὡς κατὰ*
*μέγεθος· διὰ γὰρ τοῦτο καὶ μόνον ὡς εἰπεῖν αἰσθάνεται τῶν*
*[o] ζῴων ἄνθρωπος καὶ χαίρει [p] ταῖς τῶν ἀνθῶν καὶ ταῖς τῶν*
*τοιούτων ὀσμαῖς· σύμμετρος γὰρ [q] αὐτῶν ἡ θερμότης καὶ ἡ*
*κίνησις πρὸς τὴν ὑπερβολὴν τῆς ἐν τῷ τόπῳ ὑγρότητος [r] καὶ*
*ψυχρότητός ἐστιν.* Τοῖς *δ' ἄλλοις ὅσα [s] πλεύμονα ἔχει διὰ* 21
*[t] τὸ ἀναπνεῖν τοῦ ἑτέρου γένους τῆς ὀσμῆς τὴν αἴσθησιν*
*[v] ἀποδέδωκεν ἡ φύσις, ὅπως μὴ [w] δύο αἰσθητήρια ποιῇ· ἀπό-*
*χρη γάρ, [x] ἐπείπερ καὶ [y] ὡς ἀναπνέουσιν, ὥσπερ [z] τοῖς ἀν-*
*θρώποις ἀμφοτέρων τῶν ὀσφραντῶν, τούτοις [a] τῶν ἑτέρων*
*μόνων ὑπάρχουσα ἡ αἴσθησις.* Τὰ *δὲ μὴ ἀναπνέοντα ὅτι* 22
*μὲν ἔχει αἴσθησιν τοῦ ὀσφραντοῦ, φανερόν· καὶ [b] γὰρ ἰχθύες*

[z] *νοσώδεις εἰσίν* P.S.U. [a] *ἑαυτὴν* L.P.U. [b] *εὐώδους ἡδεῖα ὁπωσοῦν* L.S.U. [c] *τετράπουσι* M. [d] *μᾶλλον* post *ἀέρος* L.P. [e] *περὶ αὐτὰς* E.M.Y, om. P. [f] *κουφότητα τῆς θερμότητος* P. [g] *ὑγιεινότερα* corr. S. [h] *ἔχειν* E.Y. [i] *ἀναπνέοντες* E.Y. [k] *ἐν παρόδῳ* S.U. [l] *ἐστὶ* om. L.U. [m] *καὶ ὑγρότατον ἐγκέφαλον* L. [n] *τῶν ἄλλων ζώων* E.M.Y. et rc. U. [o] *ζώων ὁ ἄνθρωπος* L. [p] *ταῖς* om. E.M.Y. [q] *ἡ θερμότης αὐτῶν* L. [r] *καὶ*] *τε καὶ* rc. S: pr. enim *καὶ ψυχρότητος* om. [s] *πνεύμονα* L.M. P.S U.Y. [t] *τὸ*] *τοῦ* P.U. et pr. S. [v] *ἀπέδωκεν* P. [w] *αἰσθητήρια δύο* E.M.Y. [x] *ἐπείπερ* om. E.M.Y. et pr. S. [y] *ὡς* om. E.M.Y. [z] *τοῖς*] *ἐν τοῖς* L.S.U. [a] *μόνων τῶν ἑτέρων* U, *τῶν ἑτέρων μόνον* L.P. [b] *γὰρ οἱ ἰχθύες* P.

*καὶ τὸ τῶν ἐντόμων γένος πᾶν ἀκριβῶς καὶ πόρρωθεν αἰσθά-*
*νεται, διὰ τὸ θρεπτικὸν εἶδος τῆς ὀσμῆς, ἀπέχοντα πολὺ τῆς*
*οἰκείας τροφῆς, οἷον αἵ τε μέλιτται* [c] *ποιοῦσι πρὸς τὸ μέλι*
*καὶ τὸ τῶν* [d] *μικρῶν μυρμήκων γένος, οὓς καλοῦσί τινες* [e] *κνί-*
*πας, καὶ τῶν θαλαττίων αἱ πορφύραι, καὶ πολλὰ τῶν ἄλλων*
*τῶν τοιούτων ζῴων ὀξέως αἰσθάνεται* [f] *τῆς τροφῆς διὰ τὴν*
23 *ὀσμήν. ᵛΟτῳ δὲ αἰσθάνεται, οὐχ ὁμοίως φανερόν. Διὸ κἂν*
*ἀπορήσειέ τις τίνι* [g] *αἰσθάνονται τῆς ὀσμῆς, εἴπερ ἀναπνέουσι*
*μὲν γίνεται τὸ ὀσμᾶσθαι μοναχῶς· τοῦτο γὰρ φαίνεται ἐπὶ*
*τῶν ἀναπνεόντων συμβαῖνον πάντων, ἐκείνων δ'* [h] *οὐθὲν ἀναπνεῖ*
*αἰσθάνεται μέντοι, εἰ μή τις παρὰ τὰς πέντε αἰσθήσεις ἑτέρα.*
24 *Τοῦτο δ' ἀδύνατον· τοῦ γὰρ* [i] *ὀσφραντοῦ ὄσφρησις, ἐκεῖνα*
*δὲ τούτου* [k] *αἰσθάνονται, ἀλλ' οὐ τὸν αὐτὸν ἴσως τρόπον,*
*ἀλλὰ τοῖς μὲν ἀναπνέουσι τὸ πνεῦμα ἀφαιρεῖ τὸ ἐπικείμενον*
*ὥσπερ πῶμά τι (διὸ οὐκ αἰσθάνεται μὴ ἀναπνέοντα), τοῖς δὲ*
*μὴ ἀναπνέουσιν ἀφῄρηται τοῦτο, καθάπερ ἐπὶ τῶν ὀφθαλμῶν*
*τὰ μὲν ἔχει βλέφαρα τῶν ζῴων, ὧν μὴ ἀνακαλυφθέντων οὐ*
*δύναται ὁρᾶν, τὰ δὲ σκληρόφθαλμα οὐκ ἔχει, διόπερ οὐ προσ-*
*δεῖται οὐδενὸς τοῦ ἀνακαλύψοντος, ἀλλ'* [l] *ὁρᾷ ἐκ τοῦ δυ-*
25 *νατοῦ* [m] *ὁρᾶν* [n] *αὐτῷ εὐθύς. ˹Ὁμοίως δὲ καὶ τῶν ἄλλων*
*ζῴων ὁτιοῦν οὐδὲν* [o] *δυσχεραίνει τῶν καθ' αὑτὰ* [p] *δυσωδῶν τὴν*
*ὀσμήν, ἂν μή τι τύχῃ φθαρτικὸν* [q] *ὄν. ˹Ὑπὸ τούτων δ' ὁμοίως*
[r] *φθείρεται καθάπερ καὶ οἱ ἄνθρωποι ὑπὸ τῆς τῶν ἀνθράκων*
*ἀτμίδος καρηβαροῦσι καὶ φθείρονται πολλάκις·* [s] *οὕτως ὑπὸ*
*τῆς τοῦ θείου δυνάμεως καὶ τῶν ἀσφαλτωδῶν φθείρεται*
26 [t] *τἆλλα ζῷα, καὶ φεύγει διὰ τὸ πάθος. Αὐτῆς δὲ* [v] *καθ'*
*αὑτὴν τῆς* [w] *δυσωδίας οὐδὲν φροντίζουσιν, καίτοι πολλὰ* [x] *τῶν*

[c] *ποιοῦσι πρὸς τὸ μέλι* om. E.M.Y. [d] *μακρῶν* L.U. et pr. S. [e] *σκνίπας* L.M.P.U, *σκίπας* vel *σκήπας* pr. S. [f] *τὴν τροφὴν* M. [g] *αἰσθάνεται* E.M.U.Y. [h] *οὐθὲν—τις*] *εἰ μὴ ἀναπνεῖ μὲν μηθέν, αἰσθάνεται δὲ μή τις ᾖ* P. [i] *ὀσφραντοῦ ἡ ὄσφρησις* S. [k] *αἰσθάνεται* E.M.Y. [l] *ὁρᾶται* U. et pr. S. [m] *ὁρᾶν*] *ὄντος* E.M.P.Y. [n] *αὐτοῦ* E.M.Y. [o] *δυσχερανεῖ* S. [p] *δυσωδῶς* L. [q] *ὂν* om. E.M.Y. [r] *φθαρεῖται* E, *θαρεῖται* M. [s] *οὕτως καὶ ὑπὸ* P. [t] *ἄλλα* L.S.U. [v] *τῆς καθ' αὑτὰ* P, *τῆς καθ' αὑτὸ* L.S.U. [w] *δυσώδους* L. [x] *τῶν φυομένων*] *φυόμενα* L.S.U.

φυομένων [y] δυσώδεις ἔχει τὰς ὀσμάς, [z] ἐὰν μή τι [a] συμβάλ-
ληται πρὸς τὴν γεῦσιν ἢ τὴν ἐδωδὴν αὐτοῖς. Ἔοικε δ' ἡ 27
αἴσθησις ἡ τοῦ ὀσφραίνεσθαι περιττῶν οὐσῶν τῶν αἰσθή-
σεων [b] καὶ τοῦ ἀριθμοῦ ἔχοντος μέσον τοῦ περιττοῦ καὶ
[c] αὐτὴ μέση εἶναι τῶν τε ἁπτικῶν, οἷον ἁφῆς καὶ γεύσεως
καὶ τῶν δι' ἄλλου αἰσθητικῶν, οἷον ὄψεως καὶ ἀκοῆς. Διὸ 28
καὶ τὸ ὀσφραντὸν [d] τῶν θρεπτικῶν ἐστὶ πάθος τι (ταῦτα δ'
ἐν τῷ [e] ἁπτῷ γένει), καὶ τοῦ ἀκουστοῦ δὲ καὶ τοῦ ὁρατοῦ,
διὸ καὶ ἐν ἀέρι καὶ [f] ἐν ὕδατι ὀσμῶνται. Ὥστ' ἐστὶ τὸ
ὀσφραντὸν κοινόν τι [g] τούτων ἀμφοτέρων, [h] ὃ καὶ τῷ ἁπτῷ
ὑπάρχει [i] καὶ τῷ ἀκουστῷ καὶ [k] τῷ διαφανεῖ· [l] διὸ εὐλόγως
παρείκασται ξηρότητος ἐν ὑγρῷ καὶ [m] χυτῷ οἷον βαφή τις
εἶναι καὶ πλύσις. Πῶς μὲν οὖν εἴδη δεῖ λέγειν καὶ πῶς οὐ 29
δεῖ τοῦ ὀσφραντοῦ, ἐπὶ τοσοῦτον εἰρήσθω. Ὃ δὲ λέγουσί
τινες τῶν Πυθαγορείων, οὐκ ἔστιν εὔλογον· τρέφεσθαι [n] γάρ
φασιν ἔνια [o] ζῷα ταῖς ὀσμαῖς. Πρῶτον μὲν γὰρ ὁρῶμεν ὅτι 30
τὴν τροφὴν δεῖ εἶναι [p] σύνθετον· καὶ γὰρ τὰ τρεφόμενα οὐχ
ἁπλᾶ ἐστίν, διὸ καὶ [q] περιττώματα γίνεται τῆς τροφῆς, [r] ἢ
ἐν αὐτοῖς ἢ ἔξω, ὥσπερ τοῖς φυτοῖς. Ἔτι δ' οὐδὲ τὸ ὕδωρ
[s] ἐθέλει αὐτὸ μόνον ἄμικτον [t] ὂν τρέφειν· σωματῶδες γάρ τι
[v] δεῖ εἶναι τὸ συστησόμενον. Ἔτι πολὺ ἧττον εὔλογον τὸν
ἀέρα σωματοῦσθαι. Πρὸς δὲ [w] τούτοις, ὅτι πᾶσίν [x] ἐστι 31
τοῖς ζῴοις τόπος δεκτικὸς [y] τῆς τροφῆς, ἐξ οὗ [z] ἕλκον λαμ-
βάνει τὸ σῶμα· τοῦ δ' ὀσφραντοῦ ἐν τῇ κεφαλῇ τὸ αἰσθη-
τήριον, καὶ μετὰ πνευματώδους εἰσέρχεται ἀναθυμιάσεως, ὥστ'
εἰς τὸν [a] ἀναπνευστικὸν [b] βαδίζοι ἂν τόπον. Ὅτι μὲν οὖν 32

[y] δυσώδεις] δύο δυσώδεις M. [z] ἂν L.P.S.U. [a] συμβάληται L. [b] καὶ om. E.M.Y. [c] αὕτη P. [d] τῶν τε θρ. P. [e] ἁπτῷ] αὐτῷ E.M.S.Y. [f] ἐν ante ὕδατι om. L.U. [g] τούτων] τῶν M. [h] ὃ καὶ τῷ] καὶ τῷ τε M, καὶ τό τε E.Y. [i] καὶ post ὑπάρχει om. E.Y. [k] τῷ ante διαφ. om. L.P.S.U. [l] διὸ καὶ εὐλόγως L.P.U. [m] χυμῷ Y. [n] γάρ φασιν] φάσκοντες L.P.S.U. [o] ζῷα om. L.U. [p] συνθετὴν E.M.P.S.U. [q] περίττωμα E.M.P.S.Y. [r] ἢ—ἢ] ὁ μὲν—ὁ δὲ E.M.Y. [s] αὐτὸ μόνον ἐθέλει P. [t] ὂν om. E.M.Y. [v] εἶναι δεῖ L. [w] post τούτοις locum litteris quinque U. [x] τοῖς ζῴοις ἐστὶ S.U. [y] τῆς om. S.U. [z] ἕλκον] ὅταν εἰσέλθῃ E.M.P.Y, om. pr. U. [a] ἀναπνευματικὸν P. [b] βιάζοι ἂν Y, ἂν βαδίζοι L.P.S.U.

οὐ συμβάλλεται [c] εἰς τροφὴν τὸ ὀσφραντόν, ᾗ ὀσφραντόν, δῆλον· ὅτι μέντοι εἰς ὑγίειαν, καὶ ἐκ τῆς αἰσθήσεως καὶ ἐκ τῶν εἰρημένων φανερόν, ὥστε ὅπερ ὁ χυμὸς ἐν τῷ θρεπτικῷ καὶ πρὸς τὰ τρεφόμενα, τοῦτ' ἐστὶ πρὸς ὑγίειαν τὸ ὀσφραντόν. Καθ' ἕκαστον μὲν οὖν αἰσθητήριον διωρίσθω τὸν τρόπον τοῦτον.

6 Ἀπορήσειε δ' ἄν τις, εἰ πᾶν σῶμα εἰς [d] ἄπειρον διαιρεῖται,
[e] ἆρα καὶ τὰ παθήματα τὰ αἰσθητά, οἷον χρῶμα καὶ χυμὸς
καὶ ὀσμὴ καὶ [f] βάρος καὶ ψόφος καὶ [g] ψυχρὸν καὶ θερμὸν
καὶ κοῦφον καὶ σκληρὸν καὶ μαλακόν; ἢ ἀδύνατον; ποιητικὸν
γάρ ἐστιν ἕκαστον αὐτῶν τῆς αἰσθήσεως· [h] τῷ δύνασθαι γὰρ
2 [i] κινεῖν αὐτὴν λέγεται πάντα. Ὥστ' [k] ἀνάγκη τήν [l] τε αἴσθη-
σιν εἰς ἄπειρα διαιρεῖσθαι καὶ πᾶν εἶναι μέγεθος αἰσθητόν·
ἀδύνατον γὰρ λευκὸν μὲν ὁρᾶν, [m] μὴ ποσὸν δέ. Εἰ γὰρ μὴ
οὕτως, ἐνδέχοιτ' ἂν εἶναί τι σῶμα μηδὲν ἔχον χρῶμα μηδὲ
βάρος μηδ' ἄλλο [n] τι τοιοῦτον πάθος. Ὥστ' [o] οὐδ' αἰσθη-
3 τὸν [p] ὅλως· ταῦτα [q] γὰρ τὰ αἰσθητά. Τὸ ἄρ' αἰσθητὸν
ἔσται συγκείμενον οὐκ ἐξ αἰσθητῶν. Ἀλλ' ἀναγκαῖον· οὐ
γὰρ [r] δὴ ἔκ γε τῶν μαθηματικῶν. Ἔτι τίνι κρινοῦμεν ταῦτα
ἢ γνωσόμεθα; [s] ἢ τῷ νῷ; Ἀλλ' οὐ νοητά, οὐδὲ νοεῖ ὁ νοῦς
τὰ ἐκτὸς μὴ μετ' αἰσθήσεως [t] ὄντα. [v] Ἅμα δ' εἰ ταῦτ' ἔχει
οὕτως, ἔοικε μαρτυρεῖν τοῖς τὰ ἄτομα ποιοῦσι μεγέθη· οὕτω
4 γὰρ ἂν λύοιτο ὁ λόγος. Ἀλλ' [w] ἀδύνατα· εἴρηται δὲ περὶ
αὐτῶν ἐν τοῖς λόγοις τοῖς περὶ κινήσεως. Περὶ δὲ τῆς λύ-
σεως αὐτῶν ἅμα δῆλον ἔσται, καὶ [x] διὰ τί πεπέρανται τὰ εἴδη
καὶ χρώματος καὶ χυμοῦ καὶ φθόγγων καὶ τῶν ἄλλων αἰσθη-
τῶν. Ὧν μὲν γάρ ἐστιν ἔσχατα, [y] ἀνάγκη πεπεράνθαι τὰ
5 ἐντός· τὰ δ' ἐναντία ἔσχατα. Πᾶν δὲ τὸ αἰσθητὸν [z] ἔχει

[c] εἰς τὴν τροφὴν L.P. [d] ἄπειρα E.M.P.U.Y. [e] ἆρα om. pr. U. [f] ψόφος καὶ βάρος L.P. [g] ψυχρότης καὶ τὸ θερμὸν L.P.S.U. [h] τὸ P, τοῦ M. [i] κρίνειν E.Y. [k] ἀνάγκη εἰ ἡ δύναμις καὶ τὴν L.S.U. [l] τε om. L.U. [m] μὴ ποσὸν δέ] καὶ τοσόνδε M. [n] τι om. P. [o] οὐδ'] οὐκ P, εἰ μὴ L.S.U. [p] ὅλως—ἄρ' αἰσθητὸν] τὸ ὅλον L.S.U. [q] γὰρ om. pr. Y. [r] δὴ om. L.S.U. [s] ἢ] καὶ L.U. [t] ὄντα] ὢν U, om. E.M.P.Y. [v] ἅμα δ'] ἀλλ' L.P.S.U. [w] ἀδύνατον M.P. [x] διότι S.U. [y] ἀναγκαῖον E.M.Y. [z] ἔχειν E.M.

ἐναντίωσιν, οἷον ἐν χρώματι [a] τὸ λευκὸν καὶ τὸ μέλαν, ἐν
[b] χυμῷ γλυκὺ καὶ πικρόν· καὶ [c] ἐν τοῖς ἄλλοις δὴ πᾶσίν ἐστιν
ἔσχατα [d] τὰ ἐναντία. Τὸ μὲν οὖν συνεχὲς εἰς ἄπειρα τέμνε-
ται [e] ἄνισα, εἰς δ' ἴσα πεπερασμένα· τὸ δὲ [f] μὴ καθ' αὑτὸ
συνεχὲς εἰς πεπερασμένα [g] εἴδη. Ἐπεὶ οὖν τὰ μὲν πάθη ὡς 6
εἴδη λεκτέον, ὑπάρχει [h] δὲ [i] συνέχεια [k] ἀεὶ ἐν τούτοις, ληπτέον
ὅτι τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἕτερον· καὶ διὰ τοῦτο [l] τὸ
[m] μυριοστημόριον λανθάνει [n] τῆς [o] κέγχρου [p] ὁρωμένης, καίτοι
ἡ ὄψις ἐπελήλυθεν, καὶ ὁ ἐν τῇ διέσει φθόγγος λανθάνει,
καίτοι συνεχοῦς ὄντος ἀκούει τοῦ μέλους παντός. Τὸ δὲ 7
διάστημα [q] τὸ τοῦ μεταξὺ πρὸς τοὺς ἐσχάτους λανθάνει.
Ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις αἰσθητοῖς τὰ μικρὰ [r] πάμπαν·
δυνάμει γὰρ [s] ὁρατά, ἐνεργείᾳ [t] δ' οὔ, ὅταν [v] χωρισθῇ· καὶ
γὰρ ἐνυπάρχει [w] δυνάμει ἡ ποδιαία [x] τῇ δίποδι, ἐνεργείᾳ [y] δ'
ἤδη διαιρεθεῖσα. Χωριζόμεναι [z] δ' αἱ τηλικαῦται ὑπεροχαὶ 8
εὐλόγως μὲν ἂν [a] καὶ [b] διαλύοιντο εἰς τὰ περιέχοντα, [c] ὥσπερ
καὶ ἀκαριαῖος χυμὸς εἰς τὴν [d] θάλατταν [e] ἐκχυθείς. Οὐ μὴν 9
ἀλλ' ἐπειδὴ [f] οὐδ' ἡ τῆς αἰσθήσεως ὑπεροχὴ [g] καθ' αὑτὴν αἰ-
σθητὴ οὐδὲ χωριστή (δυνάμει γὰρ ἐνυπάρχει ἐν τῇ [h] ἀκριβε-
στέρᾳ ἡ ὑπεροχή), [i] οὐδὲ τὸ τηλικοῦτον αἰσθητὸν χωριστὸν
ἔσται ἐνεργείᾳ [k] αἰσθέσθαι, ἀλλ' ὅμως ἔσται αἰσθητόν· δυ-
νάμει τε γάρ ἐστιν ἤδη, καὶ ἐνεργείᾳ ἔσται προσγενόμενον.
Ὅτι μὲν οὖν ἔνια μεγέθη καὶ πάθη λανθάνει, καὶ διὰ τίν' 10
αἰτίαν, καὶ πῶς αἰσθητὰ καὶ πῶς οὔ, εἴρηται. Ὅταν δὲ [l] δὴ

[a] τὸ utrumque om. L.P.S.U. [b] χυμοῖς L.S.U. [c] ἐν om. M. [d] τὰ om. L.S.U. [e] ἄνισα] εἰς ἄνισα M. [f] μὴ post αὑτὸ E.M, utrobique Y. [g] ἤδη P. [h] δὲ] δ' ἐν P. [i] συνεχῆ S. [k] ἀεὶ] καὶ P, ἀεὶ καὶ L. [l] τὸ post τοῦτο om. E.M.Y. [m] μυριομόριον pr. S. [n] τοῦ E.S.U.Y. [o] κέντρου E.Y. [p] ὁρωμένου E.Y, ὁρώμενον L.P.S.U. [q] τὸ τοῦ] τοῦ P, τοῦτο τὸ pr. S. et corr. U. [r] πάνυ L.S.U. [s] ὁρατά] ὁρᾷ αὐτά L.P.S.U. [t] δ' οὔ] δέ L.S.U. [v] χωρισθῇ] μὴ χωρὶς ᾖ E.M.Y, μὴ χωρίσῃ P. [w] δυνάμει om. M. [x] τῇ δίποδι] τῷ ποδὶ E.M.Y. [y] δ' ἤδη] δὴ P, om. E.M.Y. [z] δὴ (δὲ M.) τηνικαῦθ' αἱ E.M.Y. [a] καὶ om. L. [b] διαδύοιντο P. [c] ὥσπερ εἰ καὶ ὁ ἀκ. L, ὥσπερ καὶ ὁ ἀκ. S.U. [d] θάλασσαν P.S. [e] ἐκχυθεὶς ἦν. οὐ L.S.U. [f] οὐδ' om. L, οὐδ' ἡ om. U. [g] καθ'] οὐ καθ' L.U. [h] ἀκριβεστέρᾳ ὑπεροχῇ S. [i] οὐδὲ] δὲ οὐδὲ M. [k] αἰσθάνεσθαι E.M.Y. [l] δὴ] ἤδη L.S.U, om. M.

[m] ἐνυπάρχοντα οὕτω πως ἄττα ᾖ ὥστε [n] καὶ ἐνεργείᾳ αἰ-
σθητὰ εἶναι, καὶ μὴ [o] μόνον ἐν τῷ ὅλῳ ἀλλὰ καὶ χωρὶς [p] ᾖ
πεπερασμένα, ἀνάγκη εἶναι [q] τὸν ἀριθμὸν καὶ χρώματα καὶ
11 χυμοὺς καὶ φθόγγους. Ἀπορήσειε δ' ἄν τις, ἆρ' ἀφικνοῦν-
ται ἢ τὰ αἰσθητὰ ἢ [r] αἱ κινήσεις [s] αἱ ἀπὸ τῶν αἰσθητῶν, ὁπο-
τέρως ποτὲ γίνεται ἡ αἴσθησις, ὅταν ἐνεργῶσιν, εἰς τὸ μέσον
πρῶτον, [t] οἷον ἥ τε ὀσμὴ φαίνεται ποιοῦσα καὶ ὁ ψόφος·
[v] πρότερον γὰρ [w] ὁ ἐγγὺς αἰσθάνεται τῆς ὀσμῆς, καὶ ὁ ψό-
12 φος [x] ὕστερον ἀφικνεῖται τῆς πληγῆς. Ἆρ' οὖν οὕτω καὶ
[y] τὸ ὁρώμενον καὶ τὸ φῶς; Καθάπερ [z] καὶ Ἐμπεδοκλῆς
φησὶν ἀφικνεῖσθαι πρότερον τὸ [a] ἀπὸ τοῦ ἡλίου φῶς εἰς
13 [b] τὸ μεταξὺ πρὶν πρὸς τὴν ὄψιν [c] ἢ ἐπὶ τὴν γῆν. [d] Δόξειε
δ' ἂν εὐλόγως τοῦτο συμβαίνειν· τὸ γὰρ κινούμενον κινεῖταί
ποθέν ποι, ὥστ' ἀνάγκη εἶναί τινα [e] καὶ χρόνον [f] ἐν ᾧ κινεῖται
[g] ἐκ θατέρου πρὸς θάτερον· ὁ δὲ χρόνος [h] πᾶς διαιρετός,
ὥστε ἦν ὅτε οὔπω ἑωρᾶτο [i] ἀλλ' ἔτ' ἐφέρετο ἡ ἀκτὶς ἐν τῷ
14 μεταξύ. Καὶ εἰ ἅπαν [k] ἅμα ἀκούει καὶ ἀκήκοε καὶ ὅλως αἰ-
σθάνεται [l] καὶ [m] ᾔσθηται, καὶ μή ἐστι γένεσις αὐτῶν, ἀλλ'
[n] εἰσὶν ἄνευ τοῦ γίνεσθαι ὅμως οὐδὲν ἧττον, ὥσπερ ὁ ψόφος
15 ἤδη γεγενημένης τῆς πληγῆς οὔπω πρὸς [o] τῇ ἀκοῇ. Δηλοῖ
δὲ τοῦτο καὶ ἡ τῶν γραμμάτων μετασχημάτισις, ὡς γιγνο-
μένης τῆς [p] φορᾶς ἐν τῷ μεταξύ· οὐ γὰρ τὸ λεχθὲν [q] φαί-
νονται ἀκηκοότες διὰ τὸ μετασχηματίζεσθαι φερόμενον τὸν
16 ἀέρα. Ἆρ' οὖν οὕτω καὶ τὸ χρῶμα καὶ τὸ φῶς; Οὐ γὰρ
[r] δὴ [s] τῷ πῶς ἔχειν τὸ μὲν ὁρᾷ τὸ δ' ὁρᾶται, ὥσπερ ἴσα ἐστίν·

[m] ἐνυπάρχοντα οὕτω ἤδη πρὸς αὐτὰ ᾖ (vel ᾗ) E.M.Y, ἐνυπάρχῃ τούτῳ τοσαῦτα L.S.U. [n] καὶ om. P. [o] μόνον ὅτι ἐν E.M.P.U.Y. [p] ᾖ om. L.P.S.U. [q] τὸν] τινα P. [r] αἱ κινήσεις] αἰσθήσεις Y. [s] αἱ om. S. et pr. U. [t] οἷον om. P. [v] πρότερος Y, πότερον pr. E. [w] ὁ post γὰρ om. P. [x] ὕστερος S. [y] τὸ om. Y. [z] καὶ post καθ. om. L.S.U. [a] ἀπὸ om. L.S.U. [b] τὸ] τὸν E.M. [c] ἢ om. pr. S. [d] δόξει L. [e] καὶ om. L.P. [f] ἐν ᾧ κινεῖται] εἰ κινοῖτο L.S, ἐν ᾧ ἐκινεῖτο corr. U. [g] ἐκ θατέρου] ἑκατέρου Y. [h] ἅπας U, ὁ πᾶς E.M.S.Y. [i] ἀλλ' ἐπεφέρετο ἀκτὶς S. [k] ἀκ. ἅμα L. [l] καὶ ᾔσθ.—γίν. om. Y. [m] ᾔσθηται] εἰ αἰσθητὰ E.M. [n] ἐστὶν U. [o] τὴν ἀκοήν E.M.Y. [p] φθορᾶς E.Y. [q] φαίνεται P. [r] δὴ] δεῖ P. [s] τῷ] τὸ M.P.

οὐθέν [t] γὰρ ἔδει που ἑκάτερον εἶναι· τοῖς γὰρ ἴσοις γινομέ-
νοις οὐδὲν διαφέρει ἢ ἐγγὺς ἢ πόρρω ἀλλήλων εἶναι. Ἢ 17
περὶ μὲν τὸν ψόφον καὶ τὴν ὀσμὴν τοῦτο συμβαίνειν εὔλο-
γον· ὥσπερ γὰρ [v] ὁ ἀὴρ καὶ τὸ ὕδωρ συνεχῆ μέν, [w] ἀλλ'
ὅμως [x] μεμέρισται [y] ἀμφοτέρων [z] ἡ κίνησις. Διὸ καὶ ἔστι
μὲν ὡς τὸ [a] αὐτὸ ἀκούει ὁ πρῶτος καὶ ὁ ὕστερος καὶ [b] ὀ-
σφραίνεται, ἔστι δ' ὡς οὔ. Δοκεῖ δέ τισιν [c] εἶναι ἀπορία καὶ 18
περὶ τούτων· ἀδύνατον γάρ φασί τινες ἄλλον ἄλλῳ τὸ αὐτὸ
ἀκούειν [d] ἢ ὁρᾶν καὶ ὀσφραίνεσθαι· [e] οὐ γὰρ οἷόν τ' [f] εἶναι
πολλοὺς καὶ χωρὶς ὄντας ἀκούειν [g] ἢ ὀσφραίνεσθαι· τὸ γὰρ
ἓν χωρὶς [h] ἂν αὐτὸ αὑτοῦ [i] εἶναι. Ἢ τοῦ μὲν κινήσαντος 19
[k] πρῶτον, οἷον τῆς κώδωνος ἢ λιβανωτοῦ ἢ πυρός, τοῦ αὐτοῦ
καὶ ἑνὸς [l] ἀριθμῷ αἰσθάνονται πάντες, τοῦ δὲ [m] δὴ ἰδίου [n] ἑτέ-
ρου ἀριθμῷ, εἴδει δὲ τοῦ αὐτοῦ, [o] διὸ [p] ἅμα πολλοὶ ὁρῶσι
καὶ ὀσμῶνται καὶ ἀκούουσιν. Ἔστι δ' οὔτε σώματα ταῦτα,
ἀλλὰ πάθος καὶ κίνησίς τις (οὐ γὰρ ἂν [q] τοῦτο συνέβαινεν),
[r] οὔτ' ἄνευ σώματος. Περὶ δὲ τοῦ φωτὸς ἄλλος λόγος· τῷ 20
[s] εἶναι γάρ [t] τι φῶς ἐστίν, ἀλλ' οὐ κίνησίς [v] τις. Ὅλως δὲ
οὐδὲ ὁμοίως ἐπί τε [w] ἀλλοιώσεως ἔχει καὶ φορᾶς· αἱ μὲν γὰρ
φοραὶ εὐλόγως εἰς τὸ μεταξὺ πρῶτον ἀφικνοῦνται (δοκεῖ δ'
ὁ ψόφος εἶναι φερομένου τινὸς κίνησις), ὅσα δ' ἀλλοιοῦται,
οὐκέτι ὁμοίως· ἐνδέχεται γὰρ ἀθρόον ἀλλοιοῦσθαι, καὶ μὴ τὸ
ἥμισυ πρότερον, οἷον τὸ ὕδωρ ἅμα [x] πᾶν πήγνυσθαι. Οὐ 21
μὴν [y] ἀλλ' [z] ἂν ᾖ πολὺ τὸ θερμαινόμενον ἢ πηγνύμενον, τὸ
ἐχόμενον ὑπὸ τοῦ ἐχομένου [a] πάσχει, τὸ δὲ πρῶτον ὑπ' αὐτοῦ

[t] γὰρ ἂν ἔδει E.M.Y, γὰρ ἂν ἐνδεῖ P. [v] ὁ ἀὴρ καὶ τὸ] πᾶν E.M.Y. [w] ἀλλ' ὅμως] ἄλλως P, om. E.M.Y. [x] μερισταὶ P. [y] ἀμφ.] δ' ἀμφ. E.M.Y, δι' ἀμφ. M. [z] αἱ κινήσεις P. [a] αὐτοῦ E.Y. [b] ὤσφρατο P. [c] εἶναι ἀπορίαν M, ἀπορίαν εἶναι L.S.U. [d] ἢ] καὶ E.M.Y. [e] οὐ— ὀσφραίνεσθαι om. M. [f] εἶναι om. L. [g] ἢ] καὶ E.M.P. [h] ἂν om. E.M.Y. [i] εἶναι] ἦν L.S. [k] πρώτου M.P.S.U, πρώτως Y. [l] ἀριθμοῦ Y. [m] δὴ] ἤδη L.P.S.U. [n] ἑτέρῳ omnes præter corr. P.U. [o] διὸ] διὸ καὶ E.M.Y. [p] πολλοὶ ἅμα L. [q] συνέβαινε τοῦτο L. [r] οὐδ' E.M.Y. [s] ἐνεῖναι P. [t] τι] τι τὸ L.P.S.U. [v] τις om. E.M.U.Y. [w] ἀλλοιώσεως ὡς ἔχει Y. [x] πᾶν om. L.S.U. [y] ἀλλ'] ἀλλ' ἐνίοτε L.S.U. [z] ἂν ᾖ πολὺ τὸ om. L. [a] πάσχειν E.M.

τοῦ [b] ἀλλοιοῦντος [c] μεταβάλλει, [d] καὶ οὐκ ἀνάγκη ἅμα ἀλλοι-
22 οῦσθαι καὶ ἀθρόον. Ἣν δ' ἂν καὶ τὸ γενέσθαι ὥσπερ ἡ
ὀσμή, εἰ ἐν ὑγρῷ [e] ἦμεν καὶ πορρωτέρω [f] ἔτι πρὶν θιγεῖν αὐ-
τοῦ ᾐσθανόμεθα. Εὐλόγως δ' ὧν [g] ἐστὶ μεταξὺ τοῦ αἰσθη-
τηρίου, [h] οὐχ ἅμα [i] πάντα πάσχει, πλὴν ἐπὶ τοῦ φωτὸς διὰ
τὸ εἰρημένον. Διὰ [k] τὸ αὐτὸ δὲ καὶ [l] ἐπὶ τοῦ ὁρᾶν· τὸ γὰρ
φῶς ποιεῖ [m] τὸ ὁρᾶν.

7 Ἔστι δέ [n] τις ἀπορία καὶ ἄλλη τοιάδε [o] περὶ αἰσθήσεως,
πότερον ἐνδέχεται [p] δυεῖν ἅμα [q] αἰσθάνεσθαι ἐν τῷ αὐτῷ καὶ
ἀτόμῳ χρόνῳ, ἢ οὔ, εἰ [r] δὴ ἀεὶ ἡ μείζων κίνησις τὴν ἐλάττω
ἐκκρούει· [s] διὸ ἐπιφερομένων ἐπὶ τὰ ὄμματα οὐκ αἰσθάνονται,
[t] ἐὰν τύχωσι σφόδρα τι ἐννοοῦντες ἢ φοβούμενοι ἢ ἀκούοντες
2 πολὺν ψόφον. [v] Τοῦτο δὴ ὑποκείσθω, καὶ [w] ὅτι ἑκάστου
μᾶλλον ἔστιν αἰσθάνεσθαι ἁπλοῦ ὄντος ἢ κεκραμένου, [x] οἷον
οἴνου ἀκράτου ἢ κεκραμένου, καὶ μέλιτος, καὶ χρόας, καὶ τῆς
νήτης μόνης ἢ ἐν [y] τῷ διὰ [z] πασῶν, διὰ τὸ ἀφανίζειν ἄλληλα.
3 Τοῦτο δὲ ποιεῖ ἐξ ὧν ἕν τι γίνεται. Εἰ δὴ [a] ἡ μείζων τὴν
ἐλάττω κίνησιν ἐκκρούει, ἀνάγκη, ἂν ἅμα ὦσι, καὶ [b] αὐτὴν
ἧττον αἰσθητὴν εἶναι ἢ εἰ [c] μόνη ἦν· [d] ἀφαιρεῖται γάρ [e] τι ἡ
ἐλάττων μιγνυμένη, εἴπερ ἅπαντα [f] τὰ ἁπλᾶ μᾶλλον αἰσθη-
τά [g] ἐστίν. [h] Ἐὰν ἄρα ἴσαι ὦσιν ἕτεραι οὖσαι, [i] οὐδετέρας
ἔσται [k] αἴσθησις· [l] ἀφανιεῖ γὰρ [m] ἡ ἑτέρα ὁμοίως τὴν ἑτέ-

[b] ἀλλοιοῦντος] ποιοῦντος P. [c] μεταβάλλειν E.M.P. [d] καὶ post ἀνάγκη P, omisso cum L.S.U. οὐκ. [e] ἦμεν] ἡ μὲν U, εἰ μὲν E.Y. [f] ἔτι om. E.M.P.Y. [g] ἐστὶν ἀντίληψιν διά τινος μετ. P. [h] οὐχ] τοῦτο οὐχ P. [i] πᾶν P, om. L S.U. [k] τὸ αὐτὸ] τοῦτο P. [l] ἐπὶ] περὶ L.P.S. et pr. U. [m] τὸ alterum om. L.U. [n] τις post ἄλλη L.S.U, utrobique P. [o] περὶ τὰς αἰσθήσεις L.P.U. [p] δυοῖν ἅμα M, ἅμα δύο L.P. [q] αἰσθάνεσθαι] δύνασθαι M, δύνασθαι αἰσθάνεσθαι E.Y. [r] δ' P. [s] διὸ τὸ ἐπιφερόμενον ἐπὶ E.M.Y, διὸ ὑποφερομένων ὑπὸ L.S.U, διὸ φερομένων ὑπὸ P. [t] ἂν L.P.U, γὰρ ἐὰν M. [v] τοῦτό γε δὴ P, τοῦτο δὲ δὴ E.Y. [w] ὅτι μᾶλλον ἕκαστός ἐστιν αἴσθεσθαι P. [x] οἷον—κεκραμένου om. L. [y] τῇ L.S.U. [z] πασῶν τὸ διὰ τὸ σαφηνίζειν pr. S. [a] ἡ om. Y. [b] ταύτην L.S.U. [c] μόνη ἦν] μόνην E.M.U. [d] ἀφήρηται E.M.Y. [e] τι ἡ ἐλάττων] τὴν ἐλάττω P. [f] τὰ om. P. [g] εἰσιν P. [h] ἂν L.S.U, ἂν δ' P. [i] οὐδὲ τέτρας E.Y, οὐδ' ἑτέρα P.U. [k] αἰσθητή P. [l] ἀφανίζει L.S.U. [m] ὁμοίως ἡ ἑτέρα P.

ραν. [n] Ἁπλῆς δ' οὐκ ἔστιν [o] αἰσθάνεσθαι. Ὥστε ἡ οὐδε- 4
μία [p] ἔσται [q] αἴσθησις ἡ ἄλλη ἐξ ἀμφοῖν. Ὅπερ [r] καὶ γί-
νεσθαι δοκεῖ [s] ἐκ τῶν κεραννυμένων ἐν ᾧ ἂν μιχθῶσιν. [t] Ἐπεὶ 5
οὖν ἐκ μὲν ἐνίων γίνεταί τι, ἐκ δ' ἐνίων οὐ γίνεται, τοιαῦτα δὲ
τὰ ὑφ' ἑτέραν αἴσθησιν· [v] μίγνυνται γὰρ ὧν τὰ ἔσχατα [w] ἕν·
οὐκ ἔστι δ' ἐκ λευκοῦ καὶ ὀξέος ἓν [x] γενέσθαι ἀλλ' ἢ κατὰ
συμβεβηκός, ἀλλ' οὐχ ὡς ἐξ ὀξέος καὶ βαρέος συμφωνία· οὐκ
ἄρα οὐδ' αἰσθάνεσθαι ἐνδέχεται αὐτῶν ἅμα. Ἴσαι μὲν γὰρ 6
[y] οὖσαι αἱ κινήσεις [z] ἀφανιοῦσιν ἀλλήλας, ἐπεὶ [a] μία οὐ γίνε-
ται ἐξ αὐτῶν. Ἐὰν δ' ἄνισοι, ἡ κρείττων αἴσθησιν [b] ἐμποιή-
σει, [c] ἐπεὶ μᾶλλον ἅμα [d] δυεῖν [e] αἴσθοιτ' ἂν ἡ ψυχὴ τῇ μιᾷ
αἰσθήσει ὧν μία αἴσθησις, οἷον ὀξέος καὶ βαρέος· μᾶλλον
γὰρ ἅμα ἡ κίνησις τῆς μιᾶς [f] ταύτης ἢ τοῖν δυοῖν, [g] οἷον ὄψεως
καὶ ἀκοῆς. Τῇ μιᾷ δὲ ἅμα [h] δυοῖν [i] οὐκ ἔστιν [k] αἰσθάνεσθαι 7
ἂν μὴ μιχθῇ· τὸ γὰρ μῖγμα ἓν βούλεται εἶναι, [l] τοῦ δ' ἑνὸς
μία αἴσθησις, ἡ δὲ μία ἅμα [m] αὐτῇ. Ὥστ' ἐξ ἀνάγκης τῶν
μεμιγμένων ἅμα αἰσθάνεται, ὅτι μιᾷ αἰσθήσει κατ' ἐνέργειαν
αἰσθάνεται· ἑνὸς μὲν γὰρ ἀριθμῷ ἡ κατ' ἐνέργειαν μία, εἴδει
δὲ ἡ κατὰ δύναμιν μία. Καὶ εἰ μία τοίνυν ἡ αἴσθησις ἡ κατ'
ἐνέργειαν, ἓν [n] ἐκεῖνα ἐρεῖ. Μεμῖχθαι ἄρα ἀνάγκη αὐτά. 8
Ὅταν ἄρα [o] μὴ ᾖ μεμιγμένα, δύο ἔσονται αἰσθήσεις αἱ κατ'
ἐνέργειαν. [p] Ἀλλὰ κατὰ μίαν δύναμιν καὶ ἄτομον [q] χρόνον
μίαν ἀνάγκη εἶναι τὴν ἐνέργειαν· μιᾶς [r] γὰρ εἰσάπαξ [s] μία
[t] κίνησις καὶ χρῆσις, μία δὲ ἡ δύναμις. Οὐκ ἄρα ἐνδέχεται

[n] ἁπλῶς E.Y. [o] αἴσθεσθαι P, αἰσθέσθαι S.U, ὁμοίως αἰσθέσθαι L.
[p] ἔσται om. Y. [q] ἡ αἴσθησις pr. S. [r] καὶ om. L.S.U. [s] ἐκ] ἐπὶ L.S.
[t] ἐπείπερ οὖν P. [v] μίγνυται L.S.U. [w] ἕν] ἐναντία L.P.S.U. [x] γί-
νεσθαι L.S.U.Y. [y] αἱ κινήσεις οὖσαι S.U, οὖσαι μὲν αἱ κινήσεις P.
[z] ἀφανίζουσιν L.S.U. [a] οὐ μία L. [b] ποιήσει P, ποιεῖ E.M.Y.
[c] ἐπεὶ] ἔτι L.S.U, ἔτι εἰ P. [d] δυοῖν L.M.P.S.U. [e] αἰσθάνοιτ' M.
[f] ταύτης] αὕτη αὐτῆς P, αὐτὴ αὐτῆς L, αὐτὴ αὐτῆς S.U. [g] οἷον om.
E.M.Y. [h] δυσὶν S.U. [i] οὐκ] μὴ E.M.P.S.U.Y. [k] αἴσθεσθαι ἐὰν P.
[l] τοῦ δ' ἑνὸς] οὐδενὸς ἅμα E.M.Y, τοῦτο δ' ἑνὸς ἅμα P. [m] αὕτη E.P.Y,
αὐτή L. [n] ἐκεῖνο P. [o] μὴ ᾖ μεμιγμένα] μεμιγμέναι E.M.Y. [p] ἀλλ'
οὐ κατὰ δύναμιν E.M.Y. [q] χρόνον καὶ μ. S. [r] γὰρ] γὰρ ἡ L.P.S.U.
[s] μία om. M. [t] χρῆσις καὶ κίνησις L.S, κίνησις καὶ χρῶσις E.M.Y,
χρῆσις καὶ κίνησις μία P.

9 [v] δυεῖν ἅμα αἰσθάνεσθαι τῇ μιᾷ αἰσθήσει. Ἀλλὰ μὴν [w] εἰ
τὰ ὑπὸ τὴν αὐτὴν αἴσθησιν ἅμα ἀδύνατον, ἐὰν ᾖ δύο, [x] δῆλον
ὅτι ἧττον [y] ἔτι τὰ κατὰ δύο αἰσθήσεις ἐνδέχεται ἅμα αἰσθά-
νεσθαι, οἷον λευκὸν καὶ γλυκύ. Φαίνεται γὰρ [z] τὸ μὲν τῷ
ἀριθμῷ ἓν ἡ [a] ψυχὴ οὐδενὶ ἑτέρῳ λέγειν ἀλλ' ἢ τῷ ἅμα, τὸ
10 δὲ τῷ εἴδει ἓν τῇ κρινούσῃ αἰσθήσει καὶ τῷ τρόπῳ. Λέγω
δὲ τοῦτο, ὅτι [b] ἴσως τὸ λευκὸν καὶ τὸ μέλαν, ἕτερον τῷ εἴδει
ὄν, ἡ αὐτὴ κρίνει, καὶ τὸ γλυκὺ καὶ τὸ πικρόν, [c] ἡ αὐτὴ μὲν
ἑαυτῇ, ἐκείνης δ' ἄλλη, ἀλλ' ἑτέρως ἑκάτερον τῶν ἐναντίων,
ὡς δ' αὕτως ἑαυταῖς τὰ σύστοιχα, οἷον ὡς ἡ γεῦσις τὸ γλυκύ,
οὕτως ἡ ὄψις τὸ λευκόν· ὡς [d] δ' αὕτη τὸ μέλαν, οὕτως ἐκείνη
11 τὸ πικρόν. Ἔτι [e] εἰ αἱ τῶν ἐναντίων κινήσεις ἐναντίαι, ἅμα
δὲ τὰ ἐναντία ἐν τῷ αὐτῷ καὶ ἀτόμῳ οὐκ ἐνδέχεται ὑπάρχειν,
ὑπὸ δὲ τὴν αἴσθησιν τὴν μίαν ἐναντία ἐστίν, οἷον γλυκὺ [f] πι-
12 κρῷ, [g] τούτων οὐκ [h] ἂν ἐνδέχοιτο [i] αἰσθάνεσθαι ἅμα. Ὁμοίως
δὲ δῆλον ὅτι οὐδὲ τὰ μὴ ἐναντία· τὰ μὲν γὰρ τοῦ λευκοῦ τὰ
δὲ τοῦ μέλανός ἐστιν, καὶ ἐν τοῖς [k] ἄλλοις ὁμοίως, οἷον τῶν
χυμῶν οἱ [l] μὲν τοῦ γλυκέος οἱ δὲ τοῦ πικροῦ. Οὐδὲ τὰ με-
μιγμένα ἅμα· [m] λόγοι γάρ εἰσιν ἀντικειμένων, οἷον τὸ διὰ
13 πασῶν καὶ τὸ διὰ πέντε, [n] ἂν μὴ ὡς ἓν αἰσθάνηται. Οὕτως
δ' [o] εἷς λόγος [p] ὁ τῶν ἄκρων γίνεται, ἄλλως δ' οὔ· [q] ἔσται
γὰρ ἅμα ὁ μὲν πολλοῦ πρὸς ὀλίγον ἢ περιττοῦ πρὸς ἄρ-
τιον, [r] ὁ δ' ὀλίγου πρὸς [s] πολὺ [t] ἢ ἀρτίου πρὸς περιττόν.
14 Εἰ οὖν πλεῖον [v] ἔτι ἀπέχει ἀλλήλων καὶ διαφέρει τὰ συστοί-
χως μὲν λεγόμενα ἐν ἄλλῳ δὲ γένει τῶν ἐν τῷ αὐτῷ γένει
([w] λέγω δ' οἷον τὸ γλυκὺ καὶ τὸ λευκὸν [x] καλῶ σύστοιχα,
γένει δ' ἕτερα· τὸ γλυκὺ δὲ τοῦ μέλανος πλεῖον [y] ἔτι τῷ

[v] δυοῖν L.M.P.S. [w] εἰ] εἰς E.Y. [x] ἧττον δηλονότι U. [y] ἔτι om. L.S.U. [z] τὸ] τῷ S. et pr. U. [a] ψυχὴ ἐν οὐδενὶ L.U. [b] ἴσως καὶ τὸ E.M.P.Y. [c] ἡ αὐτὴ ἢ αὐτὴ μὲν M, ἡ αὐτὴ ἡ αὐτὴ μὲν E. [d] δ' om. L.U. [e] εἰ om. E.M.S.Y. [f] πικρὸν L. [g] τούτων om. E.M.P.Y. [h] ἂν om. S.U. [i] ἅμα αἰσθάνεσθαι P. [k] ἄλλοις οὖν ὁμοίως L. [l] μὲν γὰρ τοῦ rc. S. [m] λόγοις L.U. [n] ἐὰν E.P.S.U. [o] εἷς] εἷς ὁ P. [p] ὁ om. E.M.Y. [q] ἔστι S. [r] ὁ] οὐ Y. [s] πολὺν L.S. [t] ἢ om. S. [v] ἀπέχει ἔτι L.P.S. [w] λέγω δ'] λεγομένων E.M.Y. [x] καλῶ] ἀλλ' ὡς E.M.Y. [y] ἔστι P.

εἴδει διαφέρει ἢ [z] τὸ λευκόν), ἔτι ἂν ἧττον ἅμα ἐνδέχοιτο
αὐτὰ αἰσθάνεσθαι ἢ τὰ τῷ γένει [a] ταὐτά. Ὥστ' εἰ [b] μὴ 15
ταῦτα, οὐδ' ἐκεῖνα. Ὃ δὲ λέγουσί τινες τῶν περὶ τὰς συμ-
φωνίας, ὅτι οὐχ [c] ἅμα μὲν ἀφικνοῦνται οἱ ψόφοι, [d] φαίνον-
ται δέ, καὶ [e] λανθάνει, ὅταν ὁ χρόνος [f] ᾖ ἀναίσθητος, πότερον
[g] ὀρθῶς λέγεται ἢ οὔ; Τάχα [h] γὰρ ἂν φαίη τις καὶ νῦν 16
παρὰ τοῦτο δοκεῖν ἅμα ὁρᾶν καὶ [i] ἀκούειν, ὅτι οἱ μεταξὺ
χρόνοι λανθάνουσιν. Ἢ τοῦτ' οὐκ ἀληθές, οὐδ' ἐνδέχεται
χρόνον εἶναι ἀναίσθητον [k] οὐδένα οὐδὲ λανθάνειν, [l] ἀλλὰ παν-
τὸς [m] ἐνδέχεται αἰσθάνεσθαι. Εἰ γὰρ ὅτε αὐτὸς [n] αὑτοῦ 17
[o] τις αἰσθάνεται ἢ ἄλλου ἐν συνεχεῖ χρόνῳ, μὴ ἐνδέχεται τότε
λανθάνειν ὅτι ἐστίν, ἔστι δέ τις ἐν τῷ συνεχεῖ καὶ τοσοῦτος
[p] ὅσος [q] ὅλως ἀναίσθητός ἐστι, δῆλον ὅτι τότε λανθάνοι ἂν
εἰ ἔστιν αὐτὸς αὑτόν, καὶ [r] εἰ ὁρᾷ, καὶ [s] οὐκ αἰσθάνεται· καὶ
[t] εἰ αἰσθάνεται, ἔτι οὐκ ἂν εἴη οὔτε χρόνος οὔτε πρᾶγμα
οὐδὲν [v] ὃ αἰσθάνεται [w] ἢ ἐν ᾧ, [x] εἰ μὴ οὕτως, ὅτι ἐν [y] τούτου
τινὶ [z] ἢ ὅτι [a] τούτου τι ὁρᾷ, [b] εἴπερ ἔστι τι μέγεθος καὶ
χρόνου καὶ πράγματος ἀναίσθητον ὅλως διὰ μικρότητα· εἰ
γὰρ τὴν ὅλην ὁρᾷ, καὶ αἰσθάνεται τὸν [c] αὐτὸν συνεχῶς χρό-
νον, [d] οὐ τῶν νῦν τούτων τινί. [e] Ἀφῃρήσθω [f] ἡ τὸ ΓΒ, ἐν 18
[g] ᾗ [h] οὐκ ᾐσθάνετο. Οὐκοῦν ἐν ταύτης τινὶ ἢ ταύτης τι,
ὥσπερ τὴν γῆν [i] ὁρᾷ ὅλην, ὅτι τοδὶ αὐτῆς, [k] καὶ ἐν τῷ ἐνιαυ-
τῷ βαδίζει, ὅτι ἐν τῷδε τῷ μέρει αὐτοῦ. Ἀλλὰ μὴν ἐν τῷ

[z] τοῦ λευκοῦ L.S.U. [a] ταὐτά om. P. [b] μὴ] μηδὲ P. [c] ἅμα μὲν om. S.U. [d] φαίνονται—πότερον om. Y. [e] λανθάνειν E.M. [f] ἀναίσθητος ᾖ P. [g] ἀληθῶς γρ. E. [h] γὰρ om. P. [i] ἀκούειν ἕν τι ὅτι L.S.U. [k] οὐδένα οὐδὲ] ἢ οὐδένα E.M.Y. [l] ἀλλὰ πάντως S.U, ἀλλ' ἅπανθ' ὅσα P. [m] ἐνδέχεται αἰσθέσθαι S, αἰσθέσθαι ἐνδέχεται U. [n] ἑαυτοῦ L.S.U.Y. [o] τι E.M. [p] ὃς E.M.Y. [q] ὅλος E. [r] εἰ om. L.P.S.U.Y. [s] οὐκ om. E.M.P.Y. [t] εἰ] ᾗ E.M.Y. [v] ὃ] ὃ μὴ E.M.Y. [w] ἢ om. L.P. [x] εἰ om. E.L M.P.Y. [y] τούτοις S. [z] ἢ ὅτι om. L.S. et pr. U. [a] τούτου τι] τι τούτου S, τούτου pr. U, om. L. [b] εἴπερ—τούτων τινί om. Y. [c] αὐτὸν] ὅλον L, ὅλον αὐτὸν Y. [d] οὐ τῶν νῦν τούτων τινί] οὕτως τὸ ἐν τούτου τινί P, οὕτως ὅτι ἐν τούτου (τούτῳ S.) τινί. ἢ ὅτι (om. U.) τούτου τι ὁρᾷ (ὁρᾶν S.U.), εἴπερ ἔστι τι μέγεθος L.S.U. [e] ἀφαιρείσθω S.U. [f] ἡ] ἢ P, om. L.S.U. [g] ᾗ] ᾧ L.S.U. [h] οὐκ] μὴ P, om. S.U. [i] ὁρᾶν S.U. [k] καὶ om. S.

[l] Β Γ οὐδὲν αἰσθάνεται. [m] Τῷ ἄρα ἐν τούτου τινὶ τοῦ Α Β
[n] αἰσθάνεσθαι λέγεται τοῦ ὅλου αἰσθάνεσθαι [o] καὶ τὴν ὅλην.
19 Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς Α Γ· [p] ἀεὶ γὰρ [q] ἐν τινὶ καὶ
τινός, ὅλου δ' οὐκ ἔστιν [r] αἰσθάνεσθαι. Ἅπαντα μὲν οὖν
αἰσθητά ἐστιν, ἀλλ' οὐ φαίνεται ὅσα ἐστίν· τοῦ γὰρ ἡλίου
τὸ μέγεθος [s] ὁρᾷ καὶ τὸ τετράπηχυ πόρρωθεν, ἀλλ' [t] οὐ
φαίνεται ὅσον, ἀλλ' ἐνίοτε ἀδιαίρετον, [v] ὁρᾷ δ' οὐκ ἀδιαίρε-
20 τον. Ἡ δ' αἰτία εἴρηται ἐν τοῖς ἔμπροσθεν περὶ τούτου.
Ὅτι μὲν οὖν [w] οὐθείς ἐστι χρόνος ἀναίσθητος, ἐκ [x] τούτων
φανερόν· περὶ δὲ τῆς πρότερον λεχθείσης ἀπορίας σκεπτέον,
πότερον ἐνδέχεται ἅμα πλειόνων αἰσθάνεσθαι ἢ οὐκ ἐνδέχε-
ται. Τὸ δ' ἅμα λέγω ἐν ἑνὶ καὶ ἀτόμῳ χρόνῳ πρὸς ἄλληλα.
21 Πρῶτον μὲν οὖν ἆρ' ὧδ' ἐνδέχεται, ἅμα μέν, ἑτέρῳ δὲ τῆς
ψυχῆς αἰσθάνεσθαι, καὶ [y] οὐ τῷ ἀτόμῳ, οὕτω δ' [z] ἀτόμῳ ὡς
[a] παντὶ ὄντι συνεχεῖ; Ἢ ὅτι πρῶτον μὲν [b] τὰ κατὰ τὴν μίαν
αἴσθησιν, οἷον λέγω ὄψιν, εἰ [c] ἔσται [d] ἄλλῳ αἰσθανομένη ἄλ-
λου καὶ ἄλλου χρώματος, πλείω τε μέρη [e] ἕξει [f] εἴδει [g] ταὐτά;
22 [h] Καὶ γὰρ [i] ἃ αἰσθάνεται, [k] ἐν τῷ αὐτῷ γένει [l] ἐστίν. Εἰ δὲ
[m] ὅτι ὡς [n] δύο ὄμματα φαίη τις, οὐδὲν [o] κωλύει, οὕτω καὶ ἐν
τῇ ψυχῇ, ὅτι ἴσως ἐκ μὲν τούτων ἕν τι γίνεται καὶ μία ἡ
ἐνέργεια [p] αὐτῶν· [q] ἐκεῖ δέ, εἰ μὲν ἓν τὸ ἐξ ἀμφοῖν, [r] ἐκεῖνο
23 τὸ αἰσθανόμενον ἔσται, εἰ δὲ χωρίς, οὐχ ὁμοίως ἕξει. [s] Ἔτι
αἰσθήσεις αἱ αὐταὶ πλείους ἔσονται, ὥσπερ εἴ τις ἐπιστήμας
[t] διαφόρους φαίη· οὔτε γὰρ ἡ ἐνέργεια ἄνευ τῆς καθ' [v] αὑτὴν
ἔσται δυνάμεως, οὔτ' ἄνευ ταύτης [w] ἔσται αἴσθησις. Εἰ δὲ

[l] γ β P. [m] τὸ M. [n] αἰσθάνεσθαι] αἰσθάνεται P. [o] καὶ] α β καὶ P. [p] ἀεὶ] δεῖ E.M.Y. [q] ἐν τινὶ] ἕν τι M. [r] αἰσθέσθαι S, αἰσθάνεσθαι α γ β P. [s] ὁρᾶται P. [t] οὐ] οὖν P. [v] ὁρᾷ δ' οὐκ ἀδιαίρετον om. L. [w] οὐθεὶς] οὐκ L.S.U. [x] τούτου L.S.U.Y. [y] οὐ τῷ ἀτόμῳ et mox δ' om. L.S.U. [z] ἄτομον E.Y, ἄτομα M. [a] ἅπαντι P, ἅπαν ἔτι E.M.Y. [b] τὰ om. L. [c] ἔστιν P. [d] ἄλλῳ] ἀλλ' οὐκ E.M.Y. [e] ἕξει] ἓξ P. [f] εἴδει] ἀεὶ E.M.Y. [g] ταῦτα E.M. [h] καὶ om. S. [i] ἃ] ὃ P, om. E.M.Y. [k] ἐν] πάλιν E.M.Y. [l] ἐστίν om. E.M.Y. [m] ὅτι ὡς] ὅτι καὶ P, καὶ ὅτι L.S.U. [n] ὄμματα δύο L.P. [o] κωλύειν L.M.P.S.U. [p] αὐτῷ E.Y. [q] ἐκεῖ δὲ εἰ] εἰ δὲ ᾗ E, εἰ δὲ ᾗ M.Y. [r] ἐκεῖνο] ἓν καὶ E.M.Y. [s] ἔτι] ἔτι αἱ E.M.Y, ἔτι καὶ P. [t] ἀδιαφόρους P. [v] ἑαυτὴν P. [w] αἴσθησις ἔσται L.P.S.U.

[x] τούτων ἐν ἑνὶ καὶ ἀτόμῳ αἰσθάνεται, δῆλον ὅτι καὶ τῶν
ἄλλων· μᾶλλον γὰρ [y] ἐνεδέχετο τούτων ἅμα πλειόνων [z] ἢ
τῶν τῷ γένει ἑτέρων. Εἰ δὲ δὴ ἄλλῳ μὲν γλυκέος ἄλλῳ δὲ 24
λευκοῦ αἰσθάνεται ἡ ψυχὴ μέρει, ἤτοι τὸ ἐκ τούτων ἕν [a] τί
ἐστιν ἢ [b] οὐχ ἕν. Ἀλλ' ἀνάγκη [c] ἕν· ἓν γάρ τι τὸ αἰσθη-
τικόν ἐστι μέρος. Τίνος οὖν [d] ἐκεῖνο ἑνός; Οὐδὲν γὰρ ἐκ
τούτων [e] ἕν. Ἀνάγκη ἄρα ἕν τι εἶναι τῆς ψυχῆς, ᾧ [f] ἅπαντα
αἰσθάνεται, καθάπερ εἴρηται πρότερον, ἄλλο δὲ γένος δι'
ἄλλου. Ἆρ' οὖν ᾗ μὲν ἀδιαίρετόν ἐστι κατ' ἐνέργειαν, ἕν 25
[g] τί ἐστι τὸ αἰσθητικὸν γλυκέος καὶ λευκοῦ, ὅταν δὲ διαιρε-
τὸν γένηται κατ' ἐνέργειαν, ἕτερον; Ἢ ὥσπερ ἐπὶ τῶν
πραγμάτων [h] αὐτῶν ἐνδέχεται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς. Τὸ
γὰρ αὐτὸ [i] καὶ ἓν ἀριθμῷ λευκὸν καὶ γλυκύ ἐστι, καὶ ἄλλα
πολλά, [k] εἰ μὴ χωριστὰ τὰ πάθη ἀλλήλων, ἀλλὰ τὸ εἶναι
ἕτερον ἑκάστῳ. Ὁμοίως τοίνυν θετέον καὶ ἐπὶ τῆς ψυχῆς 26
τὸ αὐτὸ καὶ ἓν εἶναι ἀριθμῷ τὸ αἰσθητικὸν πάντων, [l] τῷ
μέντοι εἶναι ἕτερον καὶ ἕτερον τῶν μὲν γένει τῶν δὲ εἴδει.
Ὥστε καὶ αἰσθάνοιτ' ἂν ἅμα [m] τῷ αὐτῷ καὶ ἑνί, λόγῳ δ' οὐ
[n] τῷ αὐτῷ. Ὅτι δὲ τὸ αἰσθητὸν πᾶν ἐστὶ μέγεθος καὶ οὐκ
ἔστιν ἀδιαίρετον [o] αἰσθητόν, δῆλον. Ἔστι γὰρ ὅθεν μὲν 27
οὐκ ἂν ὀφθείη, ἄπειρον τὸ ἀπόστημα, ὅθεν δὲ ὁρᾶται, πεπε-
ρασμένον. Ὁμοίως δὲ καὶ [p] τὸ [q] ὀσφραντὸν [r] καὶ ἀκουστὸν
καὶ [s] ὅσων μὴ [t] αὐτῶν [v] ἁπτόμενοι αἰσθάνονται. Ἔστι [w] δέ
τι ἔσχατον τοῦ ἀποστήματος ὅθεν οὐχ ὁρᾶται, καὶ πρῶτον
ὅθεν ὁρᾶται. [x] Τοῦτο δὴ ἀνάγκη ἀδιαίρετον εἶναι, οὗ ἐν μὲν 28
τῷ ἐπέκεινα οὐκ ἐνδέχεται αἰσθάνεσθαι ὄντος, ἐν δὲ τῷ ἐπὶ
[y] ταδὶ ἀνάγκη αἰσθάνεσθαι. Εἰ δή τί [z] ἐστιν ἀδιαίρετον αἰ-

[x] τοῦτο E.P.S.Y. [y] ἐνδέχεται S.U. [z] ἢ om. L. [a] τί om. L. [b] οὐχ ἕν] οὐθέν E.P.S.Y. [c] ἕν ante ἓν om. P.S.U. [d] ἐκεῖνος E.Y. [e] ἕν post τούτων om. E.M.S.U.Y. [f] πάντα P. [g] τί om. E.M.Y. et fortasse P. [h] ἐνδέχεται αὐτῶν P. [i] καὶ ante ἓν om. E.M.Y. [k] εἰ γὰρ μὴ L.P.S.U. [l] τῷ] τὸ E.M.P.S.U.Y. [m] τὸ αὐτὸ καὶ ἓν E.M.Y. [n] τὸ αὐτό M. [o] αἰσθάνεσθαι E.M.Y. [p] τὸ om. L.P.S.U. [q] ἀκουστὸν καὶ ὀσφραντόν P. [r] καὶ om. L.S.U. [s] ὅσοι L. [t] ἁπτῶν M. [v] ἁπτόμενοι] λειπόμενοι L. [w] δή L.P.S. [x] τοῦτο] τοῦ P. [y] τάδε L.P.S.U. [z] ἔσται P.

σθητόν, ὅταν τεθῇ ἐπὶ τῷ ἐσχάτῳ ὅθεν ἐστὶν ὕστατον μὲν οὐκ αἰσθητὸν πρῶτον δ' αἰσθητόν, ἅμα συμβήσεται ὁρατὸν εἶναι καὶ ἀόρατον· τοῦτο δ' ἀδύνατον.

Περὶ μὲν οὖν τῶν αἰσθητηρίων καὶ τῶν αἰσθητῶν τίνα
τρόπον ἔχει καὶ κοινῇ καὶ καθ' ἕκαστον αἰσθητήριον εἴρηται·
τῶν δὲ λοιπῶν πρῶτον σκεπτέον περὶ μνήμης [a] καὶ τοῦ μνη-
1 μονεύειν, [b] τί ἐστι, καὶ διὰ [c] τίν' αἰτίαν γίγνεται, καὶ τίνι
τῶν τῆς ψυχῆς μορίων [d] συμβαίνει τοῦτο τὸ πάθος καὶ [e] τὸ
ἀναμιμνήσκεσθαι· οὐ γὰρ οἱ αὐτοί εἰσι μνημονικοὶ καὶ ἀνα-
μνηστικοί, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ [f] μνημονικώτεροι μὲν οἱ βρα-
2 δεῖς, [g] ἀναμνηστικώτεροι δὲ οἱ ταχεῖς καὶ εὐμαθεῖς. Πρῶτον
μὲν οὖν [h] ληπτέον ποῖά [i] ἐστι [j] τὰ μνημονευτά· πολλάκις γὰρ
[k] ἐξαπατᾷ τοῦτο. Οὔτε γὰρ τὸ μέλλον ἐνδέχεται μνημο-
νεύειν, ἀλλ' ἔστι δοξαστὸν καὶ ἐλπιστόν (εἴη δ' ἂν καὶ ἐπι-
στήμη τις ἐλπιστική, καθάπερ [l] τινές φασι τὴν μαντικήν),
οὔτε τοῦ παρόντος, ἀλλ' [m] αἴσθησις· ταύτῃ γὰρ οὔτε τὸ
μέλλον οὔτε τὸ γενόμενον γνωρίζομεν, ἀλλὰ τὸ παρὸν μό-
3 νον. Ἡ δὲ μνήμη τοῦ [n] γενομένου· τὸ δὲ παρὸν [o] ὅτε πά-
ρεστιν, οἷον [p] τοδὶ [q] τὸ λευκὸν ὅτε ὁρᾷ, οὐδεὶς ἂν φαίη μνη-
μονεύειν, οὐδὲ τὸ θεωρούμενον, [r] ὅτε θεωρῶν [r] τυγχάνει καὶ
[s] ἐννοῶν· ἀλλὰ τὸ μὲν αἰσθάνεσθαί φησι, τὸ δ' ἐπίστασθαι
μόνον· ὅταν δ' ἄνευ τῶν [t] ἐνεργειῶν [v] ἔχῃ τὴν ἐπιστήμην καὶ τὴν
αἴσθησιν, οὕτω μέμνηται τὰς τοῦ τριγώνου ὅτι [w] δύο ὀρθαῖς
ἴσαι, τὸ μὲν ὅτι ἔμαθεν ἢ ἐθεώρησεν, τὸ δὲ ὅτι ἤκουσεν ἢ

[a] καὶ τοῦ μνημονεύειν] καὶ ἀναμνήσεως καὶ ὕπνου P, om. L.S.U. [aa] Codices E.L.M.S.U.Y. Tit. καὶ ἀναμνήσεως] καὶ τοῦ μνημονεύειν M.S.U, καὶ ἀναμνήσεως. ὕπνου καὶ ἐγρηγόρσεως καὶ τῆς καθ' ὕπνον μαντικῆς ἀριστοτέλους m. περὶ ὕπνου. περὶ τῆς καθ' ὕπνον μαντικῆς Y. [b] τί] περὶ μνήμης καὶ τοῦ μνημονεύειν λεκτέον τί E.L.S.U.Y. [c] τίνας αἰτίας M. [d] τοῦτο συμβαίνει M.S.U. [e] τὸ] τοῦ S.U. [f] μνημονικοὶ E.Y. [g] ἀναμνηστικοὶ E.Y. [h] σκεπτέον L.S.U. [i] εἰσι L. [j] τὰ om. L.S.U. [k] ἐξαπατᾶται E.Y. [l] φασί τινες U. [m] αἴσθησιν S. [n] λεγομένου Y. [o] ὅτι E.Y. [p] τοδὶ om. M. [q] τὸ om. S. [r] ὅτε et τυγχάνει om. L.S.U. [s] νοῶν L.M.S.U. [t] ἔργων L.S. [v] σχῇ L.S.U. [w] δυσὶν L.Y.

εἶδεν [x]ἢ [y]ὅ τι τοιοῦτον· [z]ἀεὶ γὰρ ὅταν ἐνεργῇ κατὰ τὸ
μνημονεύειν, οὕτως ἐν τῇ ψυχῇ [a]λέγει, ὅτι πρότερον τοῦτο
ἤκουσεν ἢ ᾔσθετο ἢ ἐνόησεν. Ἔστι μὲν οὖν ἡ μνήμη οὔτε 4
αἴσθησις οὔτε ὑπόληψις, ἀλλὰ τούτων τινὸς ἕξις ἢ πάθος,
ὅταν γένηται [b]χρόνος. Τοῦ δὲ νῦν ἐν τῷ νῦν οὐκ ἔστι
μνήμη, καθάπερ εἴρηται [c]καὶ πρότερον, [d]ἀλλὰ τοῦ μὲν πα-
ρόντος αἴσθησις, τοῦ δὲ μέλλοντος ἐλπίς, τοῦ δὲ γενομένου
μνήμη. Διὸ μετὰ [e]χρόνου πᾶσα μνήμη. Ὥσθ' [f]ὅσα χρό-
νου [g]αἰσθάνεται, ταῦτα μόνα [h]τῶν ζῴων μνημονεύει, καὶ
τούτῳ ᾧ αἰσθάνεται. Ἐπεὶ δὲ περὶ φαντασίας εἴρηται πρό- 5
τερον ἐν τοῖς περὶ ψυχῆς, καὶ νοεῖν οὐκ ἔστιν ἄνευ φαντά-
σματος· συμβαίνει γὰρ τὸ αὐτὸ πάθος ἐν τῷ νοεῖν ὅπερ καὶ
ἐν τῷ διαγράφειν· ἐκεῖ τε γὰρ οὐθὲν προσχρώμενοι [i]τῷ τὸ
ποσὸν ὡρισμένον εἶναι τὸ τριγώνου, ὅμως γράφομεν ὡρισμέ-
νον κατὰ τὸ ποσόν· καὶ [k]ὁ νοῶν ὡσαύτως, κἂν μὴ ποσὸν
νοῇ, τίθεται πρὸ ὀμμάτων ποσόν, νοεῖ δ' οὐχ ᾗ ποσόν. Ἂν 6
δ' ἡ φύσις ᾖ τῶν ποσῶν, [l]ἀόριστον δέ, τίθεται μὲν ποσὸν
ὡρισμένον, νοεῖ δ' ᾗ ποσὸν μόνον. Διὰ τίνα μὲν οὖν αἰτίαν
οὐκ ἐνδέχεται νοεῖν [m]οὐδὲν ἄνευ [n]τοῦ [o]συνεχοῦς, οὐδ' ἄνευ
χρόνου [p]τὰ μὴ ἐν χρόνῳ ὄντα, [q]ἄλλος λόγος. Μέγεθος
[r]δ' ἀναγκαῖον γνωρίζειν καὶ κίνησιν ᾧ καὶ [s]χρόνον, καὶ τὸ
φάντασμα τῆς κοινῆς αἰσθήσεως πάθος ἐστίν. [t]Ὥστε φα- 7
νερὸν ὅτι τῷ πρώτῳ αἰσθητικῷ τούτων ἡ γνῶσίς ἐστιν. Ἡ
δὲ μνήμη καὶ ἡ τῶν νοητῶν οὐκ ἄνευ [v]φαντάσματός ἐστιν.
Ὥστε τοῦ νοουμένου κατὰ συμβεβηκὸς ἂν εἴη, καθ' αὑτὸ δὲ
τοῦ πρώτου αἰσθητικοῦ. Διὸ καὶ ἑτέροις τισὶν ὑπάρχει τῶν
ζῴων, καὶ οὐ μόνον [w]ἀνθρώποις καὶ τοῖς ἔχουσι δόξαν ἢ

[x] ἢ ante ὅ om. M. [y] ὅ τι] τι L.M.S.U. [z] ἀεὶ] δεῖ E.M.Y.
[a] λέγειν E.M.Y. [b] χρόνιον Y. et rc. E. [c] καὶ πρότερον om. L.M.S.U.
[d] ἀλλὰ] ἔστι γὰρ L.S.U. [e] χρόνον E.M.Y. [f] ὅσα τε χρ. E.Y.
[g] αἰσθ. καὶ ᾧ ταῦτα E.M. [h] τῶν ζώων μνημονεύει τῶν ζώων καὶ M.
[i] τῷ ante τὸ om. E.Y. [k] ὁ νοῶν] ὀνομάζομεν E.M.Y. [l] ἀορίστων
L.M.S.U.Y. et corr. E. [m] οὐδὲν om. pr. E. [n] τοῦ om. L.M.S.U.
[o] συνεχῶς E.Y. [p] τὰ γὰρ χρόνῳ μὴ ὄντα Y, om. E. [q] λόγος ἄλλος
E.M.Y. [r] δ' om. E.Y. [s] χρόνος E. [t] ὥστε τοῦτο φανερὸν E.M.Y.
[v] φαντάσματος] τῆς φαντασίας E.Y. [w] ἀνθρώπῳ L.S.U.

8 φρόνησιν. Εἰ δὲ τῶν νοητικῶν [x]τι μορίων ἦν, οὐκ ἂν ὑπῆρχε
πολλοῖς τῶν ἄλλων ζῴων, ἴσως δ' οὐδενὶ τῶν θνητῶν, ἐπεὶ [y]οὐδὲ
νῦν πᾶσι διὰ τὸ μὴ [z]πάντα χρόνου αἴσθησιν ἔχειν· [a]ἀεὶ γὰρ
ὅταν ἐνεργῇ τῇ μνήμῃ, καθάπερ καὶ πρότερον εἴπομεν, ὅτι
εἶδε τοῦτο ἢ ἤκουσεν ἢ ἔμαθε, [b]προσαισθάνεται ὅτι πρότε-
9 ρον· τὸ δὲ πρότερον [c]καὶ ὕστερον ἐν χρόνῳ ἐστίν. Τίνος
μὲν οὖν τῶν τῆς ψυχῆς ἐστὶν [d]ἡ μνήμη, φανερόν, ὅτι οὗπερ
καὶ [e]ἡ φαντασία· [f]καὶ ἔστι μνημονευτὰ καθ' αὑτὰ μὲν [g]ὅσα
ἐστὶ φανταστά, κατὰ συμβεβηκὸς δὲ ὅσα [h]μὴ ἄνευ φαντα-
σίας. ˈΑπορήσειε δ' ἄν τις πῶς ποτὲ [i]τοῦ μὲν πάθους πα-
ρόντος τοῦ δὲ πράγματος ἀπόντος [k]μνημονεύεται τὸ μὴ
10 παρόν. Δῆλον γὰρ ὅτι δεῖ νοῆσαι [l]τοιοῦτον τὸ γινόμενον
διὰ τῆς αἰσθήσεως ἐν τῇ ψυχῇ καὶ τῷ μορίῳ τοῦ σώματος
τῷ ἔχοντι αὐτήν, οἷον ζωγράφημά τι τὸ πάθος, οὗ φαμὲν
τὴν ἕξιν [m]μνήμην εἶναι· ἡ γὰρ γινομένη κίνησις ἐνσημαίνε-
ται οἷον τύπον τινὰ [n]τοῦ αἰσθήματος, καθάπερ οἱ σφραγι-
11 ζόμενοι τοῖς [o]δακτυλίοις. Διὸ καὶ τοῖς μὲν ἐν κινήσει πολ-
λῇ διὰ πάθος ἢ δι' ἡλικίαν οὖσιν οὐ γίνεται μνήμη, καθάπερ
[p]ἂν εἰς ὕδωρ ῥέον ἐμπιπτούσης τῆς κινήσεως καὶ τῆς σφρα-
γῖδος· τοῖς δὲ διὰ τὸ [q]ψήχεσθαι, καθάπερ τὰ παλαιὰ τῶν
οἰκοδομημάτων, καὶ διὰ σκληρότητα τοῦ δεχομένου τὸ πάθος
12 οὐκ ἐγγίνεται ὁ τύπος. Διόπερ οἵ τε σφόδρα νέοι καὶ οἱ
γέροντες ἀμνήμονές εἰσιν· ῥέουσι γὰρ οἱ μὲν διὰ τὴν αὔξη-
σιν, οἱ δὲ διὰ τὴν φθίσιν. ˈΟμοίως δὲ καὶ οἱ λίαν ταχεῖς
καὶ [r]οἱ λίαν βραδεῖς [s]οὐδέτεροι φαίνονται μνήμονες· οἱ μὲν
γάρ εἰσιν ὑγρότεροι τοῦ δέοντος, οἱ δὲ σκληρότεροι· τοῖς
μὲν οὖν οὐ μένει τὸ φάντασμα ἐν τῇ ψυχῇ, [t]τῶν δ' οὐχ

[x] τι om. M.Y. [y] οὐδὲν M. [z] πάντα] πάντων L. [a] ἀεὶ] δεῖ E.Y. [b] προαισθάνεσθαί τι πρότερον E.Y, ὅτι προαισθάνεται πρότερον S, πρότερον προαισθάνεται M. [c] καὶ] ἢ M. [d] ἡ om. L.S.U. [e] ἡ om. L.S. [f] καὶ—φανταστά om. M. [g] ὅσα μή ἐστι φανταστά E.Y, ὧν ἐστὶ φαντασία L.S.U. [h] μὴ ἄνευ] μετὰ M. [i] μὲν τοῦ M. [k] μνημονεύει L.S.U. [l] τοιοῦτο E, τοιοῦτό τι M, τοῦτον S. [m] εἶναι μνήμην L.S. [n] τὸ αἴσθημα M. [o] δακτύλοις M. [p] ἂν om. S. [q] ψύχεσθαι M.Y. [r] οἱ λίαν ante βρ. om. L.M.S.U. [s] οὐδέτεροι ὡσεπιτοπολὺ φ. μνημονικοὶ ὄντες οἱ M. [t] τῶν] τούτων M.

ἅπτεται. Ἀλλ' εἰ δὴ τοιοῦτόν ἐστι τὸ συμβαῖνον περὶ τὴν 13
μνήμην, πότερον τοῦτο μνημονεύει τὸ πάθος, ἢ ἐκεῖνο ἀφ' οὗ ἐγένετο; Εἰ μὲν [v] γὰρ τοῦτο, τῶν [w] ἀπόντων οὐδὲν [x] ἂν μνημονεύοιμεν· εἰ δ' ἐκεῖνο, πῶς αἰσθανόμενοι [y] τούτου μνημονεύομεν, οὗ μὴ αἰσθανόμεθα, τὸ ἀπόν; Εἴτ' ἐστὶν ὅμοιον ὥσπερ τύπος ἢ γραφὴ ἐν ἡμῖν, [z] τούτου αὐτοῦ ἡ αἴσθησις διὰ τί ἂν εἴη μνήμη ἑτέρου, ἀλλ' οὐκ αὐτοῦ τούτου; [a] Ὁ γὰρ 14
ἐνεργῶν τῇ μνήμῃ θεωρεῖ τὸ πάθος τοῦτο καὶ αἰσθάνεται τούτου. Πῶς οὖν τὸ μὴ παρὸν [b] μνημονεύει; Εἴη γὰρ ἂν καὶ ὁρᾶν τὸ μὴ παρὸν καὶ ἀκούειν. Ἢ ἔστιν ὡς ἐνδέχεται καὶ συμβαίνει τοῦτο; Οἷον γὰρ τὸ ἐν [c] τῷ πίνακι γεγραμμένον 15
καὶ ζῷόν ἐστι καὶ εἰκών, [d] καὶ [e] τὸ αὐτὸ καὶ ἓν [f] τοῦτ' ἐστὶν ἄμφω, τὸ μέντοι εἶναι οὐ [g] ταὐτὸν ἀμφοῖν, καὶ ἔστι θεωρεῖν καὶ ὡς ζῷον καὶ ὡς εἰκόνα, οὕτω καὶ [h] τὸ ἐν ἡμῖν φάντασμα δεῖ ὑπολαβεῖν καὶ [i] αὐτό τι καθ' αὑτὸ [k] εἶναι [l] θεώρημα καὶ ἄλλου φάντασμα. Ἧι μὲν οὖν καθ' [m] αὑτό, θεώρημα ἢ φάντασμά [n] ἐστιν, ᾗ δ' ἄλλου, οἷον εἰκὼν καὶ μνημόνευμα. Ὥστε 16
καὶ ὅταν ἐνεργῇ ἡ κίνησις αὐτοῦ, ἂν μὲν ᾗ καθ' αὑτό ἐστι, ταύτῃ [o] αἴσθηται ἡ ψυχὴ αὐτοῦ, οἷον νόημά τι ἢ φάντασμα φαίνεται [p] ἐπελθεῖν· ἂν δ' ᾗ [q] ἄλλου, ὥσπερ ἐν τῇ γραφῇ ὡς εἰκόνα [r] θεωρεῖ, καὶ μὴ ἑωρακὼς τὸν Κορίσκον ὡς Κορίσκου· ἐνταῦθά [s] τε ἄλλο τὸ πάθος τῆς θεωρίας ταύτης καὶ ὅταν ὡς ζῷον γεγραμμένον θεωρῇ, [t] ἔν τε τῇ ψυχῇ τὸ μὲν γίνεται ὥσπερ νόημα μόνον, τὸ δ' ὡς ἐκεῖ ὅτι [v] εἰκών, μνημόνευμα. Καὶ διὰ τοῦτο ἐνίοτ' οὐκ ἴσμεν, [w] ἐγγινομένων ἡμῖν 17
ἐν τῇ ψυχῇ τοιούτων [x] κινήσεων ἀπὸ τοῦ [y] αἰσθέσθαι πρότε-

[v] γὰρ om. E.Y. [w] ἁπάντων M. [x] ἂν om. E.Y. [y] τοῦτο L. [z] τούτου αὐτοῦ ἡ] ἡ τούτου αὐτοῦ M. et corr. U, εἰ τούτου αὐτοῦ L.S. [a] ὁ γὰρ—τούτου om. L. [b] μνημονεύσει E.Y. [c] τῷ om. M.S.U. [d] καὶ om. E.L.Y. [e] τὸ om. S. [f] τοῦτ' ἐστὶν ἄμφω] αὐτό ἐστιν ἄμφω L.S, ἄμφω ταὐτ' ἐστίν M. [g] ταυτόν ἐστιν ἀμφοῖν E.M.Y. [h] τὰ ἐν ἡμῖν φάσματα (corr. φαντάσματα) Y. [i] αὐτὸ καθ' ἑαυτὸ E.Y. [k] εἶναι ante τι M.U. [l] θεώρημα om. L.S.U. [m] ἑαυτὸ E.M.Y. [n] ἐστιν om. M. [o] αἰσθάνηται L.S.U, αἰσθάνεται M. [p] ἐπελθόν L. [q] ἄλλου καὶ ὥσπερ S.U. [r] θεωρῇ L.M. [s] τε om. M. [t] ἔν τε] τὸ ἐν E.M.Y. [v] εἰκὼν καὶ μν. Y. [w] γινομένων L.S. [x] κινήσεων εἰ ἀπὸ M. [y] αἰσθάνεσθαι E.L.M.Y.

ρον, [a] εἰ κατὰ τὸ ᾐσθῆσθαι συμβαίνει, καὶ [b] εἰ [c] ἔστι μνήμη
[d] ἢ [e] οὔ [f] διστάζομεν· ὁτὲ δὲ συμβαίνει ἐννοῆσαι καὶ ἀναμνη-
18 σθῆναι ὅτι ἠκούσαμέν τι πρότερον ἢ εἴδομεν. Τοῦτο δὲ
συμβαίνει, ὅταν θεωρῶν ὡς [g] αὐτὸ μεταβάλλῃ καὶ θεωρῇ ὡς
ἄλλου. Γίνεται [h] δὲ καὶ [i] τοὐναντίον, οἷον συνέβη Ἀντιφέ-
ροντι τῷ [k] Ὠρείτῃ καὶ ἄλλοις ἐξισταμένοις· τὰ γὰρ [l] φαν-
τάσματα ἔλεγον ὡς [m] γενόμενα καὶ ὡς μνημονεύοντες. Τοῦτο
19 δὲ γίνεται, ὅταν [n] τις τὴν μὴ εἰκόνα ὡς εἰκόνα θεωρῇ. Αἱ δὲ
μελέται τὴν μνήμην [o] σώζουσι τῷ ἐπαναμιμνήσκειν· τοῦτο δ'
ἐστὶν οὐδὲν ἕτερον ἢ τὸ θεωρεῖν πολλάκις ὡς εἰκόνα καὶ μὴ
ὡς καθ' αὐτό. Τί μὲν οὖν [p] ἐστὶ μνήμη καὶ τὸ μνημονεύειν,
εἴρηται, ὅτι [q] φαντάσματος, ὡς εἰκόνος οὗ φάντασμα, ἕξις,
καὶ τίνος μορίου τῶν ἐν ἡμῖν, ὅτι τοῦ πρώτου αἰσθητικοῦ, καὶ
[r] ᾧ χρόνου αἰσθανόμεθα.

2 Περὶ δὲ τοῦ ἀναμιμνήσκεσθαι λοιπὸν εἰπεῖν. Πρῶτον
μὲν οὖν ὅσα ἐν τοῖς ἐπιχειρηματικοῖς λόγοις [s] ἐστὶν ἀληθῆ,
2 δεῖ [t] τίθεσθαι ὡς ὑπάρχοντα. [v] Οὔτε γὰρ μνήμης ἐστὶν
ἀνάληψις [w] ἡ ἀνάμνησις οὔτε λῆψις· ὅταν γὰρ τὸ πρῶτον
[x] ἢ μάθῃ ἢ πάθῃ, οὔτ' ἀναλαμβάνει μνήμην οὐδεμίαν (οὐδεμία
γὰρ προγέγονεν) οὔτ' ἐξ ἀρχῆς λαμβάνει· ὅταν [y] δὲ [z] ἐγγέ-
νηται [a] ἡ ἕξις [b] καὶ τὸ πάθος, τότε [c] ἡ μνήμη ἐστίν. Ὥστε
3 μετὰ τοῦ πάθους ἐγγινομένου οὐκ ἐγγίνεται. [d] Ἔτι δ' ὅτε
τὸ πρῶτον [e] ἐγγέγονε τῷ [f] ἀτόμῳ καὶ ἐσχάτῳ, τὸ μὲν πά-
θος ἐνυπάρχει ἤδη τῷ παθόντι καὶ ἡ ἐπιστήμη, εἰ δεῖ καλεῖν
ἐπιστήμην τὴν ἕξιν ἢ τὸ πάθος (οὐθὲν δὲ κωλύει κατὰ συμ-

[a] εἰ] ἢ E.M.Y. [b] εἰ om. M. [c] ἔστιν ἡ μνήμη U, ἔστιν ἢ μνήμη S. [d] ἢ om. pr. E. [e] οὔ] οὐ οὐ Y. [f] διστάζομεν ὁτὲ δὲ] διστάζομεν ὁτὲ δὲ ἐνίοτε S, ἐνίοτε διστάζομεν ὁτὲ δὲ corr. U, ἐνίοτε ὅτε δὲ pr. U, ἐνίοτε δὲ M. [g] αὐτὸ μεταβάλῃ M, αὐτὸ μεταβάλλει U, αὐτόματα βάλλῃ Y. [h] δὲ ἐνίοτε καὶ M.S.U. [i] τοὐναντίον ἐνίοτε οἷον L. [k] ὀρείτῃ E.Y. [l] φαντάσματα] φανέντα αὐτοῖς M. [m] γινόμενα M. [n] τις τὴν μὴ] τὸ παρὰ τὴν E.Y, τις τὴν M. [o] σώζουσιν ἐν τῷ U. [p] ἐστὶν ἡ μνήμη S.U. [q] φάσματος L. [r] οὗ M, οὑ E.Y. [s] εἰσὶν S. [t] τιθέναι L.S.U. [v] οὐδὲ E. [w] ἢ Y. [x] ἢ ante μάθῃ om. E.M.Y. [y] δὲ] γὰρ L. [z] γένηται L.S. [a] ἢ S.U. [b] καὶ] ἢ L.S.U. [c] ἡ om. L.S U. [d] ἔτι] ὅτι E.Y. [e] γέγονε Y, ἐγεγόνει ἐν L.S.U. [f] ἐσχάτῳ καὶ ἀτόμῳ L.

*βεβηκὸς καὶ μνημονεύειν ἔνια ὧν ἐπιστάμεθα)· τὸ δὲ μνημο-*
*νεύειν καθ' αὑτὸ οὐχ* [g]*ὑπάρχει πρὶν χρονισθῆναι· μνημονεύει*
*γὰρ νῦν ὃ εἶδεν ἢ ἔπαθε πρότερον, οὐχ ὃ νῦν ἔπαθε, νῦν*
*μνημονεύει.* [h]*Ἔτι δὲ φανερὸν ὅτι μνημονεύειν ἐστὶ μὴ νῦν* 4
*ἀναμνησθέντα,* [i]*ἀλλ' ἐξ ἀρχῆς* [k]*αἰσθόμενον* [l]*ἢ* [m]*παθόντα.*
*Ἀλλ' ὅταν* [n]*ἀναλαμβάνῃ ἣν πρότερον εἶχεν ἐπιστήμην ἢ*
*αἴσθησιν ἢ οὗ ποτε τὴν ἕξιν* [o]*ἐλέγομεν μνήμην,* [p]*τοῦτ' ἐστὶ*
*καὶ* [q]*τότε* [r]*τὸ ἀναμιμνήσκεσθαι* [s]*τῶν εἰρημένων τι. Τὸ δὲ* 5
*μνημονεύειν συμβαίνει, καὶ* [t]*μνήμη ἀκολουθεῖ. Οὐδὲ δὴ ταῦ-*
*τα ἁπλῶς, ἐὰν ἔμπροσθεν* [v]*ὑπάρξαντα πάλιν* [w]*ἐγγένηται,*
*ἀλλ' ἔστιν ὡς, ἔστι δ' ὡς οὔ. Δὶς γὰρ μαθεῖν* [x]*καὶ εὑρεῖν*
*ἐνδέχεται* [y]*τὸν αὐτὸν τὸ αὐτό· δεῖ οὖν διαφέρειν τὸ ἀναμιμνή-*
*σκεσθαι τούτων, καὶ ἐνούσης πλείονος ἀρχῆς ἢ ἐξ ἧς* [z]*μαν-*
*θάνουσιν ἀναμιμνήσκεσθαι. Συμβαίνουσι δ' αἱ ἀναμνήσεις,* 6
[a]*ἐπειδὴ πέφυκεν* [b]*ἡ κίνησις ἥδε* [c]*γενέσθαι μετὰ τήνδε· εἰ*
*μὲν ἐξ ἀνάγκης, δῆλον ὡς ὅταν* [d]*ἐκείνη* [e]*κινηθῇ,* [f]*τήνδε κινη-*
*θήσεται· εἰ δὲ μὴ ἐξ ἀνάγκης ἀλλ' ἔθει, ὡς ἐπὶ τὸ πολὺ*
*κινηθήσεται. Συμβαίνει δ'* [g]*ἐνίους ἅπαξ ἐθισθῆναι* [h]*μᾶλλον* 7
*ἢ* [i]*ἄλλους πολλάκις κινουμένους· διὸ ἔνια* [k]*ἅπαξ ἰδόντες*
*μᾶλλον μνημονεύομεν ἢ* [l]*ἕτερα πολλάκις. Ὅταν οὖν ἀνα-*
*μιμνησκώμεθα, κινούμεθα τῶν* [m]*προτέρων τινὰ κινήσεων, ἕως*
*ἂν* [n]*κινηθῶμεν μεθ' ἣν ἐκείνη* [o]*εἴωθεν. Διὸ καὶ τὸ ἐφεξῆς* 8
*θηρεύομεν* [p]*νοήσαντες ἀπὸ τοῦ νῦν ἢ ἄλλου τινός, καὶ ἀφ'*
*ὁμοίου* [q]*ἢ ἐναντίου ἢ τοῦ σύνεγγυς. Διὰ τοῦτο γίνεται ἡ*
*ἀνάμνησις· αἱ γὰρ κινήσεις τούτων τῶν μὲν αἱ αὐταί, τῶν δ'*

[g] *ὑπάρξει* E.M. [h] *ἔτι δὲ φ.* L.S. [i] *ἀλλ'* om. L.S.U. [k] *αἰσθανό-μενον* E.M.Y. [l] *ἢ*] *μὴ* E.Y. [m] *μαθόντα* S, *μαθόντα τί* M. [n] *ἀνα-λάβῃ* M. [o] *ἐλέγομεν εἶναι μν.* M. [p] *τοῦτ' ἐστί*] *τούτων μὲν* E.Y. [q] *τότε*] *τοῦτο* S. [r] *τὸ* om. L.M.S.U. [s] *τῶν*] *ἐστὶ τῶν* E.M.Y. [t] *μνήμην ἀκολουθεῖν* L. [v] *ὑπάρξασα* E.Y. [w] *ἐγγίνηται* L.S.U. [x] *ἐνδέχεται καὶ εὑρεῖν* L. [y] *τὸ αὐτὸ τὸν αὐτὸν* M.S.U. [z] *μανθάνει* S. [a] *ἐπειδὴ πέφυκεν ἡ κίνησις* om. E.Y. [b] *ἥδε ἡ κίνησις* M.S.U. [c] *γενέ-σθαι* om. L.M.S.U. [d] *ἐκείνην* U. [e] *βοηθῇ* L. [f] *τήνδε τὴν κίνησιν κινηθήσεται* E.M.Y. [g] *ἔνια γρ.* U. [h] *θᾶττον* E.M. [i] *ἑτέρους* L.S.U, *ἕτερα γρ.* U. [k] *ἰδόντες ἅπαξ* L. [l] *ἕτερον* S.U, *ἕτεροι* E.Y. [m] *πρό-τερον* E.Y. [n] *κινηθῶμεν*] *κινηθῇ* M. [o] *εἰώθει* M. [p] *νοήσαντες* om. L. [q] *ἢ ἐναντίου ἢ*] *καὶ ἐναντίου καὶ* E.M.Y.

ἅμα, τῶν δὲ μέρος ἔχουσιν, ὥστε τὸ λοιπὸν μικρὸν [r]ὃ ἐκινήθη
9 μετ' ἐκεῖνο. Ζητοῦσι μὲν [s]οὖν οὕτω, καὶ μὴ ζητοῦντες δ'
οὕτως ἀναμιμνήσκονται, ὅταν μεθ' ἑτέραν κίνησιν ἐκείνη [t]γέ-
νηται· ὡς δὲ τὰ πολλὰ ἑτέρων [v]γενομένων κινήσεων οἵων
εἴπομεν, ἐγένετο ἐκείνη. Οὐδὲν δὲ δεῖ σκοπεῖν τὰ πόρρω,
πῶς μεμνήμεθα, ἀλλὰ τὰ σύνεγγυς· δῆλον γὰρ [w]ὅτι ὁ αὐ-
τός ἐστι τρόπος, [x]λέγω δὲ τὸ ἐφεξῆς, οὐ [y]προζητήσας οὐδ'
10 ἀναμνησθείς. Τῷ γὰρ ἔθει ἀκολουθοῦσιν αἱ κινήσεις [z]ἀλλή-
λαις, ἥδε μετὰ τήνδε. Καὶ ὅταν τοίνυν ἀναμιμνήσκεσθαι
βούληται, τοῦτο [a]ποιήσει· [b]ζητήσει λαβεῖν ἀρχὴν κινήσεως,
μεθ' ἣν ἐκείνη ἔσται. Διὸ [c]τάχιστα καὶ κάλλιστα γίνονται
ἀπ' ἀρχῆς αἱ ἀναμνήσεις· ὡς γὰρ [d]ἔχουσι τὰ πράγματα
11 πρὸς ἄλληλα τῷ ἐφεξῆς, [e]οὕτω καὶ αἱ [f]κινήσεις. Καὶ ἔστιν
[g]εὐμνημόνευτα ὅσα τάξιν τινὰ ἔχει, ὥσπερ τὰ μαθήματα· τὰ
δὲ [h]φαύλως καὶ χαλεπῶς. Καὶ [i]τούτῳ διαφέρει τὸ ἀνα-
μιμνήσκεσθαι τοῦ πάλιν μανθάνειν, ὅτι δυνήσεταί πως δι' αὐ-
τοῦ κινηθῆναι ἐπὶ τὸ μετὰ τὴν ἀρχήν. Ὅταν δὲ μή, ἀλλὰ
12 δι' ἄλλου, οὐκέτι μέμνηται. Πολλάκις δ' ἤδη μὲν ἀδυνατεῖ
ἀναμνησθῆναι, [k]ζητεῖν δὲ δύναται καὶ εὑρίσκει. Τοῦτο δὲ
γίνεται κινοῦντι πολλά, [l]ἕως ἂν τοιαύτην κινήσῃ κίνησιν [m]ᾗ
ἀκολουθήσει τὸ πρᾶγμα. Τὸ γὰρ μεμνῆσθαί ἐστι τὸ ἐνεῖναι
[n]δυνάμει τὴν κινοῦσαν· τοῦτο δέ, ὥστ' ἐξ αὑτοῦ καὶ ὧν ἔχει
13 κινήσεων κινηθῆναι, ὥσπερ εἴρηται. Δεῖ δὲ λαβέσθαι ἀρχῆς.
Διὸ ἀπὸ τόπων δοκοῦσιν ἀναμιμνήσκεσθαι ἐνίοτε. Τὸ δ'
αἴτιον ὅτι ταχὺ ἀπ' [o]ἄλλου ἐπ' [p]ἄλλο ἔρχονται, οἷον ἀπὸ
γάλακτος ἐπὶ λευκόν, ἀπὸ λευκοῦ δ' ἐπ' ἀέρα, καὶ ἀπὸ τούτου

[r] ὃ om. E.Y. [s] οὖν om. M.S. [t] γίγνηται L.S.U. [v] γινομένων E.Y. [w] ὅτι] ὡς L.M.S.U. [x] λέγω δὲ] πως λέγει L.S.U. [y] προσζητήσας E. [z] ἀλλήλαις om. S.U. [a] ποιήσας M, ποιήσει καὶ Y, ambiguo E. [b] ζητεῖ M. [c] καὶ τάχιστα μάλιστα M, τάχιστα καὶ μάλιστα U. [d] ἔχει L. [e] οὕτω καὶ αἱ κινήσεις om. M. [f] κινήσεις πρὸς αὐτὰς τῷ ἐφεξῆς. καὶ S. [g] εὐμνημονευτότατα M. [h] φαύλως καὶ] φαῦλα E.M.Y. [i] τούτου E. [k] ζητῶν E.M.Y. [l] ἕως ἂν] ἐὰν E.M.S.U.Y. [m] ᾗ ἀκολουθήσῃ M. [n] δύναμιν L.S.U. [o] ἄλλου ἐπ' om. E. [p] ἄλλον ἔρχεται L.

[q]ἐφ' ὑγρόν, [r]ἀφ' οὗ ἐμνήσθη μετοπώρου, [s]ταύτην [t]ἐπιζητῶν
τὴν ὥραν. Ἔοικε [v]δὴ καθόλου [w]ἀρχὴ καὶ τὸ μέσον πάντων· 14
εἰ γὰρ μὴ πρότερον, ὅταν ἐπὶ τοῦτο ἔλθῃ, μνησθήσεται, [x]ἢ
οὐκέτ' [y]οὐδὲ ἄλλοθεν, οἷον εἴ τις νοήσειεν ἐφ' [z]ὧν Α Β Γ Δ
Ε Ζ Η Θ· εἰ γὰρ μὴ [a]ἐπὶ τοῦ Ε μέμνηται, ἐπὶ τοῦ [b]Ε Θ
ἐμνήσθη· ἐντεῦθεν γὰρ ἐπ' ἄμφω κινηθῆναι ἐνδέχεται, καὶ
ἐπὶ τὸ [c]Δ καὶ ἐπὶ τὸ Ε. Εἰ δὲ μὴ τούτων τι [d]ἐπιζητεῖ, 15
ἐπὶ τὸ Γ ἐλθὼν μνησθήσεται, [e]εἰ τὸ Η ἢ τὸ [f]Ζ [g]ἐπιζητεῖ.
[h]Εἰ δὲ μή, [i]ἐπὶ τὸ [k]Α· καὶ οὕτως ἀεί. [l]Τοῦ δ' ἀπὸ τοῦ
αὐτοῦ ἐνίοτε μὲν μνησθῆναι ἐνίοτε δὲ μή, αἴτιον [m]ὅτι ἐπὶ
[n]πλείω ἐνδέχεται κινηθῆναι ἀπὸ τῆς αὐτῆς ἀρχῆς, οἷον ἀπὸ
τοῦ Γ ἐπὶ τὸ Ζ ἢ τὸ Δ. Ἐὰν οὖν [o]μὴ [p]διὰ παλαιοῦ [q]κι- 16
νῆται, [r]ἐπὶ τὸ συνηθέστερον κινεῖται· ὥσπερ γὰρ φύσις ἤδη
τὸ ἔθος. Διὸ [s]ἃ πολλάκις [t]ἐννοοῦμεν, ταχὺ ἀναμιμνησκό-
μεθα· ὥσπερ γὰρ φύσει τόδε μετὰ τόδε [v]ἐστίν, οὕτω καὶ
ἐνεργείᾳ· τὸ δὲ πολλάκις φύσιν ποιεῖ. Ἐπεὶ δ' [w]ὥσπερ 17
ἐν [x]τοῖς φύσει [y]γίνεται, καὶ παρὰ φύσιν καὶ ἀπὸ τύχης, ἔτι
μᾶλλον ἐν τοῖς [z]δι' ἔθος, οἷς ἡ φύσις [a]γε [b]μὴ ὁμοίως ὑπάρ-
χει· ὥστε κινηθῆναι ἐνίοτε κἀκεῖ [b]καὶ ἄλλως, ἄλλως τε [c]καὶ
ὅταν ἀφέλκῃ ἐκεῖθεν [d]αὐτόσε [e]πῃ. Διὰ τοῦτο [f]καὶ [g]ὅταν 18
[h]δέῃ ὄνομα μνημονεῦσαι, παρόμοιον [i]μέν, εἰς δ' ἐκεῖνο σολοι-
κίζομεν. Τὸ μὲν οὖν ἀναμιμνήσκεσθαι τοῦτον συμβαίνει τὸν
τρόπον. Τὸ δὲ μέγιστον, [k]γνωρίζειν δεῖ τὸν χρόνον, ἢ

[q] ἐφ' om. L.U. [r] ἐφ' M. [s] ταύτῃ E. [t] ἐπιζητῶν] εἰ ζητῶν S, δὲ ζητεῖ M. [v] δὴ τὸ καθ. L.S.U.Y. [w] ἀρχῇ S.U, ἡ ἀρχὴ E.Y. [x] ἢ] ἢ οὐδὲν ἢ M. [y] οὐδὲ] οἶδεν E.M.Y. [z] ᾧ S. [a] ἐπὶ τοῦ Ε μέμνηται om. E.M.Y. [b] Ε Θ] η θ Y, ν θ E, θ L. [c] Δ] α E.M. [d] ἐζήτει E.M.U.Y, ἐπεζήτει L. [e] εἰ] ἢ M, ἐπὶ E.Y. [f] Ζ] θ E.Y. [g] ἐπιζητεῖ om. E.M. [h] εἰ δὲ om. S. [i] ἐπί γε τὸ L.S.U. [k] Α] δ Y. [l] τοῦ δ'] τὸ δ' E.M.Y. [m] ὅτι] τὸ E.Y, om. M. [n] πλεῖον ἐνδέχεσθαι E.Y, πλείω ἔστι M. [o] μὴ om. E.M. [p] δι' ἃ πάλαι οὐ Y. [q] κινηθῇ E.M.Y. [r] ἐπὶ τὸ] ἐπεὶ E.Y. [s] ἃ om. Y, post πολλάκις ponunt E.M. [t] ἐννοούμεθα L.S.U. [v] ἐστίν] ἢ δυνάμει M. [w] ὥσπερ om. E.Y. [x] τοῖς] τῇ E.Y. [y] γίνεται ante ἐν L. [z] δι'] δὲ M. [a] γε om. L.S. [b] μὴ et mox καὶ ἄλλως om. E.M.Y. [c] καὶ ὅταν] κἂν E.Y. [d] αὐτός E.M.Y. et γρ. U. [e] πῃ] ἐπεὶ M, om. E.Y. [f] καὶ] γὰρ E.Y. et γρ. U. [g] ὅταν] ἐπειδὰν E.Y. et γρ. U. [h] δέῃ ὄνομα] ἐπείη μόνον E.Y. [i] μὲν εἰς δ'] ὡς μὲν εἰς E.M.Y. [k] γνωρίζειν μὲν δεῖ M.

19 μέτρῳ ἢ [l] ἀορίστως. Ἔστω δέ [m] τι [n] ᾧ [o] κρίνει τὸν πλείω
καὶ [p] ἐλάττω· εὔλογον δ' ὥσπερ τὰ μεγέθη· νοεῖ γὰρ τὰ
μεγάλα καὶ πόρρω οὐ τῷ ἀποτείνειν ἐκεῖ τὴν διάνοιαν, ὥσπερ
τὴν ὄψιν φασί τινες (καὶ γὰρ μὴ ὄντων [q] ὁμοίως νοήσει),
ἀλλὰ [r] τῇ ἀνάλογον κινήσει· ἔστι γὰρ ἐν [s] αὐτῇ τὰ ὅμοια
20 σχήματα καὶ κινήσεις. Τίνι οὖν [t] διοίσει, ὅταν [v] τὰ μείζω
νοῇ; [w] Ἢ ὅτι ἐκεῖνα [x] νοεῖ, ἢ τὰ [y] ἐλάττω; Πάντα γὰρ τὰ
ἐντὸς ἐλάττω, [z] ὥσπερ ἀνάλογον καὶ τὰ ἐκτός. Ἔστι [a] δ'
ἴσως ὥσπερ [b] καὶ τοῖς εἴδεσιν ἀνάλογον λαβεῖν [c] ἄλλο ἐν
21 αὐτῷ, οὕτω [d] καὶ τοῖς ἀποστήμασιν. Ὥσπερ οὖν εἰ τὴν
Α Β Β Ε κινεῖται, ποιεῖ τὴν [e] Α Δ· ἀνάλογον γὰρ ἡ Α Γ
καὶ [f] ἡ Γ Δ. Τί οὖν μᾶλλον τὴν Γ Δ [g] ἢ τὴν Ζ Η ποιεῖ;
Ἢ ὡς ἡ Α Γ πρὸς [h] τὴν Α Β ἔχει, οὕτως ἡ [i] τὸ Θ πρὸς [k] τὴν
Μ ἔχει. Ταύτας οὖν [l] ἅμα κινεῖται. Ἂν δὲ τὴν Ζ Η
βούληται νοῆσαι, τὴν [m] μὲν [n] Β Ε ὁμοίως νοεῖ, ἀντὶ δὲ τῶν
Θ Ι τὰς Κ [o] Λ νοεῖ· αὗται γὰρ ἔχουσιν ὡς Ζ Α [p] πρὸς Β Α.
22 Ὅταν οὖν ἅμα ἥ τε τοῦ πράγματος [q] γίνηται κίνησις καὶ ἡ
τοῦ χρόνου, τότε τῇ μνήμῃ ἐνεργεῖ. Ἂν δ' [r] οἴηται μὴ
ποιῶν, οἴεται μνημονεύειν· οὐθὲν γὰρ κωλύει διαψευσθῆναί
τινα καὶ δοκεῖν μνημονεύειν μὴ μνημονεύοντα. Ἐνεργοῦντα
δὲ τῇ μνήμῃ [s] μὴ οἴεσθαι [t] ἀλλὰ λανθάνειν μεμνημένον οὐκ
23 ἔστιν· τοῦτο γὰρ ἦν αὐτὸ τὸ μεμνῆσθαι. Ἀλλ' ἐὰν ἡ τοῦ
πράγματος γένηται χωρὶς [v] τῆς τοῦ χρόνου [w] ἢ [x] αὕτη ἐκεί-
νης, οὐ μέμνηται. Ἡ δὲ τοῦ χρόνου [y] διττή ἐστιν· ὁτὲ μὲν

[l] ἀορίστοις L. [m] τι om. M. [n] ᾧ] ὅτῳ ποτὲ M, om. S. [o] κινεῖ E.Y. [p] ἐλάσσω L. [q] ὅμως L. [r] τῇ ἀνάλογον] τινα λόγον L.S.U. [s] αὐτοῖς E.M.Y. [t] διοίσει ἢ ὅταν M. [v] τὰ om. L.S.U. [w] ἢ om. E.M.Y. [x] νοῇ ἢ M, νοεῖν L.S.U, ἀνανοεῖν γρ. U. [y] ἐλάσσω L.U. [z] ὥσπερ] καὶ L.M.S.U. [a] δὴ L.S. [b] καὶ] καὶ ἐν M, om. E.Y. [c] ἀλλ' L.U. [d] καὶ ἐν τοῖς M. [e] Α Δ] γ δ M. [f] ἡ post καὶ om. L.M.S.U. [g] ἢ τὴν om. E.M.Y. [h] τὴν om. S. [i] τὸ] κ Y, ν E, om. M. [k] τὴν Μ] τὸ μ L, τὴν ι E.M.Y. [l] ἅμα καὶ κινεῖται L.S.U. [m] μὲν om. E. [n] Β] θ M, om. Y. [o] Λ] α E Y. [p] πρὸς] ζ M. [q] γένηται L. [r] οἴεται om. S.U. [s] μὴ om. E.M. [t] ἀλλὰ] ἅμα M, om. E.Y. [v] τῆς om. M. [w] ἢ] ἡ M. [x] αὐτὴ E.M.U.Y. [y] δισσή L.M.S.

γὰρ μέτρῳ οὐ μέμνηται [z] αὐτό, [a] οἷον ὅτι [b] τρίτην ἡμέραν
[c] ὁδήποτε [d] ἐποίησεν, ὁτὲ δὲ καὶ μέτρῳ· ἀλλὰ μέμνηται [e] καὶ
ἐὰν [f] μὴ μέτρῳ. [g] Εἰώθασι δὲ λέγειν ὅτι [h] μέμνηνται μέν, 24
πότε [i] μέντοι οὐκ ἴσασιν, ὅταν [k] τοῦ πότε μὴ γνωρίζωσι τὸ
ποσὸν μέτρῳ. Ὅτι μὲν [l] οὖν οὐχ οἱ αὐτοὶ μνημονικοὶ καὶ
ἀναμνηστικοί, [m] ἐν τοῖς πρότερον εἴρηται. Διαφέρει δὲ [n] τοῦ 25
μνημονεύειν τὸ ἀναμιμνήσκεσθαι οὐ μόνον κατὰ τὸν χρόνον,
ἀλλ' ὅτι τοῦ μὲν μνημονεύειν καὶ τῶν ἄλλων ζῴων μετέχει
πολλά, τοῦ δ' ἀναμιμνήσκεσθαι οὐδὲν ὡς εἰπεῖν τῶν [o] γνωρι-
ζομένων ζῴων, πλὴν ἄνθρωπος. Αἴτιον δ' ὅτι τὸ ἀναμιμνή- 26
σκεσθαί ἐστιν οἷον συλλογισμός τις· ὅτι γὰρ πρότερον εἶδεν
ἢ ἤκουσεν ἤ τι τοιοῦτον ἔπαθε, συλλογίζεται ὁ ἀναμιμνησκό-
μενος, καὶ ἔστιν οἷον ζήτησίς τις. Τοῦτο δ' οἷς καὶ τὸ βου-
λευτικὸν ὑπάρχει, [p] φύσει μόνοις συμβέβηκεν· καὶ γὰρ τὸ
βουλεύεσθαι συλλογισμός τίς ἐστιν. Ὅτι [q] δὲ σωματικόν 27
[r] τι τὸ πάθος καὶ ἡ ἀνάμνησις ζήτησις ἐν τοιούτῳ [s] φαντά-
σματος, σημεῖον τὸ παρενοχλεῖν [t] ἐνίους, ἐπειδὰν μὴ δύνωνται
ἀναμνησθῆναι, καὶ [v] πάνυ [w] ἐπέχοντας τὴν διάνοιαν, καὶ [x] οὐκ-
έτ' ἐπιχειροῦντας ἀναμιμνήσκεσθαι οὐδὲν ἧττον, καὶ μάλι-
στα τοὺς μελαγχολικούς· τούτους γὰρ φαντάσματα κινεῖ
μάλιστα. Αἴτιον δὲ [y] τοῦ μὴ [z] ἐπ' αὐτοῖς εἶναι [a] τὸ ἀνα- 28
μιμνήσκεσθαι, [b] ὅτι καθάπερ τοῖς βάλλουσιν οὐκέτι ἐπ' αὐ-
τοῖς τὸ στῆσαι, οὕτω καὶ ὁ ἀναμιμνησκόμενος καὶ θηρεύων
σωματικόν [c] τι κινεῖ, [d] ἐν ᾧ [e] τὸ πάθος. Μάλιστα δ' [f] ἐνο- 29
χλοῦνται οἷς ἂν ὑγρότης τύχῃ ὑπάρχουσα περὶ τὸν αἰσθητι-

[z] αὐτόν S.U, αὐτῶν L.M. [a] οἷον om. E.Y. [b] τρίτῃ ἡμέρᾳ E.Y.b, τρίτης ἡμέρας M.i.l. [c] ὁδή] ὃ μέντοι U, ὅτι μέντοι L.S. [d] ποιῆσαι E.Y.b. [e] καὶ ἐὰν] κἂν M. [f] μὴ καὶ μέτρῳ E.Y. [g] εἴωθε L.m. [h] μέμνηται L.U. [i] μέντοι] δὲ L, δὲ μέντοι S. [k] τοῦ πότε μὴ γνωρίζωσι τὸ ποσὸν M.i.l, μὴ γνωρίζωσι τοῦτο πότε ποσὸν E.Y. et, qui πότε τῷ ποσῷ, L.S.U. [l] οὖν om. S. [m] ἐν τοῖς om. L.S. [n] τὸ μνημονεύειν τοῦ L.S.U. [o] γνωρίμων L.S.U. [p] φύσει om. L. [q] δὲ] δ' ἐστὶ E.M.Y. [r] τι om. E.M.S.Y. [s] φαντάσματι L. [t] ἐνίοις U. [v] πάνυ om. E.Y. [w] ἀπέχοντας M. [x] οὐκέτ' om. M. [y] τὸ Y. [z] ἐφ' ἑαυτοῖς E.M. [a] τὸ ἀναμιμνήσκεσθαι om. E.Y. [b] ὅτι om. M. [c] τι] γὰρ Y, om. E. [d] ἐν ᾧ om. E.Y. [e] τὸ om. E.S.Y. [f] ἐνοχλεῖ M, ἐνυπάρχει E.Y.

κὸν τόπον· οὐ γὰρ ῥᾳδίως παύεται κινηθεῖσα, ἕως ἂν [g] ἐπέλθῃ τὸ ζητούμενον καὶ εὐθυπορήσῃ ἡ κίνησις. Διὸ καὶ [h] ὀργαὶ καὶ φόβοι, ὅταν [i] τι κινήσωσιν, ἀντικινούντων πάλιν τούτων
30 οὐ καθίστανται, ἀλλ' ἐπὶ [k] τὸ αὐτὸ [l] ἀντικινοῦσιν. Καὶ ἔοικε τὸ πάθος τοῖς ὀνόμασι καὶ μέλεσι καὶ λόγοις, ὅταν διὰ στόματος [m] γένηταί τι αὐτῶν [n] σφόδρα· παυσαμένοις γὰρ
31 καὶ οὐ βουλομένοις ἐπέρχεται πάλιν ᾄδειν ἢ λέγειν. Εἰσὶ δὲ καὶ οἱ τὰ ἄνω μείζω ἔχοντες καὶ [o] οἱ [p] νανώδεις ἀμνημονέστεροι τῶν ἐναντίων διὰ τὸ πολὺ βάρος ἔχειν ἐπὶ τῷ αἰσθητικῷ, καὶ μήτ' ἐξ ἀρχῆς τὰς κινήσεις δύνασθαι ἐμμένειν ἀλλὰ διαλύεσθαι, μήτ' ἐν τῷ ἀναμιμνήσκεσθαι ῥᾳδίως [q] εὐθυπορεῖν.
32 Οἱ δὲ πάμπαν νέοι καὶ λίαν γέροντες ἀμνήμονες διὰ τὴν κίνησιν· [r] οἱ μὲν γὰρ ἐν φθίσει, οἱ δ' ἐν αὐξήσει πολλῇ [s] εἰσίν· ἔτι [t] δὲ τά γε παιδία καὶ [v] νανώδη [w] ἐστὶ μέχρι πόρρω τῆς ἡλικίας.

Περὶ μὲν οὖν μνήμης καὶ τοῦ μνημονεύειν, τίς ἡ φύσις αὐτῶν καὶ [x] τίνι τῶν τῆς ψυχῆς μνημονεύει τὰ ζῷα, καὶ περὶ τοῦ ἀναμιμνήσκεσθαι, τί ἐστι καὶ πῶς γίνεται καὶ διὰ [y] τίν'
I αἰτίαν, εἴρηται. Περὶ δὲ ὕπνου καὶ ἐγρηγόρσεως [z] σκεπτέον, τίνα τε τυγχάνει ὄντα, καὶ πότερον [a] ἴδια τῆς ψυχῆς ἢ τοῦ σώματος ἢ κοινά, [b] κἂν ᾖ κοινά, τίνος μορίου τῆς ψυχῆς ἢ τοῦ σώματος· καὶ διὰ τίν' αἰτίαν ὑπάρχει τοῖς ζῴοις· καὶ πότερον ἅπαντα [c] κεκοινώνηκεν [d] αὐτῶν ἀμφοτέρων, ἢ τὰ μὲν [e] ὕπνου τὰ δὲ θατέρου μόνον, ἢ τὰ μὲν οὐδετέρου τὰ δ' ἀμφοτέρων· πρὸς δὲ τούτοις τί ἐστι τὸ ἐνύπνιον, καὶ διὰ τίν' αἰτίαν [f] οἱ [g] καθεύδοντες ὁτὲ μὲν [h] ὀνειρώττουσιν ὁτὲ δ' [i] οὔ·

[g] ἐπανέλθῃ E.M.Y. [h] φόβοι καὶ ὀργαὶ U. [i] τι κινήσωσιν] κινηθῶσιν S.U. [k] τὸ αὐτὸ] ταυτὰ L, ταὐτά S, et pr. U. [l] τι κινοῦσι S. et pr. U. [m] αὐτῶν γένηται τι U, τι αὐτῶν γένηται L.S, γένηταί τις E.Y. [n] σφόδρα] φορά E.Y. [o] οἱ ante νανώδεις om. L.U. [p] μανώδεις M. [q] εὐπορεῖν M. [r] οἱ μὲν—φθίσει om. M. [s] εἰσίν om. L.S.U. [t] δὲ om. E.Y. [v] μανώδη M. [w] εἰσὶ L. [x] τί E.Y. [y] τίνας αἰτίας E.M.Y. [z] ἐπισκεπτέον L.S.U. [a] ἴδια ἢ τῆς Y. [b] κἂν ᾖ] καὶ εἰ L.M.S.U. [c] κεκοινώνηκεν ἅπαντα U. [d] αὐτῶν post ἀμφοτέρων L.M.S.U, om. Y. [e] ὕπνου] θατέρου E.M.Y. [f] οἱ om. L.S.U. [g] καθεύδοντες post ὀνειρώττουσιν L. [h] ὀνειρώσσουσιν E.M.S.Y. [i] οὔ] οὐκ ὀνειρώσσουσιν E.M.Y.

ἢ συμβαίνει μὲν ἀεὶ [k] τοῖς καθεύδουσιν ἐνυπνιάζειν, ἀλλ' οὐ
μνημονεύουσιν· [l] καὶ εἰ τοῦτο [m] γίνεται, διὰ τίνα αἰτίαν γί-
νεται· [n] καὶ πότερον ἐνδέχεται τὰ μέλλοντα προορᾶν, ἢ οὐκ
ἐνδέχεται· καὶ τίνα τρόπον, εἰ ἐνδέχεται· καὶ πότερον τὰ
μέλλοντα ὑπ' [o] ἀνθρώπου πράσσεσθαι μόνον, ἢ καὶ ὧν τὸ
δαιμόνιον ἔχει τὴν αἰτίαν καὶ φύσει γίνεται ἢ [p] ἀπὸ ταὐτο-
μάτου. Πρῶτον μὲν [q] οὖν τοῦτό γε φανερόν, ὅτι τῷ αὐτῷ 2
[r] τοῦ ζῴου ἥ τε ἐγρήγορσις ὑπάρχει καὶ ὁ ὕπνος· [s] ἀντίκειν-
ται γάρ, καὶ φαίνεται στέρησίς τις ὁ ὕπνος τῆς ἐγρηγόρ-
σεως· ἀεὶ γὰρ τὰ [t] ἐναντία καὶ ἐπὶ τῶν ἄλλων καὶ ἐν τοῖς
[v] φυσικοῖς ἐν τῷ αὐτῷ [w] δεκτικῷ [x] φαίνεται γινόμενα καὶ τοῦ
αὐτοῦ ὄντα πάθη, λέγω δ' οἷον ὑγίεια [y] καὶ νόσος, [z] καὶ κάλλος
καὶ αἶσχος, καὶ ἰσχὺς καὶ ἀσθένεια, καὶ ὄψις καὶ τυφλότης, καὶ
ἀκοὴ καὶ κωφότης. Ἔτι δὲ καὶ ἐκ τῶνδε δῆλον. Ὧι γὰρ 3
τὸν ἐγρηγορότα γνωρίζομεν, τούτῳ καὶ τὸν [a] ὑπνοῦντα· [b] τὸν
γὰρ [c] αἰσθανόμενον ἐγρηγορέναι νομίζομεν καὶ τὸν ἐγρηγο-
ρότα πάντα ἢ τῶν ἔξωθέν τινος αἰσθάνεσθαι ἢ τῶν ἐν [d] αὐτῷ
κινήσεων. Εἰ τοίνυν τὸ ἐγρηγορέναι [e] ἐν μηδενὶ ἄλλῳ ἐστὶν 4
ἢ τῷ αἰσθάνεσθαι; δῆλον ὅτι ᾧπερ αἰσθάνεται, τούτῳ [f] καὶ
ἐγρήγορε τὰ ἐγρηγορότα καὶ καθεύδει τὰ καθεύδοντα. Ἐπεὶ 5
δ' οὔτε τῆς ψυχῆς ἴδιον τὸ αἰσθάνεσθαι οὔτε τὸ σώματος
([g] οὗ γὰρ ἡ δύναμις, τούτου καὶ ἡ ἐνέργεια· ἡ δὲ λεγομένη
αἴσθησις, ὡς [h] ἐνέργεια, κίνησίς τις διὰ τοῦ σώματος τῆς
ψυχῆς ἐστί), φανερὸν ὡς οὔτε τῆς ψυχῆς [i] τὸ πάθος ἴδιον,
οὔτ' ἄψυχον σῶμα δυνατὸν αἰσθάνεσθαι. Διωρισμένων δὲ 6
[k] πρότερον ἐν ἑτέροις περὶ τῶν λεγομένων ὡς μορίων τῆς

[k] τοῖς om. L.S.U. [l] καὶ] κἂν E.M.Y. [m] γίνηται E.L.Y. [n] καὶ οὐ πότερον S. [o] ἀνθρώπων πράττεσθαι L. [p] ἀπ' αὐτομάτου E.M.S.U. [q] οὖν om. S. [r] τοῦ ζῴου] ζῴῳ E.Y, τῶν τοῦ ζῴου M. [s] ἀντίκειται M. [t] ἔσχατα L.S.U. [v] φυσικοῖς καὶ ἐν E.M.Y. [w] δεκτικὰ M. [x] φαίνεται τὰ γινόμενα E.Y, φαίνεται γινομένῳ L. [y] καὶ post ὑγίεια om. E.M. [z] καὶ——κωφότης] καὶ locis omnibus om. E.M, primo et tertio quintoque et septimó om. Y. [a] καθυπνοῦντα E.M, καθ' ὕπνον S.U, κάθυπνον L. [b] τὸ S. [c] αἰσθανόμενον τοῦτον ἐγρηγορέναι E.M.Y. [d] αὐτῷ τινὸς κινήσεων L.S.U. [e] ἐν om. M. [f] καὶ post τούτῳ om. E.M.Y. [g] οὖ] ἦ S. [h] ἐνεργείᾳ E. [i] ἴδιον τὸ πάθος L. [k] πρῶτον S. πρότερον ἐν ἑτέροις post ψυχῆς E.M.Y.

ψυχῆς, καὶ τοῦ [l] μὲν θρεπτικοῦ χωριζομένου τῶν ἄλλων ἐν
τοῖς ἔχουσι [m] σώμασι ζωήν, τῶν δ' ἄλλων οὐδενὸς ἄνευ [n] τού-
του, δῆλον ὡς ὅσα μὲν αὐξήσεως καὶ φθίσεως μετέχει [o] μόνον
τῶν ζώντων, ὅτι τούτοις οὐχ ὑπάρχει ὕπνος οὐδ' ἐγρήγορσις,
οἷον τοῖς φυτοῖς· οὐ γὰρ [p] ἔχουσι τὸ αἰσθητικὸν μόριον, οὔτ'
εἰ χωριστόν ἐστιν οὔτ' εἰ μὴ χωριστόν· τῇ γὰρ δυνάμει καὶ
7 [q] τῷ εἶναι χωριστόν ἐστιν. Ὁμοίως δὲ [r] καὶ ὅτι οὐδέν ἐστιν
ὃ ἀεὶ ἐγρήγορεν ἢ ἀεὶ καθεύδει, ἀλλὰ τοῖς αὐτοῖς ὑπάρχει
τῶν ζῴων [s] ἀμφότερα τὰ πάθη ταῦτα· [t] οὔτε γὰρ εἴ [v] τί ἐστι
ζῷον ἔχον αἴσθησιν, τοῦτ' ἐνδέχεται οὔτε καθεύδειν οὔτ'
ἐγρηγορέναι· ἄμφω γὰρ [w] ἐστι τὰ πάθη ταῦτα [x] περὶ αἴσθη-
8 σιν τοῦ πρώτου αἰσθητικοῦ. [y] Οὐκ ἐνδέχεται δὲ οὐδὲ θάτε-
ρον τούτων ἀεὶ ὑπάρχειν τῷ αὐτῷ, οἷον ἀεί τι γένος ζῴων
καθεύδειν ἢ ἀεί [z] τι ἐγρηγορέναι. Ἔτι ὅσων ἐστί [a] τι ἔργον
κατὰ φύσιν, ὅταν [b] ὑπερβάλλῃ τὸν χρόνον [c] ᾧ δύναται χρόνῳ
τι ποιεῖν, ἀνάγκη ἀδυνατεῖν, οἷον τὰ ὄμματα ὁρῶντα καὶ
παύεσθαι τοῦτο ποιοῦντα, ὁμοίως δὲ καὶ χεῖρα καὶ ἄλλο πᾶν
9 οὗ ἐστί τι ἔργον. Εἰ δή τινός ἐστιν ἔργον τὸ αἰσθάνεσθαι,
[d] καὶ τοῦτο [e] ἂν ὑπερβάλλῃ ὅσον ἦν χρόνον δυνάμενον αἰσθά-
10 νεσθαι συνεχῶς, ἀδυνατήσει καὶ οὐκέτι τοῦτο ποιήσει. Εἰ
τοίνυν τὸ [f] ἐγρηγορέναι ὥρισται τῷ λελύσθαι τὴν αἴσθησιν,
τῶν δ' ἐναντίων [g] τὸ μὲν ἀνάγκη παρεῖναι τὸ δ' οὔ, [h] τὸ δ'
ἐγρηγορέναι [i] τῷ καθεύδειν ἐναντίον, καὶ [k] ἀναγκαῖον [l] παντὶ
θάτερον ὑπάρχειν, ἀναγκαῖον ἂν εἴη καθεύδειν. Εἰ οὖν τὸ
11 [m] τοιοῦτον πάθος ὕπνος, τοῦτο δ' ἐστὶν [n] ἀδυναμία δι' ὑπερ-

[l] μὲν om. E.Y. [m] σώμασι ζωήν] σῶμα L.S.U.Y. [n] τούτου ὄντος δῆλον U, τούτου ἢ δῆλον S. [o] μόνων M. [p] ἔχει L. [q] τὸ S. et pr. U. [r] ὅτι καὶ M.U. [s] ἀμφοτέρων ταῦτα τὰ πάθη L. [t] οὔτε] οὐ E.Y. [v] τι] οὔτι Y. [w] εἰσι Y. [x] περὶ τὴν αἴσθησιν M. [y] οὐκ ἐνδέχεται δὲ οὐδὲ θάτερον] οὔτε ἑκάτερον M. [z] τι ante ἐγρ. om. L.S.U. [a] τι] τὸ M. [b] ὑπερβάλῃ M.U. [c] ᾧ δύναται χρόνῳ] ἢ τί ὧν δύναται τῷ χρόνῳ L.M.S.U. [d] καὶ—δυν. αἰσθάνεσθαι om. L.S.U. [e] ἐὰν M. [f] ἐγρηγορέναι τούτῳ ὥρισται E.M. [g] τὸ μὲν ἀνάγκη παρεῖναι τὸ] τῶν μὲν ἀνάγκη θάτερον ἀεὶ παρεῖναι τῶν E.M.Y. [h] τῷ L.S. [i] τῷ] τὸ L, τοῦ M. [k] ἀναγκαῖον om. M. [l] πάντη M, ἅπαντι L.U, ἅπαντα S. [m] τοιοῦτο E. [n] ἀδυναμία τοῦ ἐγρ. δι' E.Y.

*βολὴν* [o] *τοῦ ἐγρηγορέναι, ἡ δὲ τοῦ ἐγρηγορέναι ὑπερβολὴ*
*ὁτὲ μὲν νοσώδης ὁτὲ δ' ἄνευ νόσου γίνεται, ὥστε* [p] *καὶ ἡ ἀδυ-*
*ναμία καὶ ἡ διάλυσις ὡσαύτως ἔσται, ἀνάγκη πᾶν τὸ ἐγρη-*
*γορὸς ἐνδέχεσθαι καθεύδειν· ἀδύνατον γὰρ ἀεὶ ἐνεργεῖν.*
*Ὁμοίως δὲ οὐδὲ καθεύδειν οὐδὲν ἀεὶ ἐνδέχεται. Ὁ γὰρ ὕπνος* 12
[q] *τι τοῦ αἰσθητικοῦ μορίου* [r] *ἐστίν, οἷον δεσμὸς* [s] *καὶ ἀκι-*
*νησία τις, ὥστ' ἀνάγκη πᾶν τὸ καθεῦδον ἔχειν τὸ αἰσθητικὸν*
*μόριον. Αἰσθητικὸν δὲ τὸ δυνατὸν αἰσθάνεσθαι κατ' ἐνέρ-*
*γειαν· ἐνεργεῖν δὲ τῇ αἰσθήσει κυρίως καὶ ἁπλῶς ἀδύνατον*
*καθεῦδον ἅμα· διὸ ἀναγκαῖον ὕπνον πάντα* [t] *ἐγερτὸν εἶναι.*
*Τὰ μὲν οὖν ἄλλα σχεδὸν* [v] *πάντα δῆλα* [w] *κοινωνοῦνθ' ὕπνου,* 13
*καὶ πλωτὰ καὶ πτηνὰ* [x] *καὶ πεζά· καὶ γὰρ τὰ τῶν ἰχθύων*
*γένη πάντα καὶ τὰ τῶν μαλακίων ὦπται καθεύδοντα, καὶ*
*τἆλλα πάνθ' ὅσα*[y]*περ ἔχει ὀφθαλμούς· καὶ γὰρ τὰ* [z] *σκλη-*
*ρόφθαλμα φανερὰ καὶ τὰ ἔντομα κοιμώμενα·* [a] *βραχύυπνα*
*δὲ τὰ τοιαῦτα πάντα, διὸ καὶ λάθοι ἄν τινα πολλάκις πότε-*
*ρον* [b] *μετέχουσι τοῦ καθεύδειν ἢ οὔ. Τῶν δ' ὀστρακοδέρμων* 14
*κατὰ μὲν τὴν αἴσθησιν οὐδέ πω γέγονε φανερὸν* [c] *εἰ* [d] *καθεύ-*
*δουσιν· εἰ δέ τῳ πιθανὸς ὁ* [e] *λεχθεὶς λόγος, τούτῳ πεισθήσε-*
*ται. Ὅτι μὲν οὖν ὕπνου* [f] *κοινωνεῖ τὰ ζῷα πάντα, φανερὸν*
*ἐκ τούτων· τῷ γὰρ* [g] *αἴσθησιν ἔχειν ὥρισται τὸ ζῷον, τῆς δ'*
*αἰσθήσεως τρόπον* [h] *τινὰ τὴν μὲν ἀκινησίαν* [i] *καὶ οἷον δεσμὸν*
*τὸν ὕπνον* [k] *εἶναί φαμεν, τὴν δὲ λύσιν καὶ τὴν ἄνεσιν ἐγρή-*
*γορσιν. Τῶν δὲ φυτῶν* [l] *οὐδὲν οἷόν τε κοινωνεῖν οὐδετέρου* 15
[m] *τούτων τῶν παθημάτων. Ἄνευ μὲν γὰρ αἰσθήσεως οὐχ*
*ὑπάρχει* [n] *οὔθ' ὕπνος* [o] *οὔτ' ἐγρήγορσις· οἷς δ' αἴσθησις*

[o] *τοῦ ἐγρ. δὲ ἡ* M. [p] *καὶ ἀδυναμία καὶ ὕπνος ἡ δ.* L. [q] *τι*] *πάθος τι* L, om. M.S. [r] *ἐστίν*] *ἐστί τι* M, *ἐστί τι πάθος* S, *ἐστι καὶ* L. [s] *τις καὶ ἀκινησία* L.S. [t] *ἐνεργὸν* M. [v] *ἅπαντα* L.S.U, quorum U. *ἅπαντα δῆλα* post *ὕπνου.* [w] *κοινωνοῦνθ' ὕπνου*] *ὅτι κοινωνεῖ τοῦ καθεύδειν* M. [x] *καὶ πεζά* om. L.S.U. [y] *περ* om. E.M.Y. [z] *σκληρόδερμα* M.S. [a] *ταχύυπνα* Y. [b] *μετεχει* L. [c] *εἰ* om. M. [d] *καθεύδει* L.S.U. [e] *λεχθεὶς* om. L. [f] *κοινωνοῦσι* L.S. [g] *ἔχειν αἴσθησιν* L. [h] *τινὰ τὴν μὲν*] *μέν τινα* L. [i] *καὶ* om. E.M.Y. [k] *εἶναι* om. E.U.Y, post *φαμεν* ponit M. [l] *οὐδενὶ* M. [m] *τούτων* om. E.Y, post *παθημάτων* ponit L. [n] *οὔθ'*] *οὐχ* S. [o] *οὔτε ἡ ἐγρήγορσις* U.

*ὑπάρχει, καὶ τὸ λυπεῖσθαι καὶ [p] τὸ χαίρειν· οἷς δὲ ταῦτα,
καὶ [q] ἐπιθυμία. Τοῖς δὲ φυτοῖς οὐδὲν ὑπάρχει τούτων.
Σημεῖον δ᾽ ὅτι καὶ τὸ ἔργον τὸ αὑτοῦ ποιεῖ τὸ θρεπτικὸν
μόριον ἐν τῷ καθεύδειν μᾶλλον ἢ ἐν τῷ ἐγρηγορέναι· τρέ-
φεται γὰρ καὶ αὐξάνεται τότε μᾶλλον, ὡς οὐδὲν [r] προσδεό-
μενα πρὸς ταῦτα τῆς αἰσθήσεως.*

2 *Διὰ τί δὲ καθεύδει καὶ ἐγρήγορε, καὶ διὰ [s] ποίαν τιν᾽ αἴ-*
2 *σθησιν ἢ ποίας, [t] εἰ διὰ πλείους, σκεπτέον. Ἐπεὶ δ᾽ ἔνια
μὲν [v] τῶν ζῴων ἔχει τὰς αἰσθήσεις πάσας, ἔνια δ᾽ οὐκ [w] ἔχου-
σιν, [x] οἷον [y] ὄψιν, τὴν δ᾽ ἁφὴν καὶ τὴν γεῦσιν ἅπαντ᾽ [z] ἔχει,
πλὴν εἴ τι τῶν ζῴων ἀτελές (εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς
περὶ ψυχῆς), ἀδύνατον δ᾽ ἐστὶν ἁπλῶς ὁποιανοῦν αἴσθησιν
αἰσθάνεσθαι τὸ καθεῦδον ζῷον, φανερὸν ὅτι [a] πᾶσιν ἀναγ-
καῖον ὑπάρχειν [b] ταὐτὸ πάθος ἐν τῷ καλουμένῳ ὕπνῳ· εἰ γὰρ
τῇ μὲν τῇ δὲ μή, ταύτῃ καθεῦδον αἰσθήσεται, τοῦτο δ᾽ ἀδύ-*
3 *νατον. Ἐπεὶ δ᾽ ὑπάρχει καθ᾽ ἑκάστην αἴσθησιν τὸ μέν τι
ἴδιον τὸ δέ τι κοινόν, ἴδιον μὲν οἷον τῇ ὄψει τὸ ὁρᾶν, τῇ δ᾽
ἀκοῇ τὸ ἀκούειν, ταῖς δ᾽ [c] ἄλλαις κατὰ τὸν αὐτὸν [d] τρόπον·
ἔστι δέ τις [e] καὶ κοινὴ δύναμις ἀκολουθοῦσα πάσαις, [f] ᾗ καὶ
[g] ὅτι ὁρᾷ καὶ ἀκούει [h] καὶ αἰσθάνεται· [i] οὐ γὰρ δὴ τῇ [k] γε*
4 *ὄψει ὁρᾷ ὅτι ὁρᾷ. Καὶ κρίνει δὴ καὶ δύναται κρίνειν ὅτι
ἕτερα τὰ γλυκέα τῶν λευκῶν, οὔτε γεύσει οὔτε ὄψει οὔτ᾽
ἀμφοῖν, ἀλλά τινι κοινῷ μορίῳ τῶν [l] αἰσθητηρίων [m] ἁπάν-
των. Ἔστι μὲν γὰρ μία αἴσθησις, καὶ τὸ [n] κύριον αἰσθη-
τήριον [o] ἕν· τὸ δ᾽ εἶναι αἰσθήσει τοῦ γένους ἑκάστου ἕτερον,*
5 *οἷον ψόφου καὶ χρώματος. Τοῦτο δ᾽ ἅμα τῷ ἁπτικῷ μά-
λισθ᾽ ὑπάρχει· τοῦτο μὲν γὰρ χωρίζεται τῶν ἄλλων αἰσθη-
τηρίων, τὰ δ᾽ ἄλλα τούτου ἀχώριστα. Εἴρηται δὲ περὶ*

[p] *τὸ* ante *χαίρειν* om. S.U. [q] *ἐπιθυμίαι* M. [r] *προσδεόμενον* E.M.Y. [s] *ποίαν* om. E.M.Y. [t] *εἰ διὰ*] *ἢ* E.M.Y. [v] *τῶν ζῴων* om. E.M.U.Y. [w] *ἔχουσιν*] *ἔχει* Y. [x] *οἷον* om. L.M.S.U. [y] *ὄψιν ἀκοήν, τὴν* Y. [z] *ἔχουσι* M. [a] *πάσαις* M, *πάσας* E. [b] *τὸ αὐτὸ* E.L.S.Y. [c] *ἄλλαις ἑκάστῃ κατὰ* E.M.Y. [d] *τρόπον*] *λόγον* S, *λόγον τρόπον* U. [e] *καὶ* om. E.Y. [f] *ᾗ* M.S. [g] *ὅτι*] *τι* M.S, om. E.Y. [h] *καὶ* post *ἀκούει* om. L.U. [i] *οὐδὲ γὰρ τῇ* Y. [k] *γε* om. S.U. [l] *αἰσθητικῶν* L.S.U. [m] *πάντων* E.M.Y. [n] *κυρίως* E.Y. [o] *ἕν* om. M.

[p] αὐτῶν ἐν τοῖς περὶ ψυχῆς θεωρήμασιν. Φανερὸν τοίνυν
ὅτι τούτου ἐστὶ πάθος ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος. Διὸ καὶ
πᾶσιν ὑπάρχει τοῖς ζῴοις· καὶ γὰρ ἡ ἁφὴ μόνη πᾶσιν. Εἰ 6
γὰρ [q] τῷ πάσας τι πεπονθέναι τὰς αἰσθήσεις ἐγίνετο τὸ κα-
θεύδειν, ἄτοπον εἰ [r] αἷς οὔτ' ἀνάγκη οὔτε δυνατὸν [s] τρόπον
τινὰ ἐνεργεῖν ἅμα, [t] ταύτας ἀναγκαῖον ἀργεῖν ἅμα καὶ ἀκινη-
τίζειν· τοὐναντίον γὰρ εὐλογώτερον [v] συνέβαινεν [w] ἂν αὐταῖς
[x] τὸ μὴ ἅμα ἠρεμεῖν. Ὡς δὲ νῦν λέγομεν, εὐλόγως ἔχει καὶ 7
περὶ τούτων· τοῦ γὰρ κυρίου τῶν ἄλλων πάντων [y] αἰσθητη-
ρίου καὶ πρὸς ὃ συντείνει τἆλλα, πεπονθότος τι συμπάσχειν
ἀναγκαῖον καὶ τὰ λοιπὰ πάντα, ἐκείνων δέ τινος [z] ἀδυνατοῦν-
τος οὐκ ἀνάγκη τοῦτ' ἀδυνατεῖν. Φανερὸν δ' ἐκ πολλῶν ὅτι 8
οὐκ ἐν τῷ τὰς αἰσθήσεις ἀργεῖν καὶ μὴ χρῆσθαι αὐταῖς ὁ
ὕπνος, οὐδ' ἐν τῷ μὴ δύνασθαι [a] αἰσθάνεσθαι. Καὶ γὰρ ἐν
ταῖς [b] λιποψυχίαις [c] τοιοῦτον συμβαίνει· ἀδυναμία γὰρ [d] αἰ-
σθήσεων ἡ λιποψυχία. Γίνονται δὲ καὶ [e] ἔκνοιαί τινες [f] τοι-
αῦται. Ἔτι δ' οἱ τὰς ἐν τῷ αὐχένι φλέβας καταλαμβανό-
μενοι ἀναίσθητοι γίνονται. Ἀλλ' ὅταν ἡ ἀδυναμία τῆς 9
χρήσεως μήτ' ἐν τῷ [g] τυχόντι αἰσθητηρίῳ μήτε δι' ἣν ἔτυχεν
αἰτίαν, ἀλλὰ καθάπερ εἴρηται νῦν, ἐν τῷ πρώτῳ ᾧ αἰσθά-
νεται πάντων· ὅταν μὲν [h] γὰρ τοῦτ' ἀδυνατήσῃ, ἀνάγκη καὶ
τοῖς αἰσθητηρίοις πᾶσιν ἀδυνατεῖν [i] αἰσθέσθαι· ὅταν δ' ἐκεί-
νων [k] τι, οὐκ ἀνάγκη τούτῳ. Δι' ἣν δ' αἰτίαν συμβαίνει τὸ
καθεύδειν, καὶ [l] ποῖόν τι τὸ πάθος ἐστί, λεκτέον. Ἐπεὶ δὲ 10
τρόποι πλείους τῆς αἰτίας (καὶ γὰρ τὸ τίνος [m] ἕνεκα, καὶ
ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ τὴν ὕλην καὶ τὸν λόγον αἴτιον
εἶναί φαμεν), πρῶτον μὲν [n] οὖν ἐπειδὴ λέγομεν τὴν φύσιν
ἕνεκά του ποιεῖν, τοῦτο δ' ἀγαθόν τι, τὴν δ' ἀνάπαυσιν παντὶ

[p] τούτων S.U. [q] τῷ] τὸ M. et pr. U. [r] αἷς οὔτ'] ἐν αἷς οὔτ' S.U, τοῦτ' E.Y, δ' οὐκ M. [s] τινα τρόπον S. [t] ταύτας] οὔτ' E.Y. [v] συμβαίνει U. [w] ἂν om. L.M.S.U. [x] τοῦ S. et corr. U. [y] αἰσθητηρίων S. [z] ἀδυνάτου ὄντος L. et pr. U. [a] αἰσθάνεσθαι om. E.Y. [b] λυποψυχίαις S, λειποψυχίαις L.M.U.Y. [c] τοιοῦτο U. [d] αἰσθήσεως E.M.Y. [e] ἔκπνοιαί Y, ἐκπνοαί E.M. [f] τοιαῦτα E. [g] τυχόντι om. E.M.S.U.Y. [h] γὰρ om. S.U. [i] αἰσθάνεσθαι E.M, om. Y. [k] τινί E.Y. [l] ποιεῖν M, τοῖον L. [m] ἕνεκεν S.U. [n] οὖν om. E.M.Y.

τῷ πεφυκότι κινεῖσθαι, μὴ δυναμένῳ δ' ἀεὶ καὶ συνεχῶς κι-
νεῖσθαι μεθ' ἡδονῆς ἀναγκαῖον εἶναι καὶ [o] ὠφέλιμον, τῷ δ'
ὕπνῳ [p] δι' αὐτὴν τὴν ἀλήθειαν προσάπτουσι τὴν [q] μεταφορὰν
ταύτην ὡς ἀναπαύσει ὄντι· ὥστε σωτηρίας ἕνεκα τῶν ζῴων
11 [r] ὑπάρχει. Ἡ δ' [s] ἐγρήγορσις τέλος· τὸ γὰρ αἰσθάνεσθαι
καὶ τὸ φρονεῖν πᾶσι τέλος οἷς ὑπάρχει θάτερον αὐτῶν· βέλ-
τιστα γὰρ ταῦτα, τὸ δὲ τέλος βέλτιστον. [t] Ὥστε ἀναγ-
12 καῖον ἑκάστῳ τῶν ζῴων ὑπάρχειν τὸν ὕπνον. Λέγω δ' ἐξ
ὑποθέσεως τὴν ἀνάγκην, ὅτι εἰ ζῷον [v] ἔσται ἔχον τὴν αὑτοῦ
φύσιν, ἐξ ἀνάγκης [w] τιν' ὑπάρχειν αὐτῷ δεῖ, καὶ τούτων ὑπαρ-
χόντων ἕτερα ὑπάρχειν. Ἔτι δὲ ποίας κινήσεως καὶ πράξεως
ἐν τοῖς σώμασι γιγνομένης συμβαίνει τό [x] τε ἐγρηγορέναι
13 καὶ τὸ καθεύδειν τοῖς ζῴοις, μετὰ ταῦτα λεκτέον. Τοῖς μὲν
οὖν ἄλλοις ζῴοις [y] καθάπερ τοῖς [z] ἐναίμοις ὑποληπτέον εἶναι
τὰ αἴτια [a] τοῦ πάθους, ἢ ταὐτὰ ἢ τὰ ἀνάλογον, τοῖς δ' ἐναί-
μοις ἅπερ τοῖς ἀνθρώποις· ὥστ' ἐκ τούτων [b] πάντα θεωρη-
τέον. Ὅτι [c] μὲν οὖν ἡ τῆς αἰσθήσεως ἀρχὴ γίνεται ἀπὸ
τοῦ αὐτοῦ μέρους τοῖς ζῴοις ἀφ' οὗπερ καὶ ἡ τῆς κινήσεως,
14 διώρισται πρότερον ἐν ἑτέροις. [d] Αὕτη δ' ἐστὶ τριῶν [e] διω-
ρισμένων τόπων ὁ μέσος κεφαλῆς καὶ τῆς κάτω κοιλίας. Τοῖς
μὲν οὖν ἐναίμοις τοῦτ' ἐστὶ τὸ περὶ τὴν καρδίαν μέρος· [f] πάντα
γὰρ τὰ ἔναιμα καρδίαν ἔχει, καὶ ἡ ἀρχὴ [g] τῆς κινήσεως καὶ
15 τῆς αἰσθήσεως τῆς κυρίας ἐντεῦθέν ἐστιν. Τῆς μὲν οὖν κινή-
σεως φανερὸν ὅτι καὶ ἡ τοῦ πνεύματος ἀρχὴ καὶ ὅλως [h] ἡ
τῆς καταψύξεώς [i] ἐστιν ἐνταῦθα, καὶ [k] τὸ ἀναπνεῖν τε καὶ [l] τὸ
ὑγρῷ καταψύχεσθαι πρός [m] γε σωτηρίαν τοῦ ἐν τούτῳ τῷ

[o] ὠφέλιμον τὴν ἀνάπαυσιν τῷ E.M.Y. [p] δι' αὐτὴν τὴν ἀλήθειαν] αὐτῇ τῇ ἀληθείᾳ E.Y. [q] καταφορὰν E.M. [r] ὑπάρχειν E.M.Y. [s] ἐγρήγορσις τὸ τέλος M.S.U. [t] ὥστε] ἔτι δὲ L.S. [v] ἔσται τὸ ἔχον L.S.U. [w] ὑπάρχειν τιν' U. [x] τε om. L.S.U. [y] καθάπερ] οἷον L. [z] ἀναίμοις E.L.M.U.Y. [a] τοῦ πάθους om. E.Y. [b] πάντα] πότε M. [c] μὲν οὖν om. M. [d] αὐτὸ S.U. [e] ὡρισμένων E.M. [f] ἅπαντα L.S.U. [g] τῆς post ἀρχὴ om. S. [h] ἡ ante τῆς om. L.M.S. [i] ἐνταῦθά ἐστιν M. [k] τὸ ἀναπνέειν τε L, τὰ ἀναπνέοντα E.M.Y. [l] τῷ ὑγρῷ καταψύχεσθαι L, τὰ τῷ ὑγρῷ καταψυχόμενα E.M.Y. [m] γε] τε τὴν E.M.Y, om. S.U.

μορίῳ θερμοῦ ἡ φύσις [n] πεπόρικεν. ⁺Ῥηθήσεται δὲ περὶ
[o] αὐτῆς ὕστερον καθ' αὐτήν. Τοῖς δ' ἀναίμοις καὶ [p] τοῖς ἐν- 16
τόμοις καὶ μὴ δεχομένοις πνεῦμα ἐν τῷ ἀνάλογον τὸ [q] σύμ-
φυτον πνεῦμα ἀναφυσώμενον καὶ [r] συνιζάνον φαίνεται. Δῆλον
δὲ τοῦτο ἐπὶ τῶν ὁλοπτέρων, οἷον σφηκῶν καὶ μελισσῶν, καὶ
ἐν ταῖς μυίαις καὶ ὅσα τοιαῦτα. ⁺Ἐπεὶ δὲ κινεῖν μέν [s] τι ἢ 17
ποιεῖν ἄνευ ἰσχύος ἀδύνατον, ἰσχὺν δὲ ποιεῖ ἡ τοῦ πνεύματος
κάθεξις, τοῖς μὲν εἰσφερομένοις ἡ θύραθεν, τοῖς δὲ μὴ ἀναπνέ-
ουσιν ἡ σύμφυτος. Διὸ καὶ βομβοῦντα φαίνεται τὰ πτε-
ρωτά, ὅταν κινῆται, τῇ τρίψει τοῦ πνεύματος προσπίπτον-
τος πρὸς τὸ ὑπόζωμα τῶν ὁλοπτέρων. Κινεῖται δὲ [t] πᾶν 18
αἰσθήσεώς τινος [v] γινομένης, ἢ οἰκείας ἢ ἀλλοτρίας, ἐν τῷ
πρώτῳ αἰσθητηρίῳ. Εἰ δ' ἐστὶν ὁ ὕπνος καὶ ἡ ἐγρήγορσις
πάθη τοῦ μορίου τούτου, ἐν ᾧ μὲν τόπῳ καὶ ἐν ᾧ μορίῳ πρώ-
τῳ γίνεται ὁ ὕπνος καὶ ἡ ἐγρήγορσις, φανερόν. Κινοῦνται 19
δ' ἔνιοι καθεύδοντες καὶ ποιοῦσι πολλὰ ἐγρηγορικά, οὐ μέν-
τοι ἄνευ φαντάσματος καὶ αἰσθήσεώς τινος· τὸ γὰρ ἐνύπνιόν
ἐστιν αἴσθημα τρόπον τινά. Λεκτέον δὲ περὶ [w] αὐτῶν ὕστε-
ρον. Διότι δὲ τὰ μὲν ἐνύπνια μνημονεύουσιν ἐγερθέντες,
τὰς δ' ἐγρηγορικὰς πράξεις [x] οὐ μνημονεύουσιν, ἐν τοῖς προ-
βληματικοῖς εἴρηται.

⁺Ἐχόμενον δὲ τῶν εἰρημένων ἐστὶν ἐπελθεῖν τίνων γινο- 3
μένων καὶ πόθεν ἡ ἀρχὴ τοῦ πάθους γίγνεται, τοῦ τ' ἐγρη-
γορέναι καὶ τοῦ καθεύδειν. Φανερὸν [y] δὴ ὅτι ἐπεὶ [z] ἀναγ- 2
καῖον τῷ ζῴῳ, ὅταν αἴσθησιν ἔχῃ, τότε πρῶτον τροφήν [a] τε
λαμβάνειν καὶ αὔξησιν, τροφὴ δ' ἐστὶ πᾶσιν [b] ἡ ἐσχάτη τοῖς
μὲν ἐναίμοις ἡ τοῦ αἵματος φύσις τοῖς δ' ἀναίμοις τὸ ἀνά-
λογον, τόπος [c] δὲ τοῦ αἵματος [d] αἱ φλέβες, τούτων δ' ἀρχὴ
ἡ καρδία· φανερὸν δὲ τὸ [e] λεχθὲν ἐκ τῶν ἀνατομῶν. Τῆς 3

[n] πεποίηκε E.Y, πεπόρηκε L. [o] αὐτῶν M. [p] τοῖς post καὶ om. E.M.U.Y. [q] συμφυὲς E.M, γὰρ σύμφυτον L. [r] συνίζον E.M, ξυνιζάνον Y. [s] τι post ποιεῖν S.U. [t] ἅπαν L.S.U. [v] γενομένης L.M.S.U. [w] αὐτοῦ M. [x] οὐ μνημονεύουσιν] ἀμνημονοῦσιν E.M.Y. [y] δ' U.Y. [z] ἀνάγκη M. [a] τε om. S.U. [b] ἡ om. L.S.U. [c] δὲ τοῦ] δ' E.M.Y. [d] αἱ] αἱ καλούμεναι M, om. L.S.U. [e] λεγόμενον L.S.

*μὲν οὖν θύραθεν τροφῆς εἰσιούσης εἰς τοὺς δεκτικοὺς τόπους γίνεται* [f]*ἡ ἀναθυμίασις εἰς τὰς φλέβας, ἐκεῖ δὲ μεταβάλ-*
4 *λουσα ἐξαιματοῦται καὶ πορεύεται ἐπὶ τὴν ἀρχήν. Εἴρηται δὲ περὶ τούτων ἐν τοῖς περὶ τροφῆς· νῦν δ' ἀναληπτέον ὑπὲρ αὐτῶν τούτου χάριν, ὅπως τὰς ἀρχὰς τῆς κινήσεως θεωρήσωμεν, καὶ τί πάσχοντος* [g]*τοῦ μορίου τοῦ αἰσθητικοῦ συμβαίνει*
5 *ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος. Οὐ γάρ ἐστιν ὁ ὕπνος ἡτισοῦν ἀδυναμία τοῦ αἰσθητικοῦ, καθάπερ εἴρηται· καὶ γὰρ* [h]*ἔκνοια καὶ πνιγμός τις καὶ* [i]*λιποψυχία ποιεῖ τὴν τοιαύτην ἀδυναμίαν. Ἤδη* [k]*δὲ γεγένηταί τισι καὶ* [l]*φαντασία* [i]*λιποψυ-*
6 *χήσασιν ἰσχυρῶς. Τοῦτο μὲν οὖν ἔχει τινὰ ἀπορίαν· εἰ γὰρ ἐνδέχεται* [m]*καταδαρθεῖν τὸν* [i]*λιποψυχήσαντα, ἐνδέχοιτ' ἂν ἐνύπνιον εἶναι* [n]*καὶ τὸ φάντασμα. Πολλὰ δ' ἐστὶν ἃ λέγουσιν οἱ σφόδρα* [i]*λιποψυχήσαντες καὶ δόξαντες* [o]*τεθνάναι· περὶ ὧν τὸν αὐτὸν λόγον ὑπολη πτέον* [p]*εἶναι πάντων.*
7 *Ἀλλὰ γὰρ* [q]*ὥσπερ εἴπομεν, οὐκ ἔστιν ὁ ὕπνος ἀδυναμία πᾶσα τοῦ αἰσθητικοῦ, ἀλλ' ἐκ τῆς περὶ τὴν τροφὴν ἀναθυμιάσεως γίνεται τὸ πάθος τοῦτο·* [r]*ἀναγκαῖον γὰρ τὸ ἀναθυμιώμενον μέχρι* [s]*του ὠθεῖσθαι, εἶτ' ἀντιστρέφειν καὶ μετα-*
8 *βάλλειν* [t]*καθάπερ εὔριπον. Τὸ δὲ θερμὸν ἑκάστου τῶν ζῴων πρὸς τὸ ἄνω πέφυκε φέρεσθαι· ὅταν δ' ἐν τοῖς ἄνω τόποις γένηται, ἀθρόον πάλιν ἀντιστρέφει καὶ καταφέρεται. Διὸ μάλιστα γίνονται ὕπνοι ἀπὸ τῆς τροφῆς· ἀθρόον γὰρ*
9 *πολὺ τότε ὑγρὸν καὶ* [v]*τὸ σωματῶδες ἀναφέρεται. Ἱστάμενον* [w]*μὲν οὖν βαρύνει καὶ ποιεῖ νυστάζειν· ὅταν δὲ ῥέψῃ κάτω καὶ ἀντιστρέψαν ἀπώσῃ τὸ θερμόν, τότε γίνεται ὁ ὕπνος καὶ τὸ ζῷον καθεύδει. Σημεῖον δὲ τούτων καὶ τὰ ὑπνωτικά· πάντα γὰρ* [x]*καρηβαρίαν ποιεῖ, καὶ τὰ ποτὰ καὶ*

[f] *ἡ* om. S.U. [g] *τοῦ αἰσθητικοῦ μορίου* M, *τοῦ μορίου τοῦ αἰσθητηρίου* E. [h] *ἔκπνοια* E.M.Y, *ἔννοια* pr. S, *ἄνοια* rc. S. [i] *λιποψ.* E: ceteri *λειποψ.* [k] *δὲ* om. S.U. [l] *φαντασία τις τοῖς λ.* M. [m] *καταδραθεῖν* E.Y. [n] *καὶ* om. L.S.U. [o] *τεθνάναι φαντάσματα ὅταν καταστῶσι περὶ* M. [p] *πάντων εἶναι* U. [q] *οὐκ ἔστιν ὥσπερ εἴπομεν* L. [r] *ἀνάγκη* L.S.U. [s] *που* E.M.S.U.Y. [t] *καθάπερ* om. S. [v] *τὸ* om. Y. [w] *μὲν* om. E.M.S.U.Y. [x] *καρηβαρεῖν* L.U.

τὰ [y] βρωτά, μήκων, μανδραγόρας, οἶνος, αἶραι. [z] Καὶ κατα- 10
φερόμενοι καὶ νυστάζοντες τοῦτο δοκοῦσι πάσχειν, καὶ ἀδυ-
νατοῦσιν αἴρειν τὴν κεφαλὴν καὶ τὰ βλέφαρα. Καὶ μετὰ
[a] τὰ σῖτα μάλιστα τοιοῦτος ὁ ὕπνος· πολλὴ [b] γὰρ ἡ ἀπὸ
τῶν σιτίων ἀναθυμίασις. Ἔτι δ' ἐκ κόπων ἐνίων· ὁ μὲν
γὰρ κόπος συντηκτικόν, τὸ δὲ σύντηγμα γίνεται ὥσπερ τρο-
φὴ ἄπεπτος, ἂν μὴ ψυχρὸν ᾖ. Καὶ νόσοι δέ τινες ταὐτὸ 11
τοῦτο ποιοῦσιν, ὅσαι ἀπὸ περιττώματος ὑγροῦ καὶ θερμοῦ,
οἷον συμβαίνει τοῖς [c] πυρέττουσι καὶ ἐν τοῖς ληθάργοις. Ἔτι
δ' ἡ πρώτη ἡλικία· [d] τὰ γὰρ παιδία καθεύδει σφόδρα διὰ τὸ
τὴν τροφὴν ἄνω φέρεσθαι πᾶσαν. Σημεῖον δὲ τὸ ὑπερβάλ- 12
λειν τὸ μέγεθος τῶν ἄνω πρὸς τὰ κάτω κατὰ τὴν πρώτην
ἡλικίαν, διὰ τὸ ἐπὶ ταῦτα γίνεσθαι τὴν αὔξησιν. Διὰ ταύ-
την δὲ τὴν αἰτίαν καὶ ἐπιληπτικὰ γίνεται· ὅμοιον γὰρ [e] ὁ
ὕπνος ἐπιλήψει, [f] καὶ ἔστι τρόπον τινὰ ὁ ὕπνος ἐπίληψις.
Διὸ καὶ συμβαίνει [g] πολλοῖς ἡ ἀρχὴ [h] τούτου τοῦ πάθους 13
καθεύδουσιν, καὶ καθεύδοντες μὲν ἁλίσκονται, ἐγρηγορότες δ'
οὔ· ὅταν γὰρ πολὺ φέρηται τὸ πνεῦμα [i] ἄνω, καταβαῖνον
πάλιν τὰς φλέβας ὀγκοῖ, [k] καὶ [l] συνθλίβει τὸν πόρον [m] δι'
οὗ ἡ ἀναπνοὴ γίνεται. Διὸ τοῖς παιδίοις οὐ συμφέρουσιν οἱ 14
οἶνοι, οὐδὲ ταῖς [n] τίτθαις (διαφέρει γὰρ [o] ἴσως οὐδὲν αὐτὰ
πίνειν ἢ τὰς [n] τίτθας), ἀλλὰ δεῖ πίνειν [p] ὑδαρῆ καὶ ὀλίγον·
[q] πνευματῶδες γὰρ ὁ οἶνος, καὶ τούτου μᾶλλον ὁ μέλας.
Οὕτω δὲ τὰ ἄνω πλήρη [r] τῆς τροφῆς τοῖς παιδίοις, ὥστε 15
πέντε μηνῶν οὐδὲ [s] στρέφουσι τὸν αὐχένα· ὥσπερ γὰρ τοῖς
σφόδρα μεθύουσιν, ὑγρότης ἀναφέρεται πολλή. Εὔλογον
δὲ [t] τοῦτ' εἶναι τὸ πάθος αἴτιον καὶ τοῦ ἠρεμεῖν ἐν ταῖς μή-
τραις τὰ ἔμβρυα τὸ πρῶτον. Καὶ [v] τὸ ὅλον δὲ φίλυπνοι οἱ 16

[y] βρώματα E.M.S.U.Y. [z] καὶ οἱ κατ. L.S. [a] τὰ σῖτα] σῖτον L.S, σίτα E. [b] γάρ ἐστιν ἡ S. [c] πυρέσσουσι L.U. [d] τὰ μὲν γὰρ S. [e] ὁ om. S.U. [f] καὶ—ἐπίληψις om. M. [g] πολλοῖς] τισὶν E.M.Y. [h] τοῦ πάθους τούτου L. [i] ἄνω καὶ κατ. Y. [k] καὶ] αἷς L.M.S.U. [l] συνθλίβῃ Y. [m] δι' οὗ] δι' ὃν E.Y, ᾗ S.U, om. M. [n] τιτθαῖς et τιτθάς pr. E. [o] οὐδὲν ἴσως M. [p] ὑδαρὲς S.U.Y. [q] πνευματώδης L. [r] τῆς om. E.M.S.Y. [s] στρέφειν L. [t] εἶναι τοῦτο τὸ πάθος E.Y, εἶναι τὸ πάθος τοῦτο M.S, τοῦτ' εἶναι τὸ U. [v] τὸ ὅλον] ὅλως M.

ἀδηλόφλεβοι καὶ [w] οἱ [x] νανώδεις καὶ [y] οἱ μεγαλοκέφαλοι· τῶν
μὲν γὰρ αἱ φλέβες στεναί, ὥστ' οὐ ῥᾴδιον [z] διαρρεῖν κατιὸν
τὸ ὑγρόν, τοῖς δὲ [a] νανώδεσι καὶ μεγαλοκεφάλοις ἡ ἄνω ὁρμὴ
17 πολλὴ καὶ ἀναθυμίασις. Οἱ δὲ φλεβώδεις οὐχ ὑπνωτικοὶ δι'
εὔροιαν τῶν [b] φλεβῶν, ἂν μή τι ἄλλο πάθος ἔχωσιν ὑπεναν-
τίον. Οὐδ' οἱ μελαγχολικοί· κατέψυκται γὰρ ὁ εἴσω τό-
πος, ὥστ' οὐ γίνεται [c] πλῆθος αὐτοῖς ἀναθυμιάσεως. Διὰ
τοῦτο γὰρ καὶ βρωτικοὶ [d] σκληροὶ ὄντες· ὥσπερ γὰρ οὐδὲν
18 ἀπολελαυκότα διάκειται τὰ σώματα αὐτοῖς. Ἡ δὲ μέλαινα
χολὴ φύσει ψυχρὰ οὖσα καὶ τὸν θρεπτικὸν τόπον ψυχρὸν
ποιεῖ καὶ [e] τἆλλα μόρια, ὅπου ἂν [f] ὑπάρχῃ δυνάμει τὸ τοιοῦ-
τον [g] περίττωμα. Ὥστε φανερὸν ἐκ τῶν εἰρημένων ὅτι ὁ
ὕπνος ἐστὶ σύνοδός τις τοῦ θερμοῦ εἴσω καὶ ἀντιπερίστασις
19 φυσικὴ διὰ τὴν εἰρημένην αἰτίαν. Διὸ [h] πολλὴ [i] ἡ κίνησις
τοῦ [k] ὑπνοῦντος. Ὅθεν δ' ἐκλείπει, καταψύχεται, καὶ διὰ
ψύξιν [l] καταπίπτει τὰ βλέφαρα. Καὶ τὰ μὲν ἄνω κατέ-
ψυκται καὶ τὰ ἔξω, τὰ δ' ἐντὸς καὶ τὰ κάτω θερμά, οἷον τὰ
20 περὶ τοὺς πόδας καὶ τὰ εἴσω. [m] Καίτοι τις ἀπορήσειεν ἄν,
ὅτι [n] μετὰ τὰ σιτία ἰσχυρότατος [o] ὁ ὕπνος γίνεται, καὶ ἔστιν
[p] ὑπνωτικὰ οἶνος καὶ ἄλλα [q] θερμότητας ἔχοντα [r] τοιαύτας.
Ἔστι δ' οὐκ εὔλογον τὸν μὲν ὕπνον εἶναι κατάψυξιν, τὰ δ'
21 αἴτια τοῦ καθεύδειν θερμά. Πότερον οὖν τοῦτο συμβαίνει
ὅτι ὥσπερ ἡ κοιλία κενὴ [s] μὲν οὖσα θερμή ἐστιν, ἡ δὲ πλή-
ρωσις [t] αὐτὴν καταψύχει διὰ τὴν [v] κίνησιν, οὕτω καὶ οἱ ἐν τῇ
κεφαλῇ πόροι [w] καὶ τόποι καταψύχονται ἀναφερομένης τῆς
[x] ἀναθυμιάσεως; [y] Ἢ ὥσπερ τοῖς [z] προσχεομένοις τὸ θερ-

[w] οἱ post καὶ om. L.S.U. [x] μανώδεις M. [y] οἱ om. L.S.U. [z] διαρρεῖν κατιὸν] καταρρεῖν E.M.Y. [a] μανώδεσι M. [b] πόρων L.S.U. [c] αὐτοῖς πλῆθος L. [d] σκεληφροὶ E.M. [e] τὰ ἄλλα nonnulli. [f] ὑπάρχοι L. [g] περίσσωμα L. [h] πολὺ Y. [i] ἡ om. E.M.Y. [k] νοοῦντος L. [l] συμπίπτει S.U, ἐμπίπτει L. [m] καίτοι τοῦτό τις E.Y. [n] μετὰ σῖτον L.S.U, μετὰ σιτία E. [o] ὁ om. E.S.U.Y. [p] ὑπνωτικὸν L, ὑπνωτικὸς U. [q] θερμότητα E.Y. [r] τοιαῦτα E.M.S.Y. [s] μὲν] μὴ S. [t] αὐτῆς M, om. L.S.U. [v] κίνησιν ἢ τὴν ἀκινησίαν οὕτω E.M. [w] καὶ οἱ τόποι L.S.U. [x] ἀναθυμήσεως S. [y] ἢ] καὶ E.M.Y. [z] προχεομένοις S.

μὸν ἐξαίφνης φρίκη γίνεται, κἀκεῖ ἀνιόντος τοῦ θερμοῦ ἀθροι-
ζόμενον τὸ ψυχρὸν καταψύχει, καὶ τὸ κατὰ φύσιν θερμὸν
ποιεῖ ἐξαδυνατεῖν καὶ ὑποχωρεῖν; [a]Ἔτι δὲ πολλῆς ἐμπι- 22
πτούσης τροφῆς, ἣν ἀνάγει τὸ θερμόν, ὥσπερ τὸ πῦρ ἐπιτι-
θεμένων τῶν ξύλων, καταψύχεται, ἕως ἂν καταπεφθῇ. Γί-
νεται γὰρ ὁ ὕπνος, ὥσπερ εἴρηται, τοῦ [b]σωματώδους ἀνα-
φερομένου ὑπὸ τοῦ θερμοῦ διὰ τῶν φλεβῶν πρὸς τὴν κεφα-
λήν. Ὅταν δὲ μηκέτι δύνηται, ἀλλὰ τῷ πλήθει [c]ὑπερβάλλῃ 23
τὸ [d]ἀναχθέν, πάλιν [e]ἀνταπωθεῖται καὶ κάτω ῥεῖ. Διὸ
[f]καταπίπτουσί [g]τε [h]ὑποσπωμένου τοῦ θερμοῦ τοῦ ἀνάγον-
τος [i]οἱ ἄνθρωποι (μόνον γὰρ [k]ὀρθὸν τῶν ζῴων), καὶ ἐπι-
πεσὸν μὲν [l]ἔκνοιαν ποιεῖ, ὕστερον δὲ φαντασίαν. Ἢ αἱ μὲν 24
νῦν λεγόμεναι [m]λύσεις ἐνδεχόμεναι [n]μέν εἰσι τοῦ γίνεσθαι
τὴν κατάψυξιν· οὐ μὴν ἀλλὰ [o]κύριός [p]γ' ἐστὶν ὁ τόπος [q]ὁ
περὶ τὸν ἐγκέφαλον, ὥσπερ ἐν ἄλλοις εἴρηται. Πάντων δ'
ἐστὶ τῶν ἐν τῷ σώματι [r]ψυχρότατον [s]ὁ ἐγκέφαλος, τοῖς δὲ
μὴ ἔχουσι τὸ ἀνάλογον [t]τούτῳ μόριον. Ὥσπερ οὖν τὸ 25
ἀπατμίζον ὑγρὸν ὑπὸ τῆς τοῦ ἡλίου [v]θερμότητος, ὅταν ἔλθῃ
εἰς τὸν ἄνω τόπον, διὰ τὴν ψυχρότητα αὐτοῦ καταψύχεται
καὶ συστὰν καταφέρεται γενόμενον πάλιν ὕδωρ, οὕτως ἐν τῇ
ἀναφορᾷ τοῦ θερμοῦ τῇ πρὸς τὸν ἐγκέφαλον ἡ μὲν [w]περιτ-
τωματικὴ ἀναθυμίασις εἰς [x]φλέγμα [y]συνέρχεται (διὸ καὶ οἱ
κατάρροι φαίνονται γιγνόμενοι ἐκ τῆς κεφαλῆς), ἡ δὲ τρόφι-
μος καὶ μὴ νοσώδης καταφέρεται συνισταμένη καὶ καταψύχει
τὸ θερμόν. Πρὸς δὲ τὸ καταψύχεσθαι καὶ μὴ δέχεσθαι 26

[a] ἔτι δὲ om. M.S.U. [b] σωματοειδοῦς E.M.Y. [c] ὑπερβάλλει S. [d] ἀνενεχθὲν L. [e] ἀνταπωθεῖ E.L.M.U.Y, ἀνταποθεῖ S. [f] καταπ.] καὶ πίπτουσι L.S.U. [g] γε L. [h] ὑποσπ. θερμοῦ τοῦ ἀνάγοντος U, ὑποσπ. τοῦ ἀνάγοντος θερμοῦ L.S. [i] οἱ ἄνθρωποι om. L. [k] τῶν ζῴων ὀρθόν S.U. [l] ἔκπνοιαν E.M, ἔκπνοιαν μὲν S. [m] λύσεις om. E.Y. [n] μέν om. E.Y. [o] κυρίως M.S.U.Y. [p] γ' om. L. [q] ὁ περὶ τὸν ἐγκέφαλον om. E.M.Y. [r] ψυχρότατος M.S.U. [s] ὁ ἐγκέφαλος om. L.S.U.Y. [t] τούτῳ μόριον om. S.U. [v] θέρμης E.Y. [w] περὶ σωματικὰ L. [x] φλέβα S. [y] συνίσταται L.S.U.

*ῥᾳδίως τὴν ἀναθυμίασιν συμβάλλεται* [z] *καὶ ἡ λεπτότης καὶ ἡ στενότης τῶν περὶ τὸν ἐγκέφαλον φλεβῶν. Τῆς μὲν οὖν καταψύξεως τοῦτ' ἐστὶν αἴτιον,* [a] *καίπερ τῆς ἀναθυμιάσεως*
27 *ὑπερβαλλούσης τῇ θερμότητι. Ἐγείρεται δ', ὅταν πεφθῇ καὶ κρατήσῃ ἡ συνεωσμένη θερμότης ἐν ὀλίγῳ πολλὴ ἐκ τοῦ περιεστῶτος, καὶ διακριθῇ τό τε σωματωδέστερον αἷμα καὶ τὸ* [b] *καθαρώτατον.* [c] *Ἔστι δὲ λεπτότατον μὲν αἷμα καὶ καθαρώτατον τὸ ἐν τῇ κεφαλῇ, παχύτατον δὲ καὶ θολερώ-*
28 *τατον τὸ ἐν τοῖς κάτω μέρεσιν. Παντὸς δὲ τοῦ αἵματος ἀρχή, ὥσπερ εἴρηται καὶ ἐνταῦθα καὶ ἐν ἄλλοις, ἡ καρδία. Τῶν δ' ἐν τῇ καρδίᾳ ἑκατέρας τῆς θαλάμης* [d] *κοινὴ ἡ μέση· ἐκείνων δ' ἑκατέρα δέχεται ἐξ ἑκατέρας τῆς φλεβός, τῆς* [e] *τε μεγάλης* [f] *καλουμένης καὶ τῆς ἀορτῆς· ἐν δὲ τῇ μέσῃ γίνεται*
29 *ἡ διάκρισις. Ἀλλὰ τὸ μὲν διορίζειν περὶ τούτων ἑτέρων ἐστὶ λόγων οἰκειότερον. Διὰ δὲ τὸ* [g] *γίνεσθαι* [h] *ἀδιακριτώτερον τὸ αἷμα μετὰ τὴν τῆς τροφῆς* [i] *προσφορὰν* [k] *ὁ ὕπνος γίνεται,* [l] *ἕως ἂν διακριθῇ τοῦ αἵματος τὸ μὲν* [m] *καθαρώτερον* [n] *εἰς* [o] *τὰ ἄνω, τὸ δὲ* [p] *θολερώτερον εἰς* [q] *τὰ κάτω· ὅταν δὲ τοῦτο συμβῇ, ἐγείρονται ἀπολυθέντα τοῦ ἐκ τῆς τροφῆς*
30 *βάρους. Τί μὲν οὖν* [r] *τὸ αἴτιον τοῦ καθεύδειν, εἴρηται, ὅτι* [s] *ἡ ὑπὸ τοῦ σωματώδους τοῦ ἀναφερομένου ὑπὸ τοῦ συμφύτου θερμοῦ ἀντιπερίστασις ἀθρόως ἐπὶ τὸ πρῶτον αἰσθητήριον· καὶ τί ἐστιν* [t] *ὁ ὕπνος, ὅτι τοῦ πρώτου αἰσθητηρίου κατάληψις πρὸς τὸ μὴ δύνασθαι ἐνεργεῖν, ἐξ ἀνάγκης μὲν* [v] *γινόμενος (οὐ γὰρ ἐνδέχεται ζῷον εἶναι μὴ συμβαινόντων τῶν ἀπεργαζομένων* [w] *αὐτό,) ἕνεκα δὲ σωτηρίας· σῴζει γὰρ ἡ ἀνάπαυσις.*

[z] *καὶ ἡ λ.*] *δὲ ἡ λ.* S, *ἡ λ.* E.M.Y. [a] *καίπερ*] *καὶ περὶ* E.S. [b] *καθαρώτερον* L. [c] *ἔστι—καθαρώτατον* om. M. [d] *κενὴ* Y. [e] *τε* om. S.U.Y. [f] *καλουμένης* om. E.Y. [g] *γενέσθαι* S. [h] *ἀδιακριτικώτερον* Y, *μάλιστα* L.S.U. [i] *προσφ. ἀδιάκριτον ὁ* S.U, *προσφ. ἀδιακριτώτερον ὁ* L. [k] *ὁ* om. E.M.Y. [l] *ἕως ἂν*] *ἐὰν* Y. [m] *καθαρώτατον* E.M. [n] *εἰς* om. M.U. [o] *τὰ*] *τὸν* E.Y, om. M.U. [p] *θολερώτατον* E.M.U. [q] *τὰ*] *τὸ* E.M.U, *τὸν* Y. [r] *τὸ* om. L.U. [s] *ἡ* om. M. [t] *ὁ* om. Y. [v] *γινόμενον* L.U, *γινόμενα* S. [w] *αὐτῷ* Y, *αὐτῶν αὐτό* S.

Μετὰ δὲ ταῦτα περὶ [x] ἐνυπνίου ζητητέον, καὶ πρῶτον τίνι 1
τῶν τῆς [y] ψυχῆς φαίνεται, καὶ πότερον τοῦ νοητικοῦ [z] τὸ
[a] πάθος ἐστὶ τοῦτο ἢ τοῦ αἰσθητικοῦ· [b] τούτοις γὰρ μόνοις
τῶν ἐν ἡμῖν γνωρίζομέν τι. [c] Εἰ [d] δὲ χρῆσις ὄψεως ὅρασις 2
καὶ ἀκοῆς τὸ ἀκούειν [e] καὶ [f] ὅλως αἰσθήσεως τὸ αἰσθάνεσθαι,
[g] κοινὰ δ' ἐστὶ τῶν αἰσθήσεων οἷον σχῆμα καὶ μέγεθος [h] καὶ
κίνησις καὶ τἆλλα τὰ τοιαῦτα, [i] ἴδια δ' οἷον χρῶμα ψόφος
χυμός, ἀδυνατεῖ δὲ πάντα μύοντα καὶ καθεύδοντα ὁρᾶν, ὁμοίως
δὲ καὶ ἐπὶ τῶν λοιπῶν, [k] δῆλον ὅτι οὐκ αἰσθανόμεθα [l] οὐδὲν ἐν
τοῖς ὕπνοις. Οὐκ ἄρα [m] γε τῇ αἰσθήσει [n] τὸ ἐνύπνιον αἰ- 3
σθανόμεθα. ¶Ἀλλὰ μὴν οὐδὲ τῇ δόξῃ. Οὐ γὰρ μόνον τὸ
προσιόν φαμεν ἄνθρωπον ἢ ἵππον [o] εἶναι, ἀλλὰ [p] καὶ λευκὸν
[q] ἢ καλόν· ὧν ἡ δόξα ἄνευ αἰσθήσεως οὐδὲν [r] ἂν φήσειεν, οὔτ'
ἀληθῶς οὔτε ψευδῶς. ¶Ἐν δὲ τοῖς ὕπνοις συμβαίνει τὴν ψυ- 4
χὴν τοῦτο ποιεῖν· ὁμοίως γὰρ ὅτι ἄνθρωπος καὶ ὅτι λευκὸς
ὁ προσιὼν δοκοῦμεν ὁρᾶν. ¶Ἔτι [s] παρὰ τὸ ἐνύπνιον ἐννοοῦ-
μεν [t] ἄλλο τι, καθάπερ [v] ἐν τῷ ἐγρηγορέναι αἰσθανόμενοί
τι· περὶ οὗ γὰρ αἰσθανόμεθα, πολλάκις καὶ διανοούμεθά τι.
Οὕτω καὶ ἐν τοῖς ὕπνοις παρὰ τὰ φαντάσματα ἐνίοτε ἄλλα
ἐννοοῦμεν. Φανείη δ' ἂν [w] τῳ τοῦτο, εἴ τις [x] προσέχοι τὸν 5
νοῦν καὶ πειρῷτο μνημονεύειν ἀναστάς. ¶Ἤδη δέ τινες καὶ
ἑωράκασιν ἐνύπνια τοιαῦτα οἷον οἱ δοκοῦντες κατὰ τὸ μνημο-
νικὸν παράγγελμα τίθεσθαι τὰ προβαλλόμενα· συμβαίνει
γὰρ αὐτοῖς [y] πολλάκις ἄλλο τι παρὰ τὸ ἐνύπνιον τίθεσθαι
πρὸ ὀμμάτων εἰς τὸν τόπον φάντασμα. [z] ¶Ὥστε δῆλον ὅτι 6

[x] ἐνυπνίων U. [y] ψυχῆς τὸ ἐνύπνιον φαίνεται M. [z] τὸ om. L.U. [a] τοῦτο πάθος ἐστὶν U. [b] τοῖς γὰρ γενομένοις τῶν S. [c] εἰ] ἡ E.Y. [d] δὴ L.S.U. [e] καὶ om. M. [f] ὅλως δ' αἰσθήσεως L.M.S.U. [g] κοινὰ δ' ἐστὶ] ταῦτα δ' ἐστὶ τὰ κοινὰ L.S.U. et omisso τὰ M. [h] καὶ κίνησις om. L.S.U. [i] ἴδια δ'] ἢ τὰ ἴδια L.M.S.U. [k] δῆλον] ὥστε δῆλον E.M.Y. [l] οὐδὲν] οὐδ' E.Y. [m] τῇ αἰσθήσει γε L.M. [n] τοῦ ἐνυπνίου M.S. [o] εἶναι om. E.M.Y. [p] καὶ om. U. [q] ἢ] καὶ S. [r] φήσειεν ἂν L, ἂν φαίνηται M, ἀποφαίνεται E.Y. [s] περὶ L. [t] τι ἄλλο L.S.U. [v] ἐν om. S. [w] τῳ τοῦτο] τούτῳ M. [x] προσέχει L.U. [y] πολλάκις om. L.U. [z] ὥστε—φάντασμα om. M.

οὔτε ἐνύπνιον πᾶν τὸ ἐν ὕπνῳ φάντασμα, καὶ ὅτι [a] ὃ ἐννοοῦ-
μεν τῇ δόξῃ [b] δοξάζομεν. Δῆλον δὲ περὶ τούτων [c] ἁπάντων
[d] τό γε τοσοῦτον, ὅτι τῷ αὐτῷ ᾧ καὶ ἐγρηγορότες ἐν ταῖς
νόσοις ἀπατώμεθα, [e] ὅτι τοῦτ' [f] αὐτὸ καὶ ἐν τῷ ὕπνῳ ποιεῖ
τὸ πάθος. Καὶ ὑγιαίνουσι δὲ καὶ εἰδόσιν ὅμως ὁ ἥλιος πο-
7 διαῖος εἶναι δοκεῖ. Ἀλλ' εἴτε δὴ ταὐτὸν εἴθ' ἕτερον τὸ φαν-
ταστικὸν τῆς ψυχῆς καὶ τὸ αἰσθητικόν, οὐδὲν ἧττον οὐ γί-
νεται ἄνευ τοῦ ὁρᾶν καὶ αἰσθάνεσθαί [g] τι· τὸ γὰρ παρορᾶν
καὶ παρακούειν ὁρῶντος ἀληθές [h] τι καὶ ἀκούοντος, οὐ [i] μέντοι
τοῦτο [k] ὃ οἴεται. Ἐν δὲ τῷ ὕπνῳ ὑπόκειται [l] μηδὲν ὁρᾶν
8 μηδ' ἀκούειν μηδ' ὅλως αἰσθάνεσθαι. Ἆρ' οὖν τὸ μὲν [m] μη-
δὲν ὁρᾶν ἀληθές, τὸ δὲ μηδὲν πάσχειν τὴν αἴσθησιν οὐκ ἀλη-
θές, ἀλλ' ἐνδέχεται [n] καὶ τὴν ὄψιν πάσχειν τι καὶ τὰς ἄλλας
αἰσθήσεις, ἕκαστον δὲ τούτων ὥσπερ [o] ἐγρηγορότος [p] προσ-
βάλλει μέν πως τῇ αἰσθήσει, οὐχ οὕτω δὲ [q] ὥσπερ ἐγρηγο-
ρότος· καὶ ὁτὲ μὲν ἡ δόξα λέγει ὅτι ψεῦδος [r] τὸ ὁρώμενον,
ὥσπερ [s] ἐγρηγορόσιν, ὁτὲ δὲ κατέχεται καὶ ἀκολουθεῖ τῷ
9 φαντάσματι. Ὅτι μὲν οὖν οὐκ ἔστι τοῦ δοξάζοντος οὐδὲ
τοῦ διανοουμένου τὸ πάθος τοῦτο ὃ καλοῦμεν ἐνυπνιάζειν φα-
νερόν. Ἀλλ' οὐδὲ τοῦ αἰσθανομένου ἁπλῶς· ὁρᾶν γὰρ [t] ἂν
ἦν καὶ ἀκούειν ἁπλῶς. Ἀλλὰ πῶς [v] δὴ καὶ τίνα τρόπον,
10 ἐπισκεπτέον. Ὑποκείσθω [w] δ', ὅπερ ἐστὶ [x] καὶ φανερόν, ὅτι
τοῦ αἰσθητικοῦ τὸ πάθος, [y] εἴπερ καὶ ὁ ὕπνος· οὐ γὰρ ἄλλῳ
μέν τινι τῶν ζῴων ὑπάρχει ὁ ὕπνος, ἄλλῳ [z] δὲ τὸ ἐνυπνιάζειν,
11 ἀλλὰ τῷ αὐτῷ. Ἐπεὶ δὲ περὶ φαντασίας ἐν τοῖς περὶ ψυ-
χῆς εἴρηται, καὶ ἔστι μὲν τὸ αὐτὸ τῷ αἰσθητικῷ τὸ φαντα-

[a] ὃ ἐννοοῦμεν] ἐννοοῦμεν ἃ L.S.U. [b] ἐδοξάζομεν L. [c] πάντων E.M.Y. [d] τό γε] εἰς L, om. S.U. [e] ὅτι om. L. [f] αὐτῷ E.Y. [g] τι om. E.M.Y. [h] τι ἐστι καὶ M. [i] μέντοι τοῦτο] τοῦτο δὲ E.Y. [k] ὃ om. E.Y. [l] μὴ δὲ S. [m] μὴ ὁρᾶν U, μὴ ὁρᾶν μηδὲν E.M.Y. [n] καὶ τὴν] κατὰ τὴν E.Y. [o] ἐγρηγορότως S. [p] προσβάλλειν L. [q] περ om L. ὥσπερ—ὁρώμενον om. E.Y. [r] τὸ ὁρώμενον om. S. [s] ἐγρήγορσιν E.M.Y. [t] ἂν ᾖ U, ἀνάγκη E.Y, ἦν M. [v] δεῖ Y. [w] δ'] μὲν οὖν L.S.U. [x] καὶ om. E.M.S.Y. [y] εἴπερ] ἐκ τῆς φύσεως corr. U. [z] δέ τινι τὸ L.M.S.U.

στικόν, τὸ δ' εἶναι φανταστικῷ καὶ αἰσθητικῷ ἕτερον, ἔστι [a]δὲ φαντασία [b]ἡ ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γινομένη κίνησις, τὸ δ' [c]ἐνύπνιον φάντασμά τι φαίνεται εἶναι (τὸ γὰρ ἐν ὕπνῳ φάντασμα ἐνύπνιον λέγομεν, εἴθ' ἁπλῶς εἴτε τρόπον τινὰ [d]γινόμενον), φανερὸν ὅτι τοῦ αἰσθητικοῦ μέν ἐστι τὸ ἐνυπνιάζειν, [e]τούτου [f]δ' ᾗ τὸ φανταστικόν.

Τί δ' ἐστὶ τὸ ἐνύπνιον καὶ πῶς γίνεται, ἐκ τῶν περὶ τὸν 2
ὕπνον συμβαινόντων μάλιστ' ἂν θεωρήσαιμεν. Τὰ γὰρ αἰσθητὰ καθ' ἕκαστον αἰσθητήριον ἡμῖν [g]ἐμποιοῦσιν αἴσθησιν, καὶ τὸ γινόμενον [h]ὑπ' αὐτῶν πάθος οὐ μόνον ἐνυπάρχει [i]ἐν τοῖς αἰσθητηρίοις ἐνεργουσῶν τῶν αἰσθήσεων, ἀλλὰ καὶ ἀπελθουσῶν. Παραπλήσιον γὰρ τὸ πάθος ἐπί τε τούτων
καὶ ἐπὶ τῶν φερομένων [k]ἔοικεν εἶναι. Καὶ γὰρ ἐπὶ τῶν 2
[l]φερομένων τοῦ κινήσαντος οὐκέτι θιγγάνοντος κινεῖται· τὸ γὰρ κινῆσαν ἐκίνησεν ἀέρα τινά, καὶ πάλιν οὗτος κινούμενος ἕτερον. Καὶ τοῦτον δὴ τὸν τρόπον, [m]ἕως ἂν στῇ, ποιεῖται τὴν κίνησιν καὶ ἐν ἀέρι καὶ ἐν [n]τοῖς ὑγροῖς. Ὁμοίως [o]δ' ὑπολαβεῖν τοῦτο δεῖ καὶ ἐπ' ἀλλοιώσεως· τὸ γὰρ θερμανθὲν ὑπὸ τοῦ θερμοῦ τὸ πλησίον θερμαίνει, καὶ [p]τοῦτο [q]διαδίδω-
σιν ἕως τῆς ἀρχῆς. Ὥστε καὶ ἐν [r]ᾧ τὸ αἰσθάνεσθαι, ἐπειδὴ 3
ἐστιν ἀλλοίωσίς τις ἡ κατ' ἐνέργειαν αἴσθησις, ἀνάγκη τοῦτο συμβαίνειν. Διὸ τὸ πάθος [s]ἐστὶν οὐ μόνον [t]ἐν [v]αἰσθανομένοις τοῖς αἰσθητηρίοις, ἀλλὰ καὶ [w]ἐν [x]πεπαυμένοις, καὶ ἐν
βάθει καὶ ἐπιπολῆς. Φανερὸν δ' [y]ὅταν συνεχῶς αἰσθανώ- 4
μεθά τι· μεταφερόντων γὰρ τὴν αἴσθησιν ἀκολουθεῖ τὸ πάθος, οἷον [z]ἐκ τοῦ ἡλίου εἰς τὸ σκότος· συμβαίνει γὰρ μη-

[a] δὲ] δ' ἡ E.L.M.Y. [b] ἡ om. M.S. [c] ἐνυπνιάζειν E.M.Y. [d] γενόμενον U. [e] τοῦτο L. [f] δ' ᾗ] δὴ M, δὴ τὸ E.Y. [g] ποιοῦσιν E.M.Y. [h] ἐν αὐτοῖς E.Y. [i] ἐν om. S.U. [k] ἔοικεν εἶναι om. L.U, ἔοικεν—φερομένων om. S. [l] φερομένων τοῦ κινήσαντος] κινουμένων τοῦ κινοῦντος L. [m] ἕως ἂν] μέχρι περ ἂν οὗ L.S.U. [n] τοῖς om. L. [o] δ' om. Y. [p] τοῦτο om. S.U. [q] δίδωσιν U. [r] ᾧ τὸ] τῷ E.Y. [s] ἐστὶν] ἐστὶν ὁ ὕπνος E.Y, om. M. [t] ἐν post αἰσθανομένοις L.U, utrobique S. [v] αἰσθομένοις ἐστὶ τοῖς M. [w] ἐν om. L.U. [x] πεπαυμένων L.S.U. [y] ὅτι συνεχῶς αἰσθανόμεθα E.M.Y. [z] ἔκ τε τοῦ E.Y.

δὲν ὁρᾶν διὰ τὴν [a] ἔτι [b] ὑποῦσαν κίνησιν ἐν τοῖς ὄμμασιν ὑπὸ
τοῦ φωτός. Κἂν πρὸς [c] ἓν χρῶμα πολὺν χρόνον βλέψωμεν
ἢ λευκὸν ἢ χλωρόν, [d] τοιοῦτον φαίνεται [e] ἐφ' ὅπερ ἂν τὴν
5 ὄψιν [f] μεταβάλωμεν. [g] Κἂν πρὸς τὸν ἥλιον βλέψαντες ἢ
ἄλλο τι [h] λαμπρὸν μύσωμεν, [i] παρατηρήσασι [k] φαίνεται κατ'
εὐθυωρίαν, [l] ᾗ συμβαίνει τὴν ὄψιν ὁρᾶν, πρῶτον μὲν [m] τοιοῦ-
τον τὴν χρόαν, [n] εἶτα μεταβάλλει εἰς φοινικοῦν κἄπειτα
πορφυροῦν, ἕως ἂν εἰς τὴν μέλαιναν [o] ἔλθῃ χρόαν καὶ ἀφανι-
6 σθῇ. Καὶ [p] αἱ ἀπὸ τῶν κινουμένων δὲ μεταβάλλουσιν, οἷον
ἀπὸ [q] τῶν [r] ποταμῶν, μάλιστα δ' ἀπὸ τῶν τάχιστα ῥεόντων·
φαίνεται γὰρ τὰ ἠρεμοῦντα κινούμενα. Γίνονται δὲ καὶ
ἀπὸ τῶν μεγάλων ψόφων δύσκωφοι καὶ ἀπὸ τῶν ἰσχυρῶν
[s] ὀσμῶν [t] δύσοσμοι, [v] καὶ ἐπὶ τῶν ὁμοίων. [w] Ταῦτά γε δὴ
7 φανερῶς συμβαίνει τοῦτον τὸν τρόπον. Ὅτι δὲ ταχὺ τὰ
αἰσθητήρια καὶ μικρὰς [x] διαφορὰς αἰσθάνεται, σημεῖον τὸ
ἐπὶ τῶν ἐνόπτρων γινόμενον· περὶ [y] οὗ [z] καὶ αὐτοῦ ἐπιστή-
σας σκέψαιτό τις ἂν καὶ ἀπορήσειεν. Ἅμα [a] δ' [b] ἐξ αὐτοῦ
δῆλον ὅτι ὥσπερ καὶ [c] ἡ ὄψις πάσχει, οὕτω καὶ ποιεῖ τι.
8 Ἐν γὰρ τοῖς ἐνόπτροις τοῖς σφόδρα καθαροῖς, ὅταν τῶν
καταμηνίων ταῖς γυναιξὶ γινομένων [d] ἐμβλέψωσιν εἰς τὸ κά-
τοπτρον, γίνεται τὸ ἐπιπολῆς τοῦ ἐνόπτρου οἷον νεφέλη
αἱματώδης· κἂν μὲν καινὸν ᾖ τὸ κάτοπτρον, οὐ ῥᾴδιον ἐκμά-
9 ξαι τὴν τοιαύτην κηλῖδα, [e] ἐὰν δὲ παλαιόν, ῥᾷον. Αἴτιον δ',
ὥσ[f]περ εἴπομεν, ὅτι οὐ μόνον πάσχει [g] τι ἡ ὄψις ὑπὸ τοῦ
ἀέρος, ἀλλὰ καὶ ποιεῖ τι καὶ κινεῖ, ὥσπερ καὶ τὰ λαμπρά·

[a] ἔτι om. E.Y. [b] ὑπεροῦσαν E.Y, ὑπομένουσαν M. [c] ἓν om. L.S.U. [d] τοιοῦτο E. [e] ὑφ' ᾧ ἂν E.Y. [f] μεταβάλλωμεν E.S. [g] κἂν] καὶ M. [h] λαμπρὸν ὂν μύσαντας M. [i] παρατηρήσαντι E.Y, παρατηρεῖν M. [k] φανεῖται M. [l] ᾗ] ἡμῖν ᾗ M. [m] τὴν χρόαν τοιοῦτον M. [n] ἔπειτα L.S.U. [o] ἔλθοι Y. [p] αἱ om. L.S. et in hiatu U. [q] τῶν om. L.S. [r] ποταμῶν ῥεύματος μάλιστα M. [s] ὀδμῶν U. [t] δύσοδμοι S.U. [v] καὶ ἐπὶ] τῶν ἐπὶ S, om. E.M.Y. [w] ταῦτά—τρόπον] φανερῶς δὲ συμβ. ταῦθ' (τοῦτ' M.) ὡς λέγομεν E.M.Y. [x] διαφθορὰς E.Y. [y] οὗ] ὧν E.M.Y. [z] κἂν αὐτοῦ U, κἂν καθ' αὑτὸν L.S.U. [a] δ' om. U. [b] ἐξ αὐτῶν δῆλον E.M.Y, δῆλον ἐξ αὐτοῦ S. [c] πάσχει ἡ ὄψις L.S. [d] ἐμβλ. καὶ εἰς S. [e] ἂν L. [f] περ om. L. [g] τι om. E.L.M.Y, post ὄψις ponit U.

καὶ γὰρ ἡ ὄψις τῶν λαμπρῶν καὶ ἐχόντων χρῶμα. Τὰ μὲν
οὖν ὄμματα [h] εὐλόγως, ὅταν ᾖ τὰ καταμήνια, διάκειται,
ὥσπερ καὶ ἕτερον μέρος [i] ὁτιοῦν· καὶ [k] γὰρ φύσει τυγχά-
νουσι [l] φλεβώδεις [m] ὄντες. Διὸ γινομένων τῶν καταμηνίων 10
διὰ ταραχὴν καὶ φλεγμασίαν αἱματικὴν ἡμῖν μὲν ἡ ἐν τοῖς
ὄμμασι διαφορὰ ἄδηλος, ἔνεστι [n] δέ (ἡ γὰρ αὐτὴ φύσις
σπέρματος καὶ καταμηνίων), ὁ δ' ἀὴρ κινεῖται ὑπ' αὐτῶν,
καὶ τὸν [o] ἐπὶ [p] τῶν κατόπτρων [q] ἀέρα συνεχῆ ὄντα ποιόν
τινα ποιεῖ [r] καὶ τοιοῦτον οἷον αὐτὸς πάσχει· ὁ δὲ τοῦ κα-
τόπτρου τὴν ἐπιφάνειαν. Ὥσ[s]περ δὲ τῶν ἱματίων τὰ μά- 11
λιστα καθαρὰ τάχιστα [t] κηλιδοῦται· τὸ γὰρ καθαρὸν ἀκρι-
βῶς δηλοῖ [v] ὅ τι ἂν δέξηται, [w] καὶ μάλιστα τὰς ἐλαχίστας
κινήσεις. Ὁ δὲ χαλκὸς διὰ μὲν τὸ [x] λεῖος εἶναι ὁποιασοῦν
ἁφῆς [y] μάλιστα αἰσθάνεται ([z] δεῖ δὲ νοῆσαι [a] οἷον τρῖψιν
οὖσαν τὴν τοῦ ἀέρος ἁφὴν καὶ ὥσπερ [b] ἔκμαξιν καὶ [c] ἀνάπλυ-
σιν), διὰ δὲ τὸ [d] καθαρὸν [e] ἔκδηλος γίνεται ὁπηλικηοῦν οὖσα.
Τοῦ δὲ μὴ [f] ἐξιέναι [g] ταχέως ἐκ τῶν καινῶν κατόπτρων αἴτιον 12
τὸ καθαρὸν εἶναι καὶ λεῖον· διαδύεται γὰρ διὰ τῶν τοιούτων
καὶ εἰς βάθος καὶ πάντῃ, διὰ [h] μὲν τὸ καθαρὸν εἰς βάθος, διὰ
δὲ τὸ λεῖον πάντῃ. Ἐν δὲ τοῖς παλαιοῖς οὐκ ἐμμένει, ὅτι
οὐχ ὁμοίως [i] εἰσδύεται ἡ κηλὶς ἀλλ' [k] ἐπιπολαιότερον. Ὅτι 13
μὲν οὖν καὶ ὑπὸ τῶν μικρῶν διαφορῶν γίνεται κίνησις, καὶ
ὅτι ταχεῖα ἡ αἴσθησις, [l] ἔτι δὲ ὅτι οὐ μόνον πάσχει ἀλλὰ
καὶ ἀντιποιεῖ τὸ τῶν χρωμάτων αἰσθητήριον, φανερὸν ἐκ
τούτων. Μαρτυρεῖ δὲ τοῖς εἰρημένοις καὶ τὰ περὶ τοὺς οἴ-
νους καὶ τὴν μυρεψίαν συμβαίνοντα. [m] Τό τε γὰρ παρα- 14

[h] εὐλόγως ὅταν ᾖ τὰ καταμήνια om. E.M.Y. [i] ὁτιοῦν εὐλόγως τοῦ σώματος· καὶ E.M.Y. [k] γὰρ om. E.Y. [l] φλεβώδη M, φλεβῶδες E.Y. [m] ὄντα M. [n] δέ om. M. [o] ἀπὸ E.Y. [p] τῷ κατόπτρῳ M. [q] ἀέρα] ἀίδια S. [r] καὶ τὸ τοιοῦτον E.Y. [s] περ om. M. [t] κηλιδοῦνται L. [v] ὅτ' E.M.Y. [w] καὶ τὸ μ. E.L, καὶ τὰ (vel τῷ) μ. M. [x] λεῖος] καθαρὸς E.M.Y. [y] αἰσθάνεται μάλιστα E.L.Y. [z] δὲ δεῖ E.Y, δεῖ γὰρ M. [a] οἷον] ὅτι Y. [b] ἔκμασιν M. [c] ἀνάπλησιν M. et fortasse E. [d] καθαρὸς S. [e] ἔνδηλος L.U. [f] ἀπιέναι E.M.Y. [g] ταχέως] ῥαδίως L. [h] μὲν γὰρ τὸ E.M.U.Y. [i] ἐνδύεται L.S.U. [k] ἐπιπολεώτερον E, ἐπιπολῆς μᾶλλόν ἐστιν M. [l] ἔτι δὲ] ἔτι δὲ καὶ L.U, καὶ E.Y. [m] τό τε— ἔλαιον om. E.M.Y.

σκευασθὲν ἔλαιον [n] ταχέως λαμβάνει τὰς τῶν [o] πλησίον
ὀσμάς, [p] καὶ οἱ οἶνοι τὸ αὐτὸ τοῦτο πάσχουσιν· οὐ γὰρ
μόνον τῶν ἐμβαλλομένων ἢ [q] ὑποκιρναμένων, ἀλλὰ καὶ τῶν
πλησίον τοῖς ἀγγείοις τιθεμένων ἢ πεφυκότων ἀναλαμβά-
15 νουσι τὰς ὀσμάς. Πρὸς δὲ τὴν ἐξ ἀρχῆς σκέψιν ὑποκείσθω
ἓν μέν, ὅπερ ἐκ τῶν εἰρημένων φανερόν, ὅτι καὶ ἀπελθόντος
τοῦ θύραθεν αἰσθητοῦ ἐμμένει τὰ [r] αἰσθήματα αἰσθητὰ ὄντα,
πρὸς δὲ τούτοις ὅτι ῥᾳδίως ἀπατώμεθα περὶ τὰς αἰσθήσεις
ἐν τοῖς πάθεσιν ὄντες, ἄλλοι δ' ἐν ἄλλοις, οἷον ὁ δειλὸς ἐν
φόβῳ, ὁ δ' ἐρωτικὸς ἐν ἔρωτι, ὥστε δοκεῖν ἀπὸ μικρᾶς
ὁμοιότητος τὸν μὲν τοὺς πολεμίους [s] ὁρᾶν, τὸν δὲ [t] τὸν ἐρώ-
μενον· καὶ ταῦτα ὅσῳ ἂν [v] ἐμπαθέστερος ᾖ, τοσούτῳ ἀπ'
16 ἐλάσσονος ὁμοιότητος φαίνεται. Τὸν αὐτὸν δὲ τρόπον καὶ
ἐν ὀργαῖς καὶ [w] ἐν πάσαις ἐπιθυμίαις εὐαπάτητοι γίνονται
πάντες, καὶ μᾶλλον ὅσῳ ἂν μᾶλλον ἐν τοῖς πάθεσιν ὦσιν.
Διὸ καὶ τοῖς [x] πυρέττουσιν ἐνίοτε φαίνεται [y] ζῷα ἐν τοῖς
τοίχοις [z] ἀπὸ μικρᾶς ὁμοιότητος τῶν γραμμῶν συντιθεμένων.
17 Καὶ ταῦτ' ἐνίοτε συνεπιτείνει τοῖς πάθεσιν οὕτως ὥστ' [a] ἐὰν
[b] μὲν μὴ σφόδρα κάμνωσι, μὴ λανθάνειν ὅτι ψεῦδος, [c] ἐὰν δὲ
μεῖζον ᾖ τὸ πάθος, καὶ κινεῖσθαι πρὸς [d] αὐτά. Αἴτιον δὲ
[e] τοῦ συμβαίνειν ταῦτα τὸ μὴ κατὰ τὴν αὐτὴν δύναμιν κρίνειν
18 τό [f] τε κύριον καὶ [f] ᾧ τὰ [g] φαντάσματα [h] γίνεται. Τούτου
δὲ σημεῖον ὅτι φαίνεται μὲν ὁ ἥλιος ποδιαῖος, ἀντίφησι δὲ
πολλάκις ἕτερόν [i] τι πρὸς τὴν φαντασίαν. [k] Καὶ τῇ [l] ἐπαλ-
λάξει τῶν δακτύλων τὸ ἓν δύο φαίνεται, ἀλλ' ὅμως οὔ φαμεν
19 δύο· κυριωτέρα γὰρ τῆς [m] ἁφῆς ἡ ὄψις. Εἰ δ' ἦν ἡ ἁφὴ

[n] ταχέως γὰρ λ. E.M.Y. [o] πλησίων E. [p] καὶ οἱ—πάσχουσιν] καὶ τὸ ἔλαιον παρασκευασθὲν καὶ ὁ οἶνος E.M.Y. [q] ὑπερκιρναμένων U, ὑποκριναμένων c, ὑπερκριννaμένων E, ὑπερκρεμαννυμένων M. [r] αἰσθήματα om. S. [s] ὁρᾶν] ὁρᾶν, οἷον ἐὰν ἴδῃ ξύλα παραπλησίως ἑστῶτα ταῦτα ὡπλισμένους ἄνδρας ὁρᾶν οἴεται M.i.l. [t] τὴν ἐρωμένην E.Y, τὸν ἐρωτώμενον M. [v] ἐμπαθέστερον L.S.U. [w] ἐν ante πάσαις om. L.S.U. [x] πυρέσσουσιν L. [y] ζῷον U. [z] ἀπὸ] καὶ Y. [a] ἂν E.L.Y. [b] μὲν om. M.S.U. [c] ἂν E.L. [d] ταῦτα M. [e] τοῦ μὴ συμβαίνειν E.Y. [f] τε et ᾧ om. E.M.Y. [g] φάσματα S. [h] γίγνεσθαι E.M.Y. [i] τι] τὴν E.Y. [k] καὶ ἐν τῇ M. [l] ἀπαλλάξει Y. [m] ἁφῆς] φαντασίας E.M.

*μόνη, κἂν ἐκρίνομεν τὸ ἓν δύο. Τοῦ δὲ [n] διεψεῦσθαι αἴτιον ὅτι οὐ μόνον τοῦ αἰσθητοῦ κινουμένου φαίνεται ἀδήποτε, ἀλλὰ καὶ τῆς αἰσθήσεως κινουμένης αὐτῆς, ἐὰν [o] ὡσαύτως κινῆται ὥσπερ [p] καὶ [q] ὑπὸ τοῦ αἰσθητοῦ· λέγω δ' οἷον ἡ γῆ δοκεῖ τοῖς πλέουσι κινεῖσθαι κινουμένης τῆς ὄψεως ὑπ' ἄλλου.*

*Ἐκ δὴ τούτων φανερὸν ὅτι οὐ μόνον ἐγρηγορότων αἱ κι-* 3
*νήσεις αἱ ἀπὸ τῶν [r] αἰσθημάτων γινόμεναι τῶν τε θύραθεν*
*καὶ τῶν ἐκ τοῦ σώματος ἐνυπαρχουσῶν, ἀλλὰ καὶ ὅταν γέ-*
*νηται τὸ πάθος τοῦτο ὃ καλεῖται ὕπνος, καὶ μᾶλλον τότε*
*φαίνονται. Μεθ' ἡμέραν [s] μὲν γὰρ ἐκκρούονται [t] ἐνεργουσῶν* 2
*τῶν αἰσθήσεων καὶ τῆς διανοίας, καὶ ἀφανίζονται ὥσπερ*
*παρὰ [v] πολὺ πῦρ [w] ἔλαττον καὶ λῦπαι καὶ ἡδοναὶ μικραὶ*
*παρὰ μεγάλας, παυσαμένων δ' ἐπιπολάζει καὶ τὰ μικρά·*
*νύκτωρ δὲ δι' ἀργίαν τῶν κατὰ μόριον αἰσθήσεων καὶ ἀδυνα-*
*μίαν τοῦ ἐνεργεῖν, διὰ [x] τὸ ἐκ τῶν ἔξω εἰς τὸ ἐντὸς γίνεσθαι*
*τὴν τοῦ θερμοῦ παλίρροιαν, ἐπὶ τὴν ἀρχὴν τῆς αἰσθήσεως*
*καταφέρονται καὶ γίνονται φανεραὶ καθισταμένης τῆς ταρα-*
*χῆς. Δεῖ δ' ὑπολαβεῖν ὥσπερ τὰς μικρὰς δίνας τὰς ἐν τοῖς* 3
*ποταμοῖς [y] γινομένας, οὕτω τὴν κίνησιν ἑκάστην γίνεσθαι*
*συνεχῶς, πολλάκις μὲν [z] ὁμοίως, πολλάκις δὲ διαλυομένας εἰς*
*ἄλλα σχήματα διὰ τὴν ἀντίκρουσιν. Διὸ καὶ μετὰ τὴν* 4
*τροφὴν καὶ πάμπαν νέοις οὖσιν, οἷον τοῖς παιδίοις, οὐ γίνε-*
*ται ἐνύπνια· πολλὴ γὰρ ἡ κίνησις διὰ τὴν [a] ἀπὸ τῆς τροφῆς*
*θερμότητα. Ὥστε καθάπερ ἐν ὑγρῷ, ἐὰν σφόδρα κινῇ τις,* 5
*ὁτὲ μὲν οὐδὲν φαίνεται εἴδωλον ὁτὲ δὲ φαίνεται μὲν διε-*
*στραμμένον δὲ πάμπαν, ὥστε φαίνεσθαι ἀλλοῖον ἢ οἷόν*
*ἐστιν, ἠρεμήσαντος δὲ καθαρὰ καὶ φανερά, οὕτω καὶ ἐν τῷ*
*καθεύδειν τὰ φαντάσματα καὶ αἱ ὑπόλοιποι κινήσεις αἱ συμ-*
*βαίνουσαι ἀπὸ τῶν [b] αἰσθημάτων ὁτὲ μὲν ὑπὸ μείζονος οὔσης*

[n] *διαψεύδεσθαι* L.S. [o] *ὡσαύτως* om. E.M.Y. [p] *καὶ* om. L.S.U. [q] *ἐπὶ* S.U. [r] *αἰσθήσεων* L. [s] *μὲν* om. M. [t] *συνεργουσῶν* E.M.Y. [v] *πολλοῦ* E.Y. [w] *ἔλασσον* L.U. [x] *τὸ ἐκ* om. M. [y] *φερομένας* L.S.U. [z] *ὁμοίας* L. [a] *ἀπὸ* om. M. [b] *αἰσθήσεων* L.

τῆς εἰρημένης κινήσεως ἀφανίζονται [c] πάμπαν, ὁτὲ δὲ τεταραγμέναι φαίνονται [d] αἱ ὄψεις καὶ τερατώδεις καὶ [e] οὐκ ἐρρωμένα τὰ ἐνύπνια, οἷον τοῖς μελαγχολικοῖς καὶ [f] πυρέττουσι καὶ οἰνωμένοις· πάντα γὰρ τὰ τοιαῦτα πάθη πνευματώδη
6 ὄντα πολλὴν [g] ποιεῖ κίνησιν καὶ ταραχήν. Καθισταμένου δὲ
καὶ διακρινομένου τοῦ αἵματος ἐν τοῖς ἐναίμοις, σωζομένη
τῶν αἰσθημάτων ἡ κίνησις ἀφ' [h] ἑκάστου τῶν [i] αἰσθητηρίων
[k] ἐρρωμένα τε [l] ποιεῖ τὰ ἐνύπνια, καὶ φαίνεσθαί [m] τι καὶ δο-
κεῖν διὰ μὲν τὰ ἀπὸ τῆς ὄψεως καταφερόμενα ὁρᾶν, διὰ δὲ
7 τὰ ἀπὸ τῆς ἀκοῆς ἀκούειν. [n] Ὁμοιοτρόπως δὲ καὶ ἀπὸ τῶν
ἄλλων αἰσθητηρίων· τῷ [o] μὲν γὰρ ἐκεῖθεν ἀφικνεῖσθαι τὴν
κίνησιν πρὸς τὴν ἀρχὴν καὶ [p] ἐγρηγορὼς δοκεῖ [q] ὁρᾶν καὶ
ἀκούειν καὶ αἰσθάνεσθαι, [r] καὶ διὰ τὸ τὴν ὄψιν ἐνίοτε [s] κινεῖ-
σθαι δοκεῖν οὐ κινουμένην [t] ὁρᾶν φαμέν, [v] καὶ [w] τῷ τὴν ἁφὴν
8 δύο κινήσεις [x] εἰσαγγέλλειν [y] τὸ ἓν δύο [z] δοκεῖν. [a] Ὅλως
[b] γὰρ [c] τὸ ἀφ' ἑκάστης αἰσθήσεώς [d] φησιν ἡ ἀρχή, ἐὰν μὴ
[e] ἑτέρα [f] κυριωτέρα ἀντιφῇ. Φαίνεται μὲν οὖν πάντως, δοκεῖ
δὲ οὐ πάντως τὸ φαινόμενον, [g] ἀλλ' [h] ἐὰν τὸ [i] ἐπικρῖνον κα-
9 τέχηται [k] ἢ [l] μὴ [m] κινῆται τὴν οἰκείαν κίνησιν. Ὥσπερ δ'
εἴπομεν [n] ὅτι ἄλλοι δι' ἄλλο πάθος [o] εὐαπάτητοι, οὕτως
ὁ καθεύδων διὰ τὸν ὕπνον καὶ τὸ κινεῖσθαι τὰ αἰσθητή-
ρια καὶ τἄλλα τὰ συμβαίνοντα περὶ τὴν αἴσθησιν, ὥστε
10 [p] τὸ μικρὰν ἔχον ὁμοιότητα φαίνεται ἐκεῖνο. Ὅταν γὰρ
καθεύδῃ, κατιόντος τοῦ πλείστου αἵματος ἐπὶ τὴν ἀρχὴν

[c] πάμπαν om. S. [d] αἱ om. E.Y. [e] οὐχερρωμένα Y, οὐχειρομένα E, χείρονα L S.U. [f] πυρέσσουσι L. [g] ποιεῖται L.U. [h] ἑκάστης L. [i] αἰσθημάτων E.Y, αἰσθήσεων L.S.U. [k] εἰρόμενα E. [l] ποιεῖν Y. [m] τι] τε L. [n] ὁμοίως U. [o] μὲν om. L.U. [p] ἐγρηγόρως E.M.U. [q] ἀκούειν καὶ ὁρᾶν S. [r] καὶ ante διὰ om. L.S.U. [s] δοκεῖν κινεῖσθαι L. [t] ὁρᾶν] ὡς L.M.S.U. [v] καὶ om. S. [w] τὸ U. [x] ἀγγελλειν M Y. [y] τὸ] καὶ τὸ S.U. [z] δοκεῖ E.M.Y. [a] ὅλως] καὶ ὅλως E.Y. [b] γὰρ] δὲ U. [c] τὸ om. M. [d] φήσει E. [e] ἕτερα M.S.U. [f] κυριώτερα S, κυριώτατα M. [g] ἀλλ' om. S.U. [h] ἂν E.L. [i] ἐπικρῖνον μὴ κατέχηται S.U. [k] ἢ] ἢ εἰ L. [l] μὴ] καὶ S.U. [m] κινεῖται E.L.Y. [n] ὅτι] ὅτι οἱ U, om. E.M.Y. [o] εὐαπατητότεροι E.M.Y. [p] τὰ μικρὰν ἔχοντα ὁμοιότητα φάναι ἐκεῖνα εἶναι· ὅταν M.

συγκατέρχονται [q] αἱ ἐνοῦσαι κινήσεις, αἱ μὲν δυνάμει αἱ δὲ
ἐνεργείᾳ. Οὕτω δ' ἔχουσιν ὥστε [r] ἐν τῇ κινήσει τῃδὶ [s] ἥδε
ἐπιπολάσει ἐξ [t] αὐτοῦ ἡ κίνησις, ἂν δ' [v] αὕτη φθαρῇ, [w] ἥδε.
Καὶ πρὸς ἀλλήλας [x] δ' ἔχουσιν ὥσπερ οἱ πεπλασμένοι βά-
τραχοι οἱ [y] ἀνιόντες ἐν τῷ ὕδατι τηκομένου τοῦ [z] ἁλός. Οὕ- 11
τως ἔνεισι δυνάμει, [a] ἀνειμένου δὲ τοῦ κωλύοντος [b] ἐνεργοῦσιν·
καὶ [c] λυόμεναι ἐν ὀλίγῳ τῷ λοιπῷ αἵματι [d] τῷ ἐν τοῖς αἰσθη-
τηρίοις [e] κινοῦνται, [f] ἔχουσαι [g] ὁμοιότητα ὥσπερ τὰ ἐν τοῖς
νέφεσιν, [h] ἃ παρεικάζουσιν ἀνθρώποις καὶ κενταύροις [i] ταχέως
μεταβάλλοντα. Τούτων δὲ ἕκαστόν ἐστιν, ὥσπερ εἴρηται, 12
ὑπόλειμμα τοῦ ἐν τῇ ἐνεργείᾳ αἰσθήματος· καὶ ἀπελθόντος
[k] τοῦ αἰσθήματος [l] τοῦ ἀληθοῦς ἔνεστι, [m] καὶ ἀληθὲς [n] εἰπεῖν
ὅτι τοιοῦτον οἷον [o] Κορίσκος, [p] ἀλλ' οὐ Κορίσκος. Ὅτε
[q] δ' ᾐσθάνετο, οὐκ ἔλεγε Κορίσκον τὸ κύριον καὶ [r] τὸ ἐπι-
κρῖνον, ἀλλὰ διὰ [s] τοῦτο ἐκεῖνον Κορίσκον [t] τὸν ἀληθινόν.
[v] Οὗ δὴ καὶ [w] αἰσθανόμενον λέγει τοῦτο, [x] ἐὰν μὴ παντελῶς 13
κατέχηται ὑπὸ τοῦ αἵματος, ὥσπερ [y] μὴ αἰσθανόμενον [z] τοῦ-
το, κινεῖται ὑπὸ τῶν κινήσεων τῶν ἐν τοῖς αἰσθητηρίοις. Καὶ
[a] δοκεῖ τὸ ὅμοιον [b] αὐτὸ [c] εἶναι ἀληθές. Καὶ τοσαύτη τοῦ
[d] ὕπνου ἡ δύναμις ὥστε [e] ποιεῖν τοῦτο λανθάνειν. Ὥσπερ 14
οὖν εἴ [f] τινα [g] λανθάνοι ὑποβαλλόμενος ὁ δάκτυλος τῷ
ὀφθαλμῷ, [h] οὐ μόνον φανεῖται ἀλλὰ καὶ δόξει εἶναι δύο τὸ ἕν,
ἂν δὲ μὴ λανθάνῃ, φανεῖται μὲν οὐ δόξει δέ, οὕτω καὶ ἐν τοῖς

[q] αἱ ἐνοῦσαι] καὶ κινοῦσαι αἱ ἐνοῦσαι S.U, καὶ ἐνοῦσαι L. [r] ἐν τῇ κινήσει τῃδὶ] ἐάν τι κινήσῃ τὸ αἷμα E.M.Y. [s] ἥδε] ἡδὶ L. [t] αὐτῆς L. [v] αὐτὴ S.U. [w] ἡδί L.S.U. [x] δὴ M.S.U, om. L. [y] ἀνιέντες Y. [z] ἁλός οὕτως] ὑλώδους οὕτω γὰρ M. [a] ἀνιεμένου L.M.U, om. S. [b] ἐνεργοῦσιν ante ἐν ὀλίγῳ L. [c] δυόμεναι M, λυομένου L.S.U. [d] τῷ ἐν] τῶν ἐν L S.U. [e] κινοῦντι M, κινούντων L.S.U. [f] ἔχουσιν M. [g] ὁμοιώματα E.S.U, ὁμοιώματι M. [h] ἅπερ εἰκάζουσιν M.S, ἃ ἀπεικάζουσιν U. [i] μεταβάλλοντα ταχέως L. [k] τοῦ αἰσθήματος om. L.M.S.U. [l] τοῦ om. E.Y. [m] καὶ om. U. [n] λέγειν E.M.Y. [o] Κορίσκος—διὰ τοῦτο ἐκεῖνον om. Y. [p] ἀλλ' οὐ Κορίσκος om. S. [q] δ' οὐκ ᾐσθάνετο E.M. [r] τὸ post καὶ om. E.M. [s] τούτου S.U. [t] τὸ S. [v] ᾧ E.L.M.Y. [w] αἰσθανόμενος E.M.Y. [x] ἂν L.U, κἂν S. [y] μὴ post ὥσπερ om. E.M.S.U.Y. [z] τοῦτο om. M. [a] δοκῇ U. [b] αὐτῷ E.Y. [c] εἶναι τὸ ἀληθές M.S.U. [d] ἐνυπνίου E.Y. . [e] ποιεῖ S.U.Y. [f] τινα] μὲν L. [g] λανθάνει S.U. et pr. Y. [h] οὐ μόνον οὐ φ. E.U.Y.

ὕπνοις, [i] ἐὰν μὲν αἰσθάνηται ὅτι καθεύδει, καὶ τοῦ πάθους ἐν
ᾧ [k] ἡ αἴσθησις τοῦ ὑπνωτικοῦ, [l] φαίνεται μέν, λέγει δέ τι ἐν
αὐτῷ ὅτι φαίνεται μὲν Κορίσκος, οὐκ ἔστι [m] δὲ Κορίσκος
(πολλάκις γὰρ [n] καθεύδοντος λέγει τι ἐν τῇ ψυχῇ ὅτι
ἐνύπνιον τὸ φαινόμενον)· ἐὰν δὲ λανθάνῃ ὅτι καθεύδει, οὐδὲν
15 [o] ἀντίφησι τῇ φαντασίᾳ. Ὅτι δ' ἀληθῆ λέγομεν καὶ εἰσὶ
κινήσεις φανταστικαὶ ἐν τοῖς αἰσθητηρίοις, δῆλον, ἐάν τις
προσέχων πειρᾶται μνημονεύειν ἃ πάσχομεν καταφερόμενοί
τε καὶ ἐγειρόμενοι· ἐνίοτε γὰρ τὰ φαινόμενα εἴδωλα [p] καθεύ-
δοντι [q] φωράσει ἐγειρόμενος κινήσεις οὔσας ἐν τοῖς αἰσθητη-
ρίοις· [r] ἐνίοις γὰρ τῶν νεωτέρων καὶ πάμπαν διαβλέπουσιν,
[s] ἐὰν ᾖ σκότος, φαίνεται εἴδωλα πολλὰ κινούμενα, ὥστ' ἐγκα-
16 λύπτεσθαι πολλάκις φοβουμένους. Ἐκ δὴ τούτων ἁπάντων
[t] δεῖ [v] συλλογίσασθαι ὅτι ἐστὶ τὸ ἐνύπνιον φάντασμα μέν
τι καὶ ἐν ὕπνῳ· τὰ γὰρ ἄρτι λεχθέντα εἴδωλα οὐκ ἔστιν
ἐνύπνια, οὐδ' εἴ τι ἄλλο [w] λελυμένων τῶν αἰσθήσεων φαίνε-
17 ται· οὐδὲ [x] τὸ ἐν ὕπνῳ φάντασμα πᾶν. Πρῶτον μὲν γὰρ
ἐνίοις συμβαίνει [y] καὶ αἰσθάνεσθαί πῃ καὶ ψόφων καὶ φωτὸς
καὶ χυμοῦ καὶ ἁφῆς, ἀσθενικῶς μέντοι καὶ οἷον πόρρωθεν·
ἤδη γὰρ ἐν τῷ καθεύδειν [z] ὑποβλέποντες, ὃ ἠρέμα ἑώρων φῶς
[a] τοῦ λύχνου [b] καθεύδοντες, ὡς ᾤοντο, [c] ἐπεγερθέντες εὐθὺς
ἐγνώρισαν τὸ τοῦ λύχνου ὄν, καὶ ἀλεκτρυόνων καὶ κυνῶν φω-
18 νὴν ἠρέμα ἀκούοντες ἐγερθέντες σαφῶς ἐγνώρισαν. Ἔνιοι
δὲ καὶ ἀποκρίνονται ἐρωτώμενοι· ἐνδέχεται γὰρ [d] τοῦ ἐγρη-
γορέναι καὶ καθεύδειν ἁπλῶς θατέρου [e] ὑπάρχοντος θάτερόν
πῃ ὑπάρχειν. Ὧν οὐδὲν ἐνύπνιον φατέον. Οὐδ' ὅσαι δὴ ἐν
τῷ ὕπνῳ γίνονται ἀληθεῖς ἔννοιαι [f] παρὰ τὰ φαντάσματα.
19 Ἀλλὰ τὸ φάντασμα τὸ ἀπὸ τῆς κινήσεως τῶν αἰσθημάτων,

[i] ἂν L.U.Y. [k] ἡ om. E.M.S. [l] φανεῖται L. [m] δὲ ὁ κορίσκος E.L.M.Y. [n] καθεύδων τις λ. L.S.U.Y. [o] ἀντιφήσει E.Y. [p] καθεύδοντα M. [q] φοράσηι E. [r] ἐνίοις γὰρ] καὶ ἐνίοις γε M.S, ἐνίοις δὲ L. [s] ἂν L.S. [t] δεῖ] ἔστι S. [v] συλλογίζεσθαι L. [w] τῶν αἰσθήσεων λελυμένων U. [x] τὸ ἐνύπνιον φ. E.M.Y. [y] καὶ om. L. [z] ὑποβλέποντες καὶ εὐθὺς ἐγερθέντες ὃ L.S.U. [a] τοῦ om. L.S.U. [b] καθεύδοντες—λύχνου om. M. [c] ἔπειτ' ἐγερθέντες E.M.Y. [d] τὸ E.Y. [e] ὑπάρχοντος καὶ θάτερόν S.U. [f] περὶ L.

ὅταν ἐν τῷ καθεύδειν ᾖ, [h] ᾗ καθεύδει, τοῦτ' ἐστὶν ἐνύπνιον.
Ἤδη δέ τισι συμβέβηκεν [h] ὥστε μηδὲν ἐνύπνιον ἑωρακέναι
κατὰ τὸν βίον. [i] Σπάνιον μὲν οὖν τὸ τοιοῦτόν ἐστι, συμ- 20
βαίνει δ' ὅμως. Καὶ τοῖς μὲν ὅλως διετέλεσεν, [k] ἐνίοις δὲ
καὶ προελθοῦσι [l] πόρρω τῆς ἡλικίας ἐγένετο, πρότερον οὐδὲν
ἐνύπνιον ἑωρακόσιν. Τὸ δ' αἴτιον τοῦ μὴ γίνεσθαι παρα- 21
πλήσιόν [m] τι δεῖ νομίζειν, ὅτι οὐδὲ μετὰ τὴν τροφὴν καθυ-
πνώσασιν οὐδὲ τοῖς παιδίοις γίνεται ἐνύπνιον· ὅσοις γὰρ
[n] τοῦτον τὸν τρόπον συνέστηκεν ἡ φύσις ὥστε πολλὴν [o] προσ-
πίπτειν ἀναθυμίασιν πρὸς τὸν ἄνω τόπον, [p] ἣ πάλιν κατα-
φερομένη ποιεῖ πλῆθος κινήσεως, εὐλόγως τούτοις οὐδὲν φαί-
νεται φάντασμα. Προϊούσης δὲ τῆς ἡλικίας οὐδὲν [q] ἄτοπον 22
φανῆναι ἐνύπνιον· μεταβολῆς γάρ τινος [r] γενομένης [s] ἢ καθ'
ἡλικίαν ἢ κατὰ πάθος ἀναγκαῖον [t] συμβῆναι τὴν ἐναντίωσιν
ταύτην.

Περὶ δὲ τῆς μαντικῆς τῆς ἐν τοῖς ὕπνοις γινομένης καὶ 1
λεγομένης συμβαίνειν ἀπὸ τῶν ἐνυπνίων, οὔτε καταφρονῆσαι
ῥᾴδιον οὔτε πεισθῆναι. Τὸ μὲν [v] γὰρ πάντας ἢ πολλοὺς 2
ὑπολαμβάνειν ἔχειν τι [w] σημειῶδες τὰ ἐνύπνια παρέχεται
πίστιν ὡς ἐξ ἐμπειρίας λεγόμενον, καὶ τὸ περὶ ἐνίων εἶναι
τὴν μαντικὴν ἐν τοῖς [x] ἐνυπνίοις οὐκ ἄπιστον· ἔχει γάρ τινα
λόγον, διὸ καὶ περὶ τῶν ἄλλων [y] ἐνυπνίων ὁμοίως ἄν τις οἠ-
θείη. Τὸ δὲ μηδεμίαν [z] αἰτίαν εὔλογον ὁρᾶν, καθ' ἣν ἂν 3
γίνοιτο, [a] τοῦτο διαπιστεῖν ποιεῖ· τό τε γὰρ θεὸν εἶναι τὸν
πέμποντα, πρὸς τῇ ἄλλῃ ἀλογίᾳ, καὶ τὸ μὴ τοῖς βελτίστοις
καὶ φρονιμωτάτοις ἀλλὰ τοῖς τυχοῦσι πέμπειν ἄτοπον.

[h] ᾗ et mox ὥστε om. E.Y. [i] σπάνιον—ἑωρακόσι] τοῖς δὲ πόρρω που προσελθούσης τῆς ἡλικίας ἰδεῖν πρότερον μὴ ἑωρακόσιν E.M.Y. [k] ἐνίοις—ἑωρακόσι] τοῖς δὲ πόρρω που προσελθούσης τῆς ἡλικίας ἰδεῖν πρότερον μὴ ἑωρακόσι i. [l] πόρρω] πολλῷ L.S.U.m. [m] τι δεῖ—ἐνύπνιον] φαίνεται τῷ ἐπὶ τῶν παιδίων καὶ μετὰ τὴν τροφὴν E.M.c.i.m. et omisso καὶ Y. [n] τοῦτον τὸν τρόπον om. E.M.Y.i. [o] προσεμπίπτειν L.m, om. E.M.Y, qui post τὸν ἄνω τόπον addunt ἀναφέρεσθαι. [p] ἢ πάλιν καταφερομένην ποιεῖν E.M.Y. [q] ἄτοπον τὸ φανῆναι L.S. [r] γινομένης E.M.Y. [s] ἢ ante καθ' om. E.M. [t] συμβαίνειν S. [v] γὰρ σχεδὸν πάντας M. [w] σημεῖον δ. εἰς τὰ E.M.Y. [x] ὕπνοις S. [y] ἐνυπνίων πάντων ὁμοίως M. [z] εὔλογον αἰτίαν L. [a] τοῦτο om. E.M.Y.

4 Ἀφαιρεθείσης δὲ τῆς [b] ἀπὸ τοῦ θεοῦ αἰτίας οὐδεμία τῶν
ἄλλων εὔλογος [c] εἶναι φαίνεται [d] αἰτία· τὸ γὰρ περὶ τῶν
ἐφ' Ἡρακλείαις στήλαις ἢ τῶν ἐν [e] Βορυσθένει προορᾶν
[f] τινάς, ὑπὲρ τὴν ἡμετέραν εἶναι [g] δόξειεν ἂν σύνεσιν εὑρεῖν
5 [h] τούτων τὴν ἀρχήν. Ἀνάγκη δ' οὖν τὰ ἐνύπνια [i] ἢ αἴτια
εἶναι ἢ σημεῖα τῶν γιγνομένων ἢ [k] συμπτώματα, ἢ πάντα ἢ
6 ἔνια τούτων ἢ ἓν μόνον. Λέγω δ' αἴτιον μὲν [l] οἷον τὴν
[m] σελήνην τοῦ ἐκλείπειν τὸν [n] ἥλιον καὶ τὸν κόπον τοῦ πυρε-
τοῦ, σημεῖον δὲ τῆς ἐκλείψεως τὸ τὸν ἀστέρα εἰσελθεῖν, τὴν
δὲ τραχύτητα τῆς [o] γλώττης τοῦ [p] πυρέττειν, σύμπτωμα δὲ
τὸ βαδίζοντος [q] ἐκλείπειν τὸν ἥλιον· οὔτε γὰρ σημεῖον τοῦ
ἐκλείπειν τοῦτ' ἐστὶν οὔτ' αἴτιον, οὔθ' ἡ ἔκλειψις τοῦ βαδί-
7 ζειν. Διὸ τῶν συμπτωμάτων [r] οὐδὲν οὔτ' ἀεὶ γίνεται οὔθ'
ὡς ἐπὶ τὸ πολύ. Ἆρ' οὖν [s] ἐστὶ τῶν ἐνυπνίων τὰ μὲν [t] αἴ-
τια, [v] τὰ δὲ σημεῖα, οἷον τῶν περὶ τὸ σῶμα συμβαινόντων;
Λέγουσι γοῦν καὶ τῶν ἰατρῶν οἱ χαρίεντες ὅτι δεῖ [w] σφόδρα
προσέχειν τοῖς ἐνυπνίοις· εὔλογον δ' οὕτως ὑπολαβεῖν καὶ
τοῖς [x] μὴ τεχνίταις [y] μέν, σκοπουμένοις δέ τι καὶ φιλοσο-
8 φοῦσιν. Αἱ γὰρ μεθ' ἡμέραν γινόμεναι κινήσεις, [z] ἂν μὴ
σφόδρα [a] μεγάλαι ὦσι καὶ ἰσχυραί, λανθάνουσι [b] παρὰ μεί-
ζους τὰς ἐγρηγορικὰς κινήσεις. Ἐν δὲ τῷ καθεύδειν τοὐναν-
9 τίον· καὶ γὰρ αἱ μικραὶ μεγάλαι δοκοῦσιν εἶναι. Δῆλον δ'
ἐπὶ τῶν συμβαινόντων κατὰ τοὺς ὕπνους πολλάκις· οἴονται
γὰρ κεραυνοῦσθαι καὶ βροντᾶσθαι μικρῶν ἤχων ἐν τοῖς [c] ὠσὶ
γινομένων, καὶ μέλιτος καὶ [d] γλυκέων χυμῶν ἀπολαύειν ἀκα-
ριαίου [e] φλέγματος [f] καταρρέοντος, καὶ βαδίζειν διὰ πυρὸς
καὶ θερμαίνεσθαι σφόδρα μικρᾶς θερμασίας περί τινα μέρη

[b] ὑπὸ τοῦ θείου L. [c] εἶναι om. E.M.Y. [d] αἰτία om. E.M.Y. [e] βωρυσθένει Y. [f] τινα S.U. [g] δοκεῖ, omisso ἂν, E.M.Y. [h] τούτων om. E.Y. [i] ἢ ante αἴτια om. E.M.Y. hinc incipit recentior U. manus. [k] σύμπτωμα M. [l] οἷον om. E.Y. [m] σελήνην] μήνην L. [n] ἥλιον] αἴτιον M. [o] γλώσσης L.M. [p] πυρέσσειν L. [q] ἐκλιπεῖν M. [r] οὐδὲν om. L. [s] εἰσὶ L. [t] αἴτια] αἴτια εἶναι Y, αἰτιά ἐστιν E. [v] τὰ δὲ] καὶ S.U, τὰ L. [w] σφόδρα om. E.Y. [x] μὴ om. L. [y] μέν om. E.Y. [z] ἐὰν E.M.Y. [a] μεγάλαι om. S. [b] περὶ L.U. [c] ὠτίοις U. [d] χυμῶν γλυκέων M. [e] φθέγματος S. [f] ἀπορρέοντος L.

γιγνομένης. Ἐπεγειρομένοις δὲ ταῦτα φανερὰ τοῦτον 10
ἔχοντα τὸν [g] τρόπον. Ὥστ' ἐπεὶ μικραὶ πάντων αἱ ἀρχαί,
δῆλον ὅτι καὶ τῶν νόσων καὶ τῶν ἄλλων παθημάτων τῶν ἐν
τοῖς σώμασι μελλόντων γίνεσθαι. Φανερὸν οὖν ὅτι ταῦτα
ἀναγκαῖον ἐν τοῖς [h] ὕπνοις εἶναι καταφανῆ μᾶλλον ἢ ἐν τῷ
ἐγρηγορέναι. Ἀλλὰ μὴν [i] καὶ ἔνιά γε τῶν καθ' ὕπνον φαν- 11
τασμάτων αἴτια εἶναι τῶν οἰκείων [k] ἑκάστῳ πράξεων οὐκ
ἄλογον· ὥσπερ γὰρ [l] μέλλοντες [m] πράττειν καὶ ἐν ταῖς
πράξεσιν ὄντες [n] ἢ πεπραχότες πολλάκις εὐθυονειρίᾳ τούτοις
σύνεσμεν καὶ [o] πράττομεν ([p] αἴτιον δ' ὅτι [q] προωδοποιημένη
τυγχάνει ἡ κίνησις ἀπὸ τῶν μεθ' ἡμέραν ἀρχῶν), οὕτω πάλιν
ἀναγκαῖον καὶ τὰς καθ' ὕπνον κινήσεις [r] πολλάκις [s] ἀρχὴν
εἶναι τῶν μεθ' ἡμέραν πράξεων διὰ τὸ [t] προωδοποιῆσθαι
[v] πάλιν καὶ [w] τούτων τὴν διάνοιαν ἐν τοῖς φαντάσμασι τοῖς
νυκτερινοῖς. Οὕτω μὲν οὖν ἐνδέχεται [x] τῶν ἐνυπνίων ἔνια 12
[y] καὶ σημεῖα καὶ αἴτια εἶναι. Τὰ δὲ πολλὰ [z] συμπτώμασιν
ἔοικε, μάλιστα [a] δὲ τά [b] τε ὑπερβατὰ πάντα καὶ ὧν μὴ ἐν
αὐτοῖς ἡ ἀρχὴ ἀλλὰ περὶ ναυμαχίας καὶ τῶν πόρρω συμβαι-
νόντων ἐστίν· περὶ γὰρ [c] τούτων τὸν αὐτὸν [d] τρόπον ἔχειν
[e] εἰκὸς οἷον ὅταν μεμνημένῳ [f] τινὶ περί τινος τύχῃ τοῦτο
[g] γινόμενον· τί γὰρ κωλύει καὶ ἐν τοῖς ὕπνοις οὕτως; Μᾶλ-
λον δ' εἰκὸς πολλὰ τοιαῦτα συμβαίνειν. Ὥσπερ οὖν οὐδὲ 13
τὸ [h] μνησθῆναι περὶ τοῦδε σημεῖον οὐδ' αἴτιον τοῦ [i] παραγε-
νέσθαι αὐτόν, οὕτως οὐδ' ἐκεῖ [k] τοῦ ἀποβῆναι τὸ ἐνύπνιον τῷ

[g] τρόπον καὶ ὥστ' M. [h] ὑγροῖς Y. [i] καὶ om. L. [k] ἑκάστων M. [l] μέλλον E. [m] πράττει Y, πράσσειν L.M.S.U. [n] ἢ] οἱ S.U. [o] πράσσομεν L.U. [p] αἴτιον—ἀρχῶν om. E.Y. [q] προοδοπεποιημένη M.U. προωδοπεποιημένη—διὰ τὸ om. S. [r] πολλάκις om. E.Y, post προωδοποιῆσθαι πάλιν ponit M. [s] ἀρχὰς E.M.Y. [t] προοδοποιεῖσθαι S U, προοδοπεποιῆσθαι E.M.Y. [v] πᾶσι L. [w] τούτοις M. [x] τὸ ἐνυπνίων E, τὸ ἐνύπνιον Y. [y] καὶ post ἔνια om. E.M.Y. [z] συμπτώματα M. [a] δὲ] οἷον E.M.Y. [b] τε om. L.S.U. [c] τούτων—ἔχειν] τῶν—ἐχόντων M. [d] ἔχειν τρόπον U. [e] εἰκὸς] εἰκον ἐστιν M, εἰκός ἐστιν U. [f] τινὶ om. L.S.U. [g] γενόμενον L.S. [h] μεμνῆσθαι L. [i] περιγενέσθαι M. [k] τοῦ—ἰδόντι] τὸ ἀποβῆναι μετὰ τὸ ἐνύπνιον τῷ ἰδόντι E.Y, τῷ ἀποβῆναι τῷ ἰδόντι μετὰ τὸ ἐνύπνιον M, μετὰ τὸ ἀποβῆναι τὸ ἐνύπνιον τῷ ἰδόντι U, μὴ τὸ ἀποβῆναι τὸ ἐνύπνιον τῷ δ' ὄντι S.

ἰδόντι οὔτε σημεῖον οὔτ' αἴτιον, ἀλλὰ σύμπτωμα. Διὸ καὶ πολλὰ τῶν ἐνυπνίων οὐκ ἀποβαίνει· [l]τὰ γὰρ συμπτώματα οὔτ' ἀεὶ οὔθ' ὡς ἐπὶ τὸ πολὺ γίνεται.

2 [m]Ὅλως δ' ἐπεὶ καὶ τῶν ἄλλων ζῴων ὀνειρώττει τινά, [n]θεόπεμπτα μὲν οὐκ ἂν εἴη τὰ ἐνύπνια, οὐδὲ γέγονε [o]τούτου χάριν, [p]δαιμόνια μέντοι· ἡ γὰρ φύσις [q]δαιμονία, [r]ἀλλ' οὐ
2 θεία. Σημεῖον δέ· πάνυ γὰρ εὐτελεῖς ἄνθρωποι προορατικοί εἰσι καὶ εὐθυόνειροι, ὡς οὐ θεοῦ πέμποντος, ἀλλ' [s]ὅσων ὥσπερ [t]ἂν εἰ λάλος ἡ φύσις [v]ἐστὶ καὶ [w]μελαγχολική, παντοδαπὰς ὄψεις [x]ὁρῶσιν· [y]διὰ [z]γὰρ τὸ πολλὰ καὶ παντοδαπὰ κινεῖσθαι ἐπιτυγχάνουσιν [a]ὁμοίοις θεωρήμασιν, ἐπιτυχεῖς ὄντες ἐν τούτοις ὥσπερ ἔνιοι [b]ἄρτια μερίζοντες· ὥσπερ γὰρ [c]καὶ λέγεται

ἂν πολλὰ [d]βάλλῃς, ἄλλοτ' ἀλλοῖον [e]βαλεῖς,

3 καὶ ἐπὶ τούτων [f]τοῦτο συμβαίνει. Ὅτι δ' οὐκ ἀποβαίνει πολλὰ τῶν ἐνυπνίων, οὐδὲν ἄτοπον· οὐδὲ γὰρ τῶν ἐν τοῖς σώμασι σημείων καὶ τῶν οὐρανίων, οἷον τὰ τῶν ὑδάτων καὶ [g]τὰ τῶν πνευμάτων· [h]ἂν γὰρ ἄλλη κυριωτέρα ταύτης συμβῇ κίνησις, ἀφ' ἧς μελλούσης ἐγένετο τὸ σημεῖον, οὐ γίνεται.
4 Καὶ πολλὰ βουλευθέντα καλῶς τῶν πραχθῆναι δεόντων διελύθη δι' ἄλλας κυριωτέρας ἀρχάς. Ὅλως γὰρ οὐ πᾶν γίνεται τὸ [i]μελλῆσαν, οὐδὲ ταὐτὸ τὸ ἐσόμενον καὶ τὸ μέλλον· ἀλλ' ὅμως ἀρχάς [k]τε [l]λεκτέον εἶναι, ἀφ' ὧν οὐκ [m]ἐπετελέ-
5 σθη, καὶ σημεῖα πέφυκε ταῦτα τινῶν οὐ [n]γενομένων. Περὶ [o]δὲ τῶν μὴ τοιαύτας ἐχόντων ἀρχὰς ἐνυπνίων [p]οἵας εἴπομεν,

[l] τὸ γὰρ σύμπτωμα E.M.Y. [m] ὅμως E.M.S.Y. [n] θεόπεμπτος μὲν οὐκ ἂν εἴη τῶν ἐνυπνίων ἡ φύσις οὐδὲ γεγενημένη M. [o] τούτου χάριν] τοῦτο E.Y. [p] δαιμόνιον M. [q] δαιμόνιον E.M.Y. [r] ἀλλ' om. L.S.U. [s] ὅσον Y. [t] ἂν om. S.U. [v] ἐστι ante παντοδ. U. [w] μελαγχολικοὶ E, μελαγχολικώτεροι τυγχάνουσιν ὄντες ὥστε M. [x] ὁρᾶν M, ὁρῶσα U. [y] διὰ—ἐπιτυγχάνουσιν om. Y. [z] γὰρ] δὲ L.S. [a] ὁμοίως Y. [b] ἄρτια μερίζοντες] ἁρπάζουσιν ἐρίζοντες U. malim ἀρτιάζοντες. [c] καὶ om. L. [d] βάλῃς S. [e] βάλλεις E.M.Y. [f] τοῦτο om. E.M.Y. [g] τὰ post καὶ om. S. [h] ἂν γὰρ] ἀλλ' ὅμως ἂν E.M.Y. [i] μελῆσαν M.S. [k] τε] γε Y, γέ τινας E.M. [l] εἶναι λεκτέον U, λεκτέον ἐνίας E.M.S. [m] ἐτελέσθη E.M.Y. [n] γινομένων E.M.S.Y. [o] δὲ om. U. [p] οἵας εἴπομεν om. L.S.U.

ἀλλ' ὑπερορίας ἢ τοῖς χρόνοις ἢ τοῖς τόποις ἢ τοῖς μεγέθεσιν, ἢ τούτων μὲν μηδέν, μὴ μέντοι [q]γε ἐν αὐτοῖς ἐχόντων τὰς ἀρχὰς τῶν ἰδόντων τὸ ἐνύπνιον, εἰ μὴ [r]γίνεται τὸ [s]προορᾶν ἀπὸ συμπτώματος, τοιόνδ' ἂν εἴη [t]μᾶλλον ἢ ὥσπερ λέγει Δημόκριτος εἴδωλα καὶ [v]ἀπορροὰς αἰτιώμενος.
6 Ὥσπερ γὰρ ὅταν [w]κινήσῃ τι τὸ ὕδωρ ἢ τὸν ἀέρα, [x]τοῦθ' ἕτερον ἐκίνησε, καὶ [y]παυσαμένου [z]ἐκείνου συμβαίνει τὴν [a]τοιαύτην κίνησιν προϊέναι μέχρι τινός, τοῦ κινήσαντος οὐ παρόντος, [b]οὕτως οὐδὲν κωλύει κίνησίν τινα καὶ αἴσθησιν ἀφικνεῖσθαι πρὸς τὰς ψυχὰς τὰς ἐνυπνιαζούσας, ἀφ' ὧν ἐκεῖνος τὰ εἴδωλα [c]ποιεῖ καὶ τὰς [d]ἀπορροίας, καὶ [e]ὅπῃ δὴ ἔτυχεν [f]ἀφικνουμένας [g]μᾶλλον αἰσθητὰς εἶναι νύκτωρ διὰ τὸ μεθ' ἡμέραν φερομένας διαλύεσθαι μᾶλλον ([h]ἀταραχωδέστερος γὰρ ὁ [i]ἀὴρ τῆς νυκτὸς διὰ τὸ [k]νηνεμωτέρας εἶναι τὰς νύκτας), καὶ ἐν [l]τῷ σώματι ποιεῖν αἴσθησιν διὰ τὸν ὕπνον, [m]διὰ τὸ καὶ τῶν μικρῶν κινήσεων τῶν ἐντὸς αἰσθάνεσθαι καθεύδοντας μᾶλλον ἢ ἐγρηγορότας.
7 Αὗται δ' αἱ κινήσεις φαντάσματα ποιοῦσιν, ἐξ ὧν προορῶσι τὰ [n]μέλλοντα περὶ τῶν τοιούτων. Καὶ διὰ [o]ταῦτα συμβαίνει τὸ πάθος τοῦτο τοῖς τυχοῦσι καὶ οὐ τοῖς φρονιμωτάτοις.
8 Μεθ' ἡμέραν τε γὰρ ἐγίνετ' ἂν καὶ τοῖς σοφοῖς, [p]εἰ θεὸς ἦν ὁ πέμπων· οὕτω δ' εἰκὸς τοὺς τυχόντας προορᾶν· ἡ γὰρ διάνοια τῶν τοιούτων οὐ φροντιστικὴ ἀλλ' ὥσπερ ἔρημος καὶ [q]κενὴ πάντων, καὶ κινηθεῖσα κατὰ τὸ κινοῦν ἄγεται.
9 [r]Καὶ τοῦ ἐνίους τῶν ἐκστατικῶν προορᾶν αἴτιον [s]ὅτι αἱ οἰκεῖαι κινήσεις οὐκ ἐνοχλοῦσιν [t]ἀλλ' ἀπορραπίζονται· τῶν ξενικῶν οὖν μάλιστα

[q] γε om. E.M.Y. [r] γένηται L. [s] ὁρᾶν E.Y. [t] μᾶλλον] τὸ μελλον E.M.Y. [v] ἀπορροίας E.M. [w] κινήσῃ τις E.Y, τι κινήσῃ L, κινήσῃ U. [x] τοῦθ'] οὔθ' E.M.Y. [y] παυσαμένου δ' ἐκείνου L. [z] ἐκείνου om. U. [a] αὐτὴν L. [b] οὕτως om. S. [c] ποιεῖ om. L.U. [d] ἀπορροὰς L.Y. [e] ὅποι U, ὅπου S, ὁποῖα M, ἐπεὶ E.Y. [f] ἀφικνούμενα E. [g] μᾶλλον om. L. [h] ἀταρ. γὰρ] τότε γὰρ ταραχωδέστερος M. [i] ἀὴρ] ἢ τῆς M. [k] ἠρεμαιοτέρας E.M.Y. [l] τῷ om. L. [m] διὰ τὸ] διὸ L.M.S.U. [n] μέλλοντα καὶ περὶ E.Y. [o] τοῦτο L. [p] εἰ] εἰ ὁ L, ὁ Y. [q] κοινὴ U. [r] καὶ τοῦ] τοῦ δ' E.M.Y. [s] ὅτι om. E.Y. [t] ἀλλ' ἀπορριπίζονται M.S.U, ἀλλὰ πορίζονται E.Y.

10 *αἰσθάνονται. Τὸ δέ τινας εὐθυονείρους εἶναι καὶ* [v] *τὸ τοὺς
γνωρίμους* [w] *περὶ τῶν γνωρίμων μάλιστα προορᾶν συμβαίνει
διὰ τὸ μάλιστα τοὺς γνωρίμους ὑπὲρ ἀλλήλων φροντίζειν·
ὥσπερ γὰρ πόρρω ὄντων* [x] *τάχιστα γνωρίζουσι καὶ* [y] *αἰσθά-
νονται, οὕτω καὶ τῶν κινήσεων· αἱ γὰρ τῶν γνωρίμων γνωρι-*
11 *μώτεραι* [z] *κινήσεις. Οἱ δὲ μελαγχολικοὶ διὰ τὸ* [a] *σφόδρα,
ὥσπερ βάλλοντες πόρρωθεν, εὔστοχοί εἰσιν. Καὶ διὰ τὸ*
[b] *μεταβλητικὸν ταχὺ τὸ ἐχόμενον* [c] *φαντάζεται αὐτοῖς·
ὥσπερ γὰρ τὰ* [d] *Φιλαιγίδου ποιήματα καὶ οἱ ἐμμανεῖς ἐχό-
μενα τοῦ ὁμοίου* [e] *λέγουσι καὶ διανοοῦνται, οἷον* [f] *Ἀφροδί-*
12 *την, καὶ* [g] *οὕτω συνείρουσιν εἰς τὸ πρόσω. Ἔτι δὲ διὰ τὴν
σφοδρότητα οὐκ ἐκκρούεται αὐτῶν ἡ κίνησις ὑφ' ἑτέρας κινή-
σεως. Τεχνικώτατος* [h] *δ' ἐστὶ κριτὴς ἐνυπνίων* [i] *ὅστις δύνα-
ται τὰς ὁμοιότητας θεωρεῖν· τὰς γὰρ εὐθυονειρίας κρίνειν
παντός ἐστιν. Λέγω δὲ τὰς ὁμοιότητας, ὅτι παραπλήσια
συμβαίνει* [k] *τὰ φαντάσματα τοῖς ἐν τοῖς ὕδασιν εἰδώλοις,*
13 *καθάπερ καὶ πρότερον εἴπομεν. Ἐκεῖ δέ, ἂν πολλὴ* [l] *γίνη-
ται ἡ κίνησις, οὐδὲν ὁμοία γίνεται ἡ ἔμφασις καὶ τὰ εἴδωλα
τοῖς ἀληθινοῖς. Δεινὸς δὴ τὰς ἐμφάσεις κρίνειν* [m] *εἴη ἂν ὁ
δυνάμενος* [n] *ταχὺ* [o] *διαισθάνεσθαι* [p] *καὶ συνορᾶν* [p] *τὰ διαπε-
φορημένα καὶ διεστραμμένα τῶν εἰδώλων, ὅτι ἐστὶν ἀνθρώ-*
14 *που* [q] *ἢ ἵππου ἢ* [r] *ὁτουδήποτε. Κἀκεῖ δὴ* [s] *ὁμοίως* [t] *τι δύνα-
ται τὸ ἐνύπνιον* [v] *τοῦτο·* [w] *ἡ γὰρ κίνησις ἐκκόπτει τὴν εὐθυο-
νειρίαν. Τί μὲν οὖν ἐστὶν ὕπνος* [x] *καὶ ἐνύπνιον, καὶ διὰ τίν'
αἰτίαν ἑκάτερον αὐτῶν γίνεται, ἔτι δὲ περὶ τῆς ἐκ τῶν ἐνυπνίων*
[y] *μαντικῆς* [z] *εἴρηται.*

[v] *τὸ* ante *τοὺς* om. S. [w] *ὑπὲρ* E.M.Y. [x] *μάλιστα* E.M.Y. [y] *αἰσθάνονται οἱ συνήθεις οὕτω* E.M.Y. [z] *κινήσεις* om. E.M.Y. [a] *σφοδρὸν* L.U. [b] *μελητικὸν* E.Y, *μὴ μελητικὸν* M. [c] *αὐτοῖς φαντάζεται* L. [d] *φιλαινγίδου* L, *φιλιππίδου* E.M.Y. [e] *λέγονται* L. [f] *ἀφροδίτην φροδίτην καὶ* E.M.U. [g] *οὕτω*] *τοῦτο* L. [h] *δ'* om. E.Y. [i] *ὃς δ.* M. [k] *τὰ* om. E.M.Y. [l] *γένηται* L.M, *γίνονται* E. [m] *ἂν εἴη* S. [n] *ταχὺ* om. E.Y. [o] *συναισθάνεσθαι* E.M.Y. [p] *καὶ* et *τὰ* om. E.Y. [q] *ἢ* ante *ἵππου* om. E.M.Y. [r] *ὁπουδήποτε* M. [s] *ὅμοιον* L M. [t] *τι* om. S.U. [v] *τοῦτο* om. L. [w] *γὰρ ἡ* E.Y. [x] *καὶ τί ἐνύπνιον* E.M.Y. [y] *μαντείας* L.M.S.Y. [z] *εἴρηται*] *εἴρηται περὶ πάσης* E.M.Y.l.

Περὶ δὲ τοῦ τὰ μὲν εἶναι μακρόβια τῶν ζῴων τὰ δὲ βρα- 1
χύβια, καὶ περὶ ζωῆς ὅλως μήκους καὶ βραχύτητος ἐπι-
σκεπτέον τὰς αἰτίας. Ἀρχὴ δὲ τῆς σκέψεως ἀναγκαία
πρῶτον ἐκ τοῦ διαπορῆσαι περὶ αὐτῶν. Οὐ γάρ ἐστι δῆλον 2
πότερον [a]ἕτερον ἢ τὸ αὐτὸ αἴτιον πᾶσι [b]τοῖς ζῴοις καὶ φυ-
τοῖς τοῦ τὰ μὲν εἶναι μακρόβια τὰ δὲ βραχύβια· καὶ γὰρ
τῶν φυτῶν τὰ μὲν ἐπέτειον τὰ δὲ πολυχρόνιον ἔχει τὴν
ζωήν. Ἔτι [c]δὲ πότερον ταὐτὰ μακρόβια καὶ τὴν φύσιν 3
ὑγιεινὰ τῶν φύσει συνεστώτων, ἢ κεχώρισται καὶ τὸ βρα-
χύβιον καὶ τὸ νοσῶδες, ἢ κατ' ἐνίας μὲν νόσους ἐπαλλάττει
τὰ νοσώδη τὴν φύσιν σώματα τοῖς βραχυβίοις, κατ' ἐνίας
δ' οὐδὲν κωλύει νοσώδεις εἶναι μακροβίους ὄντας. Περὶ μὲν 4
[d]οὖν ὕπνου καὶ ἐγρηγόρσεως εἴρηται πρότερον, [e]περὶ δὲ
ζωῆς καὶ θανάτου λεκτέον ὕστερον, [f]ὁμοίως δὲ καὶ περὶ νόσου
καὶ ὑγιείας, [g]ὅσον ἐπιβάλλει τῇ φυσικῇ φιλοσοφίᾳ· νῦν
δὲ περὶ [h]τῆς αἰτίας τοῦ τὰ μὲν εἶναι μακρόβια τὰ δὲ βρα-
χύβια, καθάπερ εἴρηται πρότερον, θεωρητέον. Ἔστι δ'
ἔχοντα τὴν διαφορὰν ταύτην ὅλα τε πρὸς ὅλα γένη, καὶ τῶν
ὑφ' ἓν εἶδος ἕτερα πρὸς ἕτερα. Λέγω δὲ κατὰ γένος μὲν 5
διαφέρειν οἷον ἄνθρωπον πρὸς ἵππον (μακροβιώτερον [i]γὰρ
τὸ τῶν ἀνθρώπων γένος ἢ τὸ τῶν ἵππων), κατ' εἶδος [k]δ' ἄν-
θρωπον πρὸς ἄνθρωπον· εἰσὶ γὰρ [l]καὶ ἄνθρωποι οἱ μὲν μα-
κρόβιοι οἱ δὲ [m]βραχύβιοι [n]ἕτεροι καθ' ἑτέρους τόπους
[o]διεστῶτες· τὰ μὲν γὰρ ἐν τοῖς θερμοῖς τῶν ἐθνῶν μακρο-
βιώτερα, τὰ δ' ἐν τοῖς ψυχροῖς βραχυβιώτερα. Καὶ τῶν 6
τὸν αὐτὸν δὲ τόπον οἰκούντων [p]διαφέρουσιν ὁμοίως τινὲς
[q]ταύτην πρὸς ἀλλήλους τὴν διαφοράν.

Δεῖ [r]δὴ λαβεῖν τί τὸ εὔφθαρτον ἐν τοῖς φύσει συνεστῶσι 2
καὶ τί τὸ οὐκ εὔφθαρτον. Πῦρ [s]γὰρ καὶ ὕδωρ καὶ τὰ [t]τού-
τοις συγγενῆ, οὐκ ἔχοντα τὴν αὐτὴν δύναμιν, τυγχάνει γενέ-

Codices L.M.P.S.Z. [a] ἕτερον ἢ] δῆλον καὶ M, καὶ Z. [b] τοῖς om. M.P.S. [c] δὲ om. M.Z. [d] οὖν om. S. [e] περὶ—ὕστερον om. M.Z. [f] ὅμως M. [g] ὃς M. [h] τὰς M.Z. [i] γὰρ] δὲ M.Z. [k] δ' ἄνθρωπος L.P. [l] καὶ om. L. [m] βραχύτεροι M. [n] ἕτεροι om. M.Z. [o] καθεστῶτες M.Z. [p] διαφέρει L. [q] ταύτην τὴν πρὸς ἀλλ. δ. M.Z. [r] δὴ] δὲ M.Z. [s] γὰρ] δὴ L, om. S. [t] τούτων M.Z.

*σεως καὶ φθορᾶς αἴτια* [v]*ἀλλήλοις, ὥστε καὶ τῶν ἄλλων* [w]*ἕκαστον* [x]*ἐκ τούτων ὄντα καὶ συνεστῶτα μετέχειν τῆς τούτων φύσεως εὔλογον, ὅσα μὴ συνθέσει ἐκ πολλῶν ἐστίν, οἷον*
2 *οἰκία.* Περὶ *μὲν οὖν τῶν ἄλλων* [y]*ἕτερος λόγος· εἰσὶ γὰρ ἴδιαι* [z]*φθοραὶ πολλοῖς τῶν ὄντων, οἷον ἐπιστήμῃ καὶ* [a]*ὑγιείᾳ καὶ* [b]*νόσῳ· ταῦτα γὰρ φθείρεται καὶ μὴ φθειρομένων τῶν δεκτικῶν ἀλλὰ σωζομένων, οἷον* [c]*ἀγνοίας μὲν φθορὰ ἀνάμνησις καὶ μάθησις, ἐπιστήμης* [d]*δὲ λήθη καὶ ἀπάτη.*
3 Κατὰ *συμβεβηκὸς δ' ἀκολουθοῦσι τοῖς φυσικοῖς* [e]*αἱ τῶν ἄλλων φθοραί· φθειρομένων γὰρ τῶν ζῴων φθείρεται καὶ ἡ*
4 *ἐπιστήμη καὶ* [f]*ἡ ὑγίεια ἡ ἐν τοῖς ζῴοις.* Διὸ *καὶ περὶ ψυχῆς* [g]*συλλογίσαιτ'* [h]*ἄν τις ἐκ τούτων· εἰ γάρ ἐστι μὴ φύσει ἀλλ' ὥσπερ* [i]*ἐπιστήμη ἐν ψυχῇ, οὕτω* [k]*καὶ ψυχὴ ἐν σώματι, εἴη ἄν* [l]*τις αὐτῆς καὶ ἄλλη φθορὰ παρὰ τὴν* [m]*φθορὰν* [n]*ἣν φθείρεται φθειρομένου τοῦ σώματος.* Ὥστ' *ἐπεὶ οὐ φαίνεται* [o]*τοιαύτη οὖσα, ἄλλως ἂν ἔχοι πρὸς τὴν τοῦ σώματος κοινωνίαν.*

3 Ἴσως *δ' ἄν τις ἀπορήσειεν εὐλόγως, ἆρ' ἔστιν οὗ ἄφθαρτον* [p]*ἔσται τὸ φθαρτόν, οἷον τὸ πῦρ ἄνω,* [q]*οὗ* [r]*μὴ* [s]*ἔστι τὸ ἐναντίον.* Φθείρεται *γὰρ τὰ μὲν ὑπάρχοντα τοῖς ἐναντίοις κατὰ συμβεβηκός, τῷ ἐκεῖνα φθείρεσθαι· ἀναιρεῖται γὰρ τἀναντία ὑπ' ἀλλήλων· κατὰ συμβεβηκὸς δ' οὐθὲν τῶν ἐν ταῖς οὐσίαις ἐναντίων φθείρεται, διὰ τὸ μηθενὸς ὑποκειμένου*
2 *κατηγορεῖσθαι τὴν οὐσίαν.* Ὥσθ' [t]*ᾧ μή ἐστιν ἐναντίον καὶ* [v]*ὅπου μή ἐστιν, ἀδύνατον ἂν εἴη φθαρῆναι· τί γὰρ ἔσται τὸ φθεροῦν, εἴπερ ὑπ'* [w]*ἐναντίων μὲν φθείρεσθαι* [x]*συμβαίνει μόνων, τοῦτο δὲ μὴ ὑπάρχει,* [y]*ἢ ὅλως ἢ ἐνταῦθα;* Ἢ *τοῦτο*

[v] *ἀλλήλοις*] *τοῖς ἄλλοις* L.P, *τῶν ἄλλων* M.Z. [w] *ἕκαστα* P. [x] *ἐκ τούτων ὄντα*] *ὥστε* M.Z. [y] *ἕτερος ἔστω λόγος· εἰσὶ γὰρ καὶ ἴδιαι* P. [z] *πολλοῖς τῶν ὄντων φθοραὶ* S. [a] *ὑγίεια* M. [b] *νόσος* L.M.Z. [c] *ἀγνείας* P. [d] *δὲ* om. S. [e] *αἱ* om. M. [f] *ἡ* post *καὶ* om. S. [g] *λογίσαιτ'* M.P.Z. [h] *τις ἂν* L.S. [i] *ἐπιστήμη ἐν ψυχῇ* om. pr. Z, *ἐπιστήμη* om. M. [k] *καὶ* om. M.Z. [l] *τις* om. M.P.Z. [m] *φθορὰν*] *φύσιν* M. [n] *ᾗ* L. [o] *οὖσα τοιαύτη* Z. [p] *ἐστὶ* S. [q] *οὐ* M.Z. [r] *μὴν* M.S.Z. [s] *ἔστι*] *εἴ τι* M.Z. [t] *ᾧ*] *εἰ* M.Z. [v] *ὅπου τε μὴ* M.Z. [w] *ἐναντίου* Z. [x] *ξυμβαίνει μόνον* M.S.Z. [y] *ἢ* ante *ὅλως* om. S.

*τῇ μὲν ἀληθές ἐστι τῇ δ' οὔ· ἀδύνατον γὰρ τῷ ὕλην ἔχοντι*
*μὴ ὑπάρχειν πως τὸ* [z] *ἐναντίον. Πάντῃ μὲν γὰρ ἐνεῖναι τὸ* 3
*θερμὸν ἢ τὸ εὐθὺ ἐνδέχεται,* [a] *πᾶν δ' εἶναι ἀδύνατον ἢ θερμὸν*
*ἢ εὐθὺ ἢ λευκόν·* [b] *ἔσται γὰρ τὰ πάθη κεχωρισμένα. Εἰ*
*οὖν,* [c] *ὅταν ἅμα ᾖ τὸ ποιητικὸν καὶ* [d] *τὸ παθητικόν,* [e] *ἀεὶ τὸ*
*μὲν ποιεῖ τὸ δὲ πάσχει, ἀδύνατον μὴ μεταβάλλειν. Ἔτι* 4
*καὶ εἰ ἀνάγκη περίττωμα ποιεῖν, τὸ δὲ περίττωμα ἐναντίον·*
*ἐξ* [f] *ἐναντίου γὰρ ἀεὶ ἡ μεταβολή, τὸ δὲ περίττωμα* [g] *ὑπό-*
*λειμμα τοῦ προτέρου. Εἰ δὲ πᾶν ἐξελαύνει τὸ ἐνεργείᾳ*
[h] *ἐναντίον, κἂν ἐνταῦθ'* [i] *ἄφθαρτον* [k] *ἂν εἴη. Ἢ οὔ, ἀλλ'*
*ὑπὸ τοῦ περιέχοντος φθείρεται. Εἰ μὲν οὖν ἱκανόν, ἐκ τῶν* 5
*εἰρημένων· εἰ δὲ μή, ὑποθέσθαι δεῖ ὅτι* [l] *ἔνεστί τι* [m] *ἐνεργείᾳ*
[n] *ἐναντίον, καὶ περίττωμα γίνεται. Διὸ ἡ ἐλάττων φλὸξ*
*κατακάεται ὑπὸ τῆς πολλῆς κατὰ συμβεβηκός, ὅτι ἡ τροφὴ*
[o] *ἣν ἐκείνη ἐν πολλῷ χρόνῳ* [p] *ἀναλίσκει τὸν καπνόν, ταύτην ἡ*
*πολλὴ φλὸξ ταχύ.* [q] *Διὸ πάντα ἀεὶ ἐν κινήσει ἐστί, καὶ*
*γίνεται* [r] *ἢ φθείρεται. Τὸ δὲ περιέχον ἢ συμπράττει ἢ* 6
*ἀντιπράττει. Καὶ διὰ τοῦτο μετατιθέμενα πολυχρονιώτερα*
*μὲν γίνεται καὶ ὀλιγοχρονιώτερα τῆς φύσεως,* [s] *ἀΐδια δ' οὐ-*
*δαμοῦ,* [t] *ὅσοις ἐναντία ἐστίν· εὐθὺς γὰρ ἡ ὕλη τὸ ἐναντίον*
*ἔχει. Ὥστ' εἰ* [v] *μὲν τοῦ ποῦ, κατὰ τόπον μεταβάλλει, εἰ*
*δὲ τοῦ ποσοῦ, κατ' αὔξησιν* [w] *καὶ φθίσιν· εἰ δὲ* [x] *πάθους, ἀλ-*
*λοιοῦται.*

4 *Ἔστι δ' οὔτε τὰ μέγιστα ἀφθαρτότερα (ἵππος γὰρ ἀν-*
*θρώπου* [y] *βραχυβιώτερον) οὔτε τὰ μικρά (ἐπέτεια γὰρ* [z] *τὰ*
*πολλὰ τῶν ἐντόμων) οὔτε τὰ φυτὰ ὅλως τῶν ζῴων (ἐπέτεια*

[z] *ἐναντίον. εὐθὺς γὰρ δυνάμει ἐνυπάρχει τὸ ἐναντίον τῇ παθητικῇ ὕλῃ. πάντῃ* M.Z.i. [a] *πᾶν—λευκόν* om. M.Z. [b] *ἔσται*] *εἴτε* M.Z. [c] *ὅταν ἅμα*] *ὅτε ἂν* M, *ἅμα ὅταν* corr. Z. [d] *τὸ* post *καὶ* om. L.M. et pr. Z. [e] *τὸ μὲν ἀεὶ* L. [f] *ἐναντίων* P. [g] *ὑπολείμματος προτέρου* M. [h] *ἐναντίον*] *ἐνίοτε* M. [i] *φθαρτὸν* M. [k] *ἂν εἴη*] *ᾖ* S. [l] *ἔστι* M.Z. [m] *ἐνεργείᾳ τι τὸ* P. [n] *ἐναντία* L. [o] *ἣν*] *ἡ ἐν* M.Z. [p] *καταναλίσκει* P. [q] *διὸ καὶ πάντα* L. [r] *ἢ*] *καὶ* M.Z. [s] *ἄδεια* M. et pr. Z. [t] *ὅσα* M. [v] *μὲν τὸ ποῦ κατὰ τὸ ποῦ μετ.* M.Z. [w] *καὶ*] *ἢ* Z. [x] *πάθος* P.Z, *εὐπαθὲς* M. [y] *βραχυβιώτερος* L.P. [z] *τῶν ἐντόμων τὰ πολλὰ* M.Z.

γὰρ ἔνια [a]τῶν φυτῶν) οὔτε τὰ ἔναιμα (μέλιττα γὰρ [b]πολυ-
χρονιώτερον ἐνίων ἐναίμων) [c]οὔτε τὰ ἄναιμα (τὰ γὰρ μαλά-
κια ἐπέτεια μέν, ἄναιμα δέ) οὔτε τὰ ἐν τῇ γῇ (καὶ γὰρ φυτὰ
ἐπέτειά ἐστι καὶ ζῷα πεζά) οὔτε τὰ ἐν τῇ [d]θαλάττῃ· καὶ
γὰρ ἐκεῖ βραχύβια [e]καὶ τὰ ὀστρακηρὰ καὶ τὰ μαλάκια.
2 Ὅλως [f]δὲ τὰ μακροβιώτατα ἐν τοῖς φυτοῖς ἐστίν, οἷον [g]ὁ
φοῖνιξ· εἶτ' ἐν τοῖς ἐναίμοις ζῴοις μᾶλλον ἢ ἐν τοῖς ἀναίμοις,
καὶ [h]ἐν τοῖς πεζοῖς ἢ ἐν τοῖς ἐνύδροις. Ὥστε καὶ συνδυα-
σθέντων ἐν τοῖς ἐναίμοις καὶ πεζοῖς τὰ μακροβιώτατα τῶν
3 ζῴων ἐστίν, οἷον ἄνθρωπος καὶ ἐλέφας. Καὶ δὴ καὶ [i]τὰ
μείζω ὡς ἐπὶ τὸ πολὺ εἰπεῖν τῶν ἐλαττόνων μακροβιώτερα·
καὶ γὰρ [k]καὶ τοῖς ἄλλοις συμβέβηκε τοῖς [l]μακροβιωτάτοις
μέγεθος, ὥσπερ καὶ τοῖς εἰρημένοις.

5 Τὴν δ' αἰτίαν περὶ τούτων ἁπάντων ἐντεῦθεν ἄν τις θεω-
ρήσειεν. Δεῖ γὰρ λαβεῖν ὅτι τὸ ζῷόν ἐστι φύσει ὑγρὸν
καὶ θερμόν, καὶ τὸ ζῆν τοιοῦτον, τὸ δὲ γῆρας [m]ψυχρὸν καὶ
ξηρόν, καὶ τὸ τεθνηκός· φαίνεται γὰρ οὕτως. Ὕλη δὲ τῶν
σωμάτων τοῖς [n]οὖσι ταῦτα, τὸ [o]θερμὸν καὶ [p]τὸ ψυχρόν,
2 καὶ τὸ ξηρὸν [q]καὶ [r]τὸ ὑγρόν. Ἀνάγκη τοίνυν γηράσκοντα
ξηραίνεσθαι. Διὸ [s]δεῖ μὴ εὐξήραντον εἶναι τὸ ὑγρόν. Καὶ
διὰ τοῦτο τὰ λιπαρὰ ἄσηπτα. Αἴτιον δ' ὅτι ἀέρος· ὁ δ'
ἀὴρ πρὸς τἆλλα [t]πῦρ· πῦρ δ' οὐ γίνεται σαπρόν. Οὐδ' αὖ
ὀλίγον δεῖ εἶναι τὸ ὑγρόν· εὐξήραντον γὰρ καὶ τὸ ὀλίγον.
3 Διὸ καὶ τὰ μεγάλα [v]καὶ ζῷα καὶ φυτὰ ὡς [w]ὅλως εἰπεῖν μα-
κροβιώτερα, καθάπερ ἐλέχθη πρότερον· εὔλογον γὰρ τὰ
μείζω [x]πλέον ἔχειν ὑγρόν. Οὐ μόνον δὲ διὰ τοῦτο [y]μα-
κροβιώτερα· δύο γὰρ τὰ αἴτια, τό τε ποσὸν καὶ τὸ ποιόν,

[a] τῶν om. M. [b] πολυχρονιωτέρα S. [c] οὔτε] οὐ L. [d] θαλάσσῃ L.
[e] καὶ τὰ ὀστρακηρὰ om. S. [f] δὲ μακροβιώτατον M. [g] ὁ om. L.
[h] ἐν τοῖς et ἢ ἐν τοῖς—πεζοῖς om. M.Z. [i] τὰ μὲν μείζω P.S. [k] καὶ
ante τοῖς om. M.Z. [l] μακροβιωτέροις L. [m] ξηρὸν καὶ ψυχρὸν M.Z.
[n] οὖσι] ζῴοις M.Z. [o] ψυχρὸν καὶ τὸ θερμὸν P. [p] τὸ om. P.S. [q] καὶ]
δὲ M. [r] τὸ om. P.S. [s] δεῖ] δὴ P.S. [t] πῦρ post ἀὴρ M.Z, om. L.
[v] καὶ post μεγ. om. P. [w] ἁπλῶς Z, ὅλος λόγος M. [x] πλεῖον Z.
[y] μακροβιώτατα L.P.Z.

[a] ὥστε δεῖ μὴ μόνον [b] πλῆθος εἶναι ὑγροῦ, ἀλλὰ τοῦτο καὶ
θερμόν, ἵνα μήτε εὔπηκτον μήτε εὐξήραντον ᾖ. Καὶ διὰ 4
τοῦτο ἄνθρωπος [c] μακρόβιον μᾶλλον [d] ἐνίων μειζόνων· μακρο-
βιώτερα [e] γὰρ τὰ λειπόμενα τῷ πλήθει τοῦ ὑγροῦ, ἐὰν [f] πλεί-
ονι λόγῳ ὑπερέχῃ κατὰ τὸ [g] ποιὸν ἢ λείπεται κατὰ [h] τὸ
[i] ποσόν. Ἔστι δ' ἐνίοις μὲν τὸ θερμὸν [k] τὸ λιπαρόν, ὃ ἅμα
ποιεῖ τό τε μὴ εὐξήραντον καὶ τὸ [l] μὴ εὔψυκτον· ἐνίοις δ'
ἄλλον ἔχει χυμόν. Ἔτι [m] δεῖ τὸ μέλλον εἶναι μὴ εὔφθαρ- 5
τον μὴ περιττωματικὸν εἶναι. Ἀναιρεῖ γὰρ τὸ τοιοῦτον ἢ
νόσῳ ἢ φύσει· ἐναντία [n] δ' ἡ τοῦ περιττώματος δύναμις καὶ
φθαρτικὴ ἡ μὲν τῆς φύσεως ἡ δὲ μορίου. [o] Διὸ τὰ ὀχευτικὰ
καὶ πολύσπερμα γηράσκει ταχύ· τὸ γὰρ σπέρμα περίττωμα,
καὶ ἔτι ξηραίνει ἀπιόν. Καὶ διὰ τοῦτο ἡμίονος [p] μακροβιώ- 6
τερος ἵππου καὶ ὄνου, ἐξ ὧν ἐγένετο, καὶ τὰ θήλεα τῶν ἀρ-
ρένων, ἐὰν ὀχευτικὰ ᾖ τὰ ἄρρενα· [q] διὸ οἱ στρουθοὶ οἱ ἄρρενες
βραχυβιώτεροι τῶν θηλειῶν. Ἔτι δὲ καὶ ὅσα πονητικὰ τῶν
ἀρρένων, καὶ διὰ τὸν πόνον γηράσκει μᾶλλον· ξηραίνει γὰρ ὁ
πόνος, τὸ δὲ γῆρας ξηρόν ἐστιν. Φύσει δὲ [r] καὶ ὡς ἐπὶ [s] τὸ 7
πᾶν εἰπεῖν τὰ ἄρρενα τῶν θηλειῶν μακροβιώτερα· [t] αἴτιον δ'
ὅτι θερμότερον [v] ζῷον τὸ ἄρρεν [w] ἐστὶ τοῦ θήλεος. Τὰ δ'
αὐτὰ [x] ἐν τοῖς [y] ἀλεεινοῖς μακροβιώτερά ἐστιν ἢ ἐν τοῖς ψυ-
χροῖς τόποις, διὰ τὴν [z] αὐτὴν αἰτίαν δι' ἥνπερ [a] τὰ μείζω.
Καὶ μάλιστ' ἐπίδηλον τὸ μέγεθος τῶν [b] τὴν φύσιν ψυχρῶν 8
ζῴων· διὸ οἵ τ' ὄφεις καὶ [c] αἱ σαῦραι καὶ τὰ φολιδωτὰ με-
γάλα ἐν τοῖς θερμοῖς τόποις, καὶ [d] ἐν τῇ θαλάττῃ τῇ ἐρυθρᾷ
τὰ ὀστρακόδερμα· τῆς τε γὰρ αὐξήσεως ἡ θερμὴ ὑγρότης

[a] ὥστε δεῖ] ὡς εἰ M, ὡς Z. [b] εἶναι πλῆθος P. πλ. τοῦ ὑγροῦ ἀλλὰ καὶ τοῦ θερμοῦ M.Z. [c] μακρόβιον καὶ μ. M.Z. [d] ἐνίων ζώων μ. P. [e] γὰρ τὰ om. M.Z. [f] πλέονι Z. [g] ποσὸν M. [h] τὸ om. Z. [i] ποιὸν M. [k] τὸ ante λιπαρόν om. Z. [l] μὴ post τὸ om. P. [m] δεῖ] δὴ P. [n] δ'] γὰρ P. [o] διὸ καὶ τὰ M.Z. [p] μακρ. καὶ ἵππου καὶ M.Z. [q] διὸ καὶ οἱ L. [r] καὶ om. S. [s] τὸ om. M.Z. [t] αἴτιον corr. Z, ἔτι M. [v] ζῷον om. M.Z, τὸ ζῷον P. [w] ἐστὶ om. M.P.Z. [x] ἐν] καὶ ἐν Z. [y] ἀλεεινοῖς καὶ μακρ. M.Z. [z] αὐτὴν δ' αἰτίαν P. [a] τὰ μείζω om. M.Z, καὶ μείζω P, καὶ ταχὺ μείζω L. [b] ψυχρῶν τὴν φύσιν L. [c] οἱ σαῦροι P. [d] ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ L.

9 *αἰτία καὶ τῆς ζωῆς. ˹Ἐν δὲ τοῖς* [e] *ψυχροῖς τόποις ὑδατωδέστερον τὸ ὑγρὸν τὸ ἐν τοῖς ζῴοις ἐστίν· διὸ εὔπηκτον, ὥστε τὰ μὲν οὐ γίνεται ὅλως τῶν ζῴων τῶν ὀλιγαίμων* [f] *ἢ ἀναίμων ἐν τοῖς πρὸς τὴν ἄρκτον τόποις, οὔτε τὰ πεζὰ ἐν τῇ γῇ οὔτε τὰ ἔνυδρα ἐν τῇ* [g] *θαλάττῃ, τὰ δὲ* [h] *γίνεται μέν, ἐλάττω δὲ καὶ βραχυβιώτερα· ἀφαιρεῖται γὰρ ὁ πάγος τὴν*
10 *αὔξησιν. Τροφὴν* [i] *δὲ μὴ λαμβάνοντα καὶ τὰ* [k] *φυτὰ καὶ τὰ ζῷα* [l] *φθείρονται· συντήκει γὰρ* [m] *αὐτὰ ἑαυτά· ὥσπερ* [n] *γὰρ ἡ πολλὴ φλὸξ κατακαίει καὶ φθείρει τὴν ὀλίγην τῷ τὴν τροφὴν ἀναλίσκειν, οὕτω τὸ φυσικὸν θερμὸν τὸ πρῶτον*
11 [o] *πεπτικὸν ἀναλίσκει τὴν ὕλην ἐν ᾗ ἐστίν. Τὰ δ' ἔνυδρα τῶν πεζῶν ἧττον μακρόβια οὐχ ὅτι ὑγρὰ ἁπλῶς, ἀλλ' ὅτι ὑδατώδη· τὸ δὲ τοιοῦτον ὑγρὸν εὔφθαρτον, ὅτι ψυχρὸν καὶ εὔπηκτον. Καὶ* [p] *τὸ ἄναιμον διὰ τὸ αὐτό, ἐὰν μὴ μεγέθει ἀπαμύνηται· οὔτε γὰρ λίπος οὔτε γλυκὺ ἔχει. ˹Ἐν* [q] *γὰρ ζῴῳ τὸ λιπαρὸν γλυκύ· διὸ αἱ μέλιτται μακροβιώτεραι ἑτέρων μειζόνων ζῴων.*

6 *˹Ἐν δὲ τοῖς φυτοῖς* [r] *ἐστὶ τὰ μακροβιώτατα, καὶ μᾶλλον ἢ ἐν τοῖς ζῴοις, πρῶτον μὲν* [s] *ὅτι ἧττον ὑδατώδη, ὥστ' οὐκ εὔπηκτα· εἶτ' ἔχει λιπαρότητα καὶ γλισχρότητα,* [t] *καὶ ξηρὰ*
2 *καὶ γεώδη ὄντα ὅμως οὐκ εὐξήραντον* [v] *ἔχει τὸ ὑγρόν. Περὶ δὲ τοῦ πολυχρόνιον εἶναι τὴν τῶν δένδρων φύσιν δεῖ λαβεῖν τὴν αἰτίαν· ἔχει γὰρ ἰδίαν πρὸς τὰ ζῷα, πλὴν πρὸς τὰ* [w] *ἔντομα. Νέα γὰρ ἀεὶ τὰ φυτὰ γίνεται· διὸ πολυχρόνια. ˹Ἀεὶ γὰρ ἕτεροι οἱ πτόρθοι,* [x] *οἱ δὲ γηράσκουσιν. Καὶ αἱ*
3 *ῥίζαι ὁμοίως.* [y] *˹Ἀλλ' οὐχ ἅμα, ἀλλ'* [z] *ὁτὲ μὲν* [a] *μόνον τὸ στέλεχος καὶ οἱ κλάδοι ἀπώλοντο, ἕτεροι δὲ παρεφύησαν· ὅταν δ' οὕτως* [b] *ὦσιν, αἱ ῥίζαι* [c] *ἄλλαι ἐκ τοῦ ὑπάρχοντος*

[e] *ψυχροῖς*] *ὑγροῖς* M.Z. [f] *ἢ ἄναιμα* S, om. M.Z. [g] *θαλάσσῃ* L. [h] *γίνεται ἐλάττω μὲν καὶ βρ.* M.Z. [i] *δὲ τὰ μὴ* M.Z. [k] *ζῷα καὶ τὰ φυτὰ* S. [l] *φθείρεται* M.Z. [m] *αὐτὸ αὐτά* P, *αὐτὸ αὐτὸ* L.S. [n] *γὰρ* om. M.Z. [o] *πεπτικὸν καὶ οὗ ἔστιν ἡ πέψις ἀναλ.* M.P.Z. [p] *τὰ ἄναιμα* P. [q] *γὰρ τῷ ζῴῳ* L. [r] *εἰσὶ* L. [s] *ὅτι*] *οὗ* M. [t] *καὶ ξηρὰ*] *διὸ ξηρὰ* P, *διὸ καὶ ξηρὰ* M.Z. [v] *ἔχουσι* M.P.S.Z. [w] *ἄτομα* L. [x] *οἱ δὲ*] *οὐδὲ* M. [y] *ἀλλ'* ante *οὐχ* om. M. [z] *ὅταν* M. [a] *τὸ στέλεχος μόνον* P. [b] *ποιῶσιν* M.Z. [c] *ἀλλ'* S.

γίνονται, καὶ οὕτως ἀεὶ διατελεῖ τὸ μὲν φθειρόμενον τὸ δὲ
γινόμενον· διὸ καὶ [d] μακρόβια. Ἔοικε δὲ τὰ [e] φυτὰ τοῖς 4
ἐντόμοις, ὥσπερ εἴρηται [f] πρότερον· διαιρούμενα γὰρ ζῇ, καὶ
δύο καὶ πολλὰ γίνεται ἐξ ἑνός. Τὰ δ' ἔντομα μέχρι μὲν
τοῦ ζῆν ἦλθεν, πολὺν δ' οὐ δύναται χρόνον· οὐ γὰρ ἔχει ὄρ-
γανα, οὐδὲ δύναται ποιεῖν αὐτὰ ἡ ἀρχὴ ἡ ἐν ἑκάστῳ. Ἡ δ'
ἐν τῷ φυτῷ δύναται· πανταχῇ γὰρ ἔχει καὶ ῥίζαν καὶ καυλὸν
δυνάμει. Διὸ ἀπὸ ταύτης ἀεὶ προέρχεται τὸ μὲν νέον τὸ δὲ 5
γηράσκον, μικρόν τι διαφέροντα [g] τῷ εἶναι μακρόβια, οὕτως
ὥσπερ τὰ ἀποφυτευόμενα. Καὶ γὰρ ἐν τῇ ἀποφυτείᾳ τρό-
πον τινὰ φαίη ἄν τις [h] ταῦτα συμβαίνειν· μόριον γάρ τι τὸ
ἀποφυτευθέν. Ἐν μὲν οὖν τῇ ἀποφυτείᾳ χωριζομένων συμ-
βαίνει τοῦτο, ἐκεῖ δὲ διὰ [i] τοῦ συνεχοῦς. Αἴτιον δ' ὅτι ἐνυ- 6
πάρχει [k] πάντῃ ἡ ἀρχὴ δυνάμει ἐνοῦσα. Συμβαίνει δὲ ταὐτὸ
ἐπί τε [l] τῶν [m] ζῴων καὶ φυτῶν. Ἔν τε γὰρ τοῖς ζῴοις τὰ
ἄρρενα μακροβιώτερα [n] ὡς ἐπὶ τὸ πολύ· τούτων δὲ τὰ ἄνω
μείζω ἢ τὰ κάτω ([o] νανωδέστερον γὰρ τοῦ θήλεος τὸ ἄρρεν),
ἐν δὲ τῷ ἄνω τὸ θερμόν, καὶ [p] τὸ ψυχρὸν ἐν τῷ [q] κάτω· καὶ
[r] τῶν φυτῶν τὰ [s] κεφαλοβαρῆ μακροβιώτερα. Τοιαῦτα δὲ 7
τὰ μὴ ἐπέτεια ἀλλὰ δενδρώδη· τὸ γὰρ ἄνω τοῦ φυτοῦ καὶ
κεφαλὴ ἡ ῥίζα ἐστί, τὰ δ' ἐπέτεια ἐπὶ [t] τὸ κάτω καὶ τὸν
καρπὸν λαμβάνει τὴν αὔξησιν. Ἀλλὰ περὶ μὲν [v] τούτου καὶ 8
καθ' αὑτὰ ἐν τοῖς περὶ φυτῶν διορισθήσεται· νῦν δὲ περὶ
τῶν ἄλλων ζῴων εἴρηται τὸ αἴτιον περί τε μεγέθους ζωῆς
[w] καὶ βραχυβιότητος. Λοιπὸν δ' ἡμῖν θεωρῆσαι περί τε
νεότητος καὶ γήρως καὶ ζωῆς καὶ θανάτου· τούτων γὰρ διο-
ρισθέντων τέλος ἂν ἡ περὶ τῶν ζῴων [x] ἔχοι μέθοδος.

[d] μακρόβιον P. [e] φυτὰ ἐν τοῖς M. [f] πρότερον om. M.Z. [g] τῷ] τὸ S, τῷ ἀεὶ M.Z. [h] ταῦτα L. [i] τὸ συνεχές P. [k] παντὶ M.Z. [l] τῶν om. L. [m] ζώων τε καὶ τῶν φυτῶν M. [n] ὥσπερ ἐπὶ M. [o] μανωδέστερον M. [p] τὸ post καὶ om. S. [q] κάτω ὥσπερ γὰρ καὶ M.Z. [r] τῶν om. M.S. [s] κεφαλῇ M. [t] τὰ κάτω λαμβάνει καὶ τοὺς καρποὺς καὶ ἐπὶ τὴν M.Z. [v] τούτων M.Z. [w] καὶ περὶ βρ. L.P. [x] ἔχῃ L.

1 Περὶ δὲ νεότητος καὶ γήρως καὶ [y] περὶ ζωῆς καὶ θανάτου
[z] λεκτέον νῦν· ἅμα δὲ καὶ περὶ ἀναπνοῆς ἀναγκαῖον ἴσως τὰς
αἰτίας εἰπεῖν· ἐνίοις γὰρ τῶν ζῴων διὰ [a] τοῦτο συμβαίνει τὸ
2 ζῆν καὶ τὸ μὴ ζῆν. Ἐπεὶ δὲ περὶ ψυχῆς ἐν ἑτέροις διώρι-
σται, καὶ δῆλον ὅτι οὐχ οἷόν τ' εἶναι σῶμα τὴν οὐσίαν αὐτῆς,
ἀλλ' [b] ὅμως ὅτι γ' ἔν τινι τοῦ σώματος ὑπάρχει μορίῳ, φα-
νερόν, καὶ ἐν τούτῳ τινὶ τῶν ἐχόντων δύναμιν ἐν τοῖς μορίοις.
3 Τὰ μὲν οὖν ἄλλα τῆς ψυχῆς [c] ἢ μόρια ἢ δυνάμεις, ὁποτέρως
ποτὲ δεῖ [d] καλεῖν, ἀφείσθω [e] τὰ νῦν· ὅσα δὲ ζῷα λέγεται καὶ
ζῆν, ἐν μὲν [f] τοῖς ἀμφοτέρων τούτων τετυχηκόσι (λέγω δ'
ἀμφοτέρων τοῦ τε ζῷον εἶναι καὶ τοῦ ζῆν) ἀνάγκη ταὐτὸν
εἶναι καὶ ἓν μόριον καθ' ὅ [g] τε ζῇ καὶ καθ' ὃ προσαγορεύομεν
4 αὐτὸ ζῷον. Τὸ μὲν γὰρ ζῷον [h] ᾗ ζῷον, ἀδύνατον μὴ ζῆν·
ᾗ δὲ ζῇ, ταύτῃ ζῷον ὑπάρχειν οὐκ [i] ἀναγκαῖον· τὰ γὰρ φυτὰ
ζῇ μέν, οὐκ ἔχει δ' αἴσθησιν, [k] τῷ δ' αἰσθάνεσθαι τὸ ζῷον
πρὸς τὸ μὴ ζῷον διορίζομεν. Ἀριθμῷ μὲν οὖν [l] ἀναγκαῖον
ἓν εἶναι καὶ τὸ αὐτὸ τοῦτο [m] τὸ μόριον, τῷ δ' εἶναι πλείω
καὶ [n] ἕτερα· οὐ γὰρ ταὐτὸ [o] τὸ [p] ζῴῳ [q] τε εἶναι καὶ τὸ ζῆν.
5 [r] Ἐπεὶ οὖν τῶν ἰδίων αἰσθητηρίων ἕν [s] τι κοινόν ἐστιν αἰσθη-
τήριον, εἰς ὃ τὰς κατ' ἐνέργειαν αἰσθήσεις ἀναγκαῖον ἀπαν-
τᾶν, τοῦτο δ' ἂν εἴη μέσον τοῦ [t] πρόσθεν καλουμένου καὶ
ὄπισθεν (ἔμπροσθεν μὲν γὰρ λέγεται ἐφ' [v] ὅ ἐστιν ἡμῖν ἡ
αἴσθησις, ὄπισθεν δὲ τὸ ἀντικείμενον), ἔτι δὲ διῃρημένου τοῦ
σώματος τῶν [w] μὲν [x] ζώντων πάντων [y] τῷ τ' ἄνω καὶ κάτω
(πάντα γὰρ ἔχει τὸ ἄνω καὶ [z] τὸ κάτω, ὥστε καὶ τὰ φυτά),
δῆλον ὅτι τὴν θρεπτικὴν [a] ἀρχὴν ἔχοι ἂν ἐν μέσῳ τούτων·

[y] περὶ post καὶ om. L.P. [z] νῦν λεκτέον L. [a] τούτου συμβαίνει καὶ τὸ Z. [b] ὅμως om. L.M.Z. [c] ἢ post ψυχῆς om. L.Z. [d] βαλεῖν L. [e] τὸ S. [f] τοῖς ζώοις ἀμφ. M.Z, omissis τούτων—ἀμφοτέρων. [g] τε] γε M. [h] ᾗ ζῷον om. M.Z. [i] ἀνάγκη S. [k] τῷ] τὸ P. [l] ἓν ἀναγκαῖον εἶναι τὸ αὐτὸ S, ἀναγκαῖον εἶναι ἓν καὶ αὐτὸ P. [m] τὸ ante μόριον om. M.S. [n] ἕτερον L.P.S. [o] τὸ om. M.P.S. [p] ζῷον pr. L. [q] τε om. L.M.Z. [r] ἐπειδὴ M.Z. [s] τι om. M.Z. [t] πρόσθε Z. [v] ὅ] ᾧ L, ὧν M. [w] μὲν om. L.P.S. [x] ζώων τῶν πάντων M. [y] τῷ] τό Z. [z] τὸ om. Z. [a] ἂν ἔχοιεν ἀρχὴν L.

καθ' ὃ μὲν γὰρ [b] εἰσέρχεται μόριον ἡ τροφή, ἄνω καλοῦμεν,
πρὸς αὐτὸ βλέποντες [c] ἀλλ' οὐ πρὸς τὸ περιέχον ὅλον, κάτω
δὲ καθ' ὃ τὸ περίττωμα ἀφίησι τὸ πρῶτον. Ἔχει δ' ἐναν- 6
τίως τοῖς φυτοῖς τοῦτο καὶ τοῖς ζῴοις· τῷ μὲν γὰρ ἀνθρώπῳ
διὰ τὴν ὀρθότητα μάλιστα ὑπάρχει τοῦτο τῶν [d] ζῴων, τὸ
ἔχειν τὸ ἄνω μόριον πρὸς τὸ τοῦ παντὸς ἄνω, τοῖς δ' ἄλλοις
μεταξύ· τοῖς δὲ φυτοῖς ἀκινήτοις οὖσι καὶ λαμβάνουσιν ἐκ
[e] τῆς γῆς [f] τὴν τροφὴν ἀναγκαῖον [g] ἀεὶ κάτω τοῦτ' ἔχειν τὸ
μόριον. Ἀνάλογον γάρ εἰσιν αἱ ῥίζαι τοῖς φυτοῖς καὶ τὸ 7
καλούμενον στόμα τοῖς ζῴοις, δι' οὗ τὴν τροφὴν τὰ μὲν ἐκ
τῆς γῆς [h] λαμβάνει, τὰ δὲ δι' αὐτῶν.

Τριῶν [i] δὲ μερῶν ὄντων εἰς ἃ διαιρεῖται πάντα τὰ τέλεια 2
τῶν ζῴων, ἑνὸς μὲν ᾗ δέχεται [k] τὴν τροφήν, ἑνὸς δ' ᾗ τὸ
περίττωμα προΐεται, τρίτου δὲ [l] τοῦ μέσου τούτων, τοῦτο ἐν
μὲν τοῖς μεγίστοις τῶν ζῴων καλεῖται [m] στῆθος, ἐν δὲ τοῖς
ἄλλοις τὸ ἀνάλογον, διήρθρωται δὲ μᾶλλον [n] ἑτέροις ἑτέρων.
Ὅσα δ' αὐτῶν ἐστὶ πορευτικά, [o] πρόσκειται καὶ μόρια [p] τὰ 2
πρὸς ταύτην τὴν ὑπηρεσίαν, οἷς τὸ πᾶν οἴσουσι κύτος, σκέλη
τε καὶ πόδες καὶ τὰ τούτοις ἔχοντα τὴν αὐτὴν δύναμιν. Ἀλλ' 3
ἥ [q] γε τῆς θρεπτικῆς [r] ἀρχὴ [s] ψυχῆς ἐν [t] τῷ μέσῳ τῶν τριῶν
μορίων [v] καὶ κατὰ τὴν αἴσθησιν οὖσα φαίνεται καὶ κατὰ τὸν
λόγον· πολλὰ γὰρ [w] τῶν [x] ζῴων [y] ἀφαιρουμένου [z] ἑκατέρου
τῶν μορίων, τῆς τε καλουμένης κεφαλῆς καὶ τοῦ δεκτικοῦ τῆς
τροφῆς, [a] ζῇ μεθ' οὗπερ ἂν ᾖ τὸ μέσον. Δῆλον δ' [b] ἐπὶ τῶν 4
ἐντόμων, οἷον σφηκῶν τε καὶ [c] μελιττῶν, τοῦτο συμβαῖνον·
καὶ τῶν μὴ ἐντόμων δὲ πολλὰ διαιρούμενα δύναται ζῆν διὰ
τὸ θρεπτικόν. Τὸ δὲ τοιοῦτον μόριον ἐνεργείᾳ μὲν ἔχει ἕν,

[b] εἰσέρχεται—βλέποντες] ἄνω M, om. Z. [c] ἀλλ' οὐ om. M.S. [d] ζῴων τὸ ἄνω ἔχειν μόριον M. [e] τῆς om. M. [f] τὴν—δι' οὗ om. M.Z. [g] ἀεὶ] εἴη P. [h] λαμβάνειν τὰ δὲ διὰ τῶν αὐτῶν M.Z. [i] δὲ om. M.S.Z. [k] τὴν om. M. [l] τούτων τοῦ μέσου L. [m] τυτθὸς M. [n] ἑτέροις] ἕτερα M.Z. [o] πρόκειται M. [p] τὰ om. P. [q] τε M.Z. [r] ἀρχῆς M.Z. [s] ψυχὴ M.S.Z. [t] τῷ om. S. [v] καὶ post μορίων om. P. [w] τῶν om. L.S. [x] ζῷα L. [y] ἀφαιρουμένων M.P.S.Z. [z] ἑκατέρων P. [a] ζῇ—φυτὰ διαιρούμενα om. M.Z. [b] ἐπεὶ L. [c] μελισσῶν P.

δυνάμει δὲ πλείω· τὸν αὐτὸν γὰρ συνέστηκε τοῖς φυτοῖς τρό-
πον· καὶ γὰρ τὰ φυτὰ διαιρούμενα [d]ζῇ χωρίς, καὶ γίνεται
5 πολλὰ ἀπὸ μιᾶς ἀρχῆς δένδρα. Δι' ἣν δ' αἰτίαν [e]τὰ μὲν οὐ
δύναται διαιρούμενα ζῆν, τὰ δ' [f]ἀποφυτεύεται τῶν φυτῶν,
ἕτερος [g]ἔσται λόγος. Ἀλλ' [h]ὁμοίως ἔχει κατά γε τοῦτο
τά [i]τε φυτὰ καὶ τὸ τῶν ἐντόμων γένος. Ἀνάγκη δὲ καὶ
τὴν θρεπτικὴν ψυχὴν ἐνεργείᾳ μὲν ἐν τοῖς ἔχουσιν εἶναι μίαν,
6 δυνάμει δὲ πλείους. Ὁμοίως δὲ καὶ τὴν αἰσθητικὴν [k]ἀρχήν·
φαίνεται γὰρ [l]ἔχοντα αἴσθησιν τὰ διαιρούμενα αὐτῶν. Ἀλλὰ
πρὸς τὸ σώζεσθαι τὴν φύσιν, τὰ μὲν φυτὰ δύναται, ταῦτα δ'
οὐ δύναται διὰ τὸ μὴ ἔχειν ὄργανα πρὸς σωτηρίαν, [m]ἐνδεᾶ
[n]τ' εἶναι τὰ μὲν τοῦ ληψομένου τὰ δὲ τοῦ δεξομένου τὴν
7 τροφήν, [o]τὰ δ' ἄλλων τε καὶ τούτων ἀμφοτέρων. Ἐοίκασι
γὰρ τὰ τοιαῦτα τῶν ζῴων πολλοῖς ζῴοις συμπεφυκόσιν· τὰ
δ' [p]ἄριστα συνεστηκότα [q]τοῦτ' οὐ πάσχει τῶν ζῴων διὰ τὸ
εἶναι τὴν φύσιν αὐτῶν ὡς ἐνδέχεται μάλιστα μίαν. Διὸ καὶ
μικρὰν αἴσθησιν ἔνια ποιεῖ [r]διαιρούμενα τῶν μορίων, ὅτι
ἔχει τι ψυχικὸν πάθος· [s]χωριζομένων γὰρ τῶν σπλάγχνων
ποιεῖται κίνησιν, [t]οἷον καὶ αἱ χελῶναι τῆς καρδίας [v]ἀφῃρη-
μένης.

3 Ἔτι [w]δὲ [x]ἐπί τε τῶν φυτῶν δῆλον καὶ ἐπὶ τῶν ζῴων, τῶν
μὲν φυτῶν τήν [y]τ' ἐκ τῶν σπερμάτων γένεσιν ἐπισκοποῦσι
2 καὶ τὰς [z]ἐμφυτείας [a]τε καὶ [b]τὰς ἀποφυτείας. Ἡ [c]τε [d]γὰρ
τῶν σπερμάτων γένεσις συμβαίνει [e]πᾶσιν [f]ἐκ τοῦ μέσου·
διθύρων γὰρ ὄντων πάντων, ᾗ συμπέφυκεν [g]ἔχεται, καὶ τὸ
μέσον ἐστὶν ἑκατέρου τῶν μορίων· ἐντεῦθεν [h]γὰρ ὅ τε καυ-
λὸς [i]ἐκφύεται καὶ ἡ ῥίζα τῶν φυομένων, ἡ δ' ἀρχὴ τὸ μέσον

[d] ζῆν M. [e] οὐ δύναται τὰ μὲν P. [f] ἀποφυτεύεσθαι L. et pr. Z. [g] ἔστω P.Z, ἴσος M. [h] ὅμως M.Z. [i] τε] γε M.Z, om. P. [k] ἀρχήν om. M.Z. [l] αἴσθησιν ἔχοντα καὶ τὰ δ' M.Z. [m] ἐνδεᾶ] ἐνδέχεται M. et pr. Z. [n] τ'] δ' M.S. [o] τὰ δ'] τῶν δ' M. [p] ἀριστερὰ P. [q] τούτων Z. [r] διαιρουμένων L. [s] χωριζόμενον M. [t] οἷον καὶ χελώνη M, οἷον χελώνη Z. [v] ἀφῃρημένη M. [w] δὲ om. M.Z. [x] ἐπὶ om. L. [y] τ'] γε P. [z] ἐκφυτείας M, ἐκφύσεις Z. [a] τε] αὐτῶν P. [b] τὰς om. L. [c] τε] μὲν M.S.Z. [d] γὰρ ἐκ τῶν L.M.Z. [e] πᾶσα P. [f] ἐκ τοῦ μέσου om. M.Z. [g] ἔχεται om. L. [h] γὰρ om. M.P.S.Z. [i] ἐκφυτεύεται M.Z.

αὐτῶν ἐστίν. Ἔν τε ταῖς [k] ἐμφυτείαις [l] καὶ ταῖς ἀποφυ- 3
τείαις [m] μάλιστα [n] τοῦτο συμβαίνει περὶ τοὺς ὄζους· ἔστι
γὰρ ἀρχή τις ὁ ὄζος τοῦ κλάδου, ἅμα δὲ καὶ μέσον, ὥστε [o] ἢ
[p] τοῦτο ἀφαιροῦσιν ἢ [q] εἰς τοῦτο ἐμβάλλουσιν, ἵνα ἢ [r] ὁ κλά-
δος ἢ αἱ ῥίζαι ἐκ τούτων [s] γίνωνται, ὡς οὔσης τῆς ἀρχῆς ἐκ
τοῦ μέσου [t] καυλοῦ καὶ ῥίζης. Καὶ τῶν ζῴων τῶν ἐναίμων ἡ 4
καρδία γίνεται πρῶτον. Τοῦτο δὲ δῆλον ἐξ ὧν ἐν τοῖς ἐνδε-
χομένοις [v] ἔτι γιγνομένοις ἰδεῖν τεθεωρήκαμεν. Ὥστε καὶ
ἐν τοῖς [w] ἀναίμοις ἀναγκαῖον [x] τὸ ἀνάλογον τῇ καρδίᾳ γίνε-
σθαι πρῶτον. Ἡ δὲ καρδία ὅτι ἐστὶν ἀρχὴ τῶν φλεβῶν, 5
ἐν τοῖς περὶ τὰ μέρη τῶν ζῴων εἴρηται πρότερον· καὶ ὅτι τὸ
αἷμα τοῖς ἐναίμοις ἐστὶ τελευταία τροφή, ἐξ οὗ γίνεται [y] τὰ
μόρια. Φανερὸν τοίνυν ὅτι μίαν μέν τινα ἐργασίαν ἡ τοῦ 6
στόματος λειτουργεῖ δύναμις, ἑτέραν δ᾽ ἡ τῆς κοιλίας περὶ
τὴν τροφήν. Ἡ δὲ καρδία κυριωτάτη, καὶ τὸ τέλος ἐπιτί-
θησιν. Ὥστ᾽ ἀνάγκη [z] καὶ τῆς αἰσθητικῆς καὶ τῆς θρεπτικῆς 7
ψυχῆς ἐν τῇ καρδίᾳ τὴν ἀρχὴν εἶναι τοῖς ἐναίμοις· τὰ γὰρ
τῶν ἄλλων μορίων ἔργα περὶ τὴν τροφὴν τοῦ ταύτης ἔργου
χάριν ἐστί· δεῖ [a] γὰρ τὸ κύριον πρὸς [b] τὸ οὗ ἕνεκα διατελεῖν,
ἀλλ᾽ [c] οὐκ ἐν τοῖς τούτου ἕνεκα, οἷον ἰατρὸς πρὸς τὴν [d] ὑγί-
ειαν. Ἀλλὰ [e] μὴν τό γε κύριον τῶν αἰσθήσεων ἐν ταύτῃ 8
τοῖς ἐναίμοις πᾶσιν· [f] ἐν τούτῳ [g] γὰρ ἀναγκαῖον [h] εἶναι τὸ
πάντων [i] τῶν αἰσθητηρίων κοινὸν αἰσθητήριον. Δύο δὲ φα-
νερῶς ἐνταῦθα συντεινούσας ὁρῶμεν, τήν τε γεῦσιν καὶ τὴν
ἁφήν, ὥστε καὶ τὰς ἄλλας ἀναγκαῖον· [k] ἐν τούτῳ [l] μὲν γὰρ

[k] ἐμφ. μάλιστα καὶ P. [l] καὶ ταῖς ἀποφυτείαις om. M.Z, ταῖς om. S. [m] μάλιστα] ἀμφότερα M.Z. [n] συμβαίνει τοῦτο S, συμβαίνει ταῦτα M.P.Z. [o] ἢ] εἰ P. [p] τοῦτον M.Z. [q] εἰς om. M. [r] ὁ κλάδος] κλάδου μέρος M, κλαδούμενος Z. [s] γένωνται P. [t] κλάδου M.Z. [v] ἔτι γιγνομένοις] ἐπιγιγνομένοις M.Z. [w] ἐναίμοις P. [x] τὸ om. L.S. [y] τὰ] τἆλλα M.Z. [z] καὶ τῆς αἰσθητικῆς post θρεπτικῆς P, om. M. [a] γὰρ] μὲν γὰρ L, μέντοι M.Z. [b] τὸ οὗ] τῷ οὗ L. [c] οὐκ ἐν τοῖς] ἐνίοις M.Z. [d] ὑγίειαν, οἱ δ᾽ ὑπηρέται πρὸς τοῖς πρὸς τὴν ὑγίειαν. ἀλλὰ M.Z.i.l. [e] μὴν om. M.Z. [f] ἐν τούτῳ] τοῦτο P.S. [g] γάρ ἐστιν ἀναγκαῖον M.S.Z. [h] εἶναι om. S. [i] τῶν om. L. [k] ἐν τούτῳ] εἶναι τούτων M.Z. [l] μὲν om. P.

τοῖς ἄλλοις αἰσθητηρίοις ἐνδέχεται ποιεῖσθαι τὴν κίνησιν,
9 ταῦτα δ' οὐδὲν συντείνει πρὸς τὸν ἄνω τόπον. Χωρὶς δὲ τούτων, εἰ τὸ ζῆν ἐν τούτῳ τῷ μορίῳ πᾶσίν ἐστι, δῆλον ὅτι καὶ τὴν αἰσθητικὴν ἀρχὴν ἀναγκαῖον· ᾗ μὲν γὰρ ζῷον, ταύτῃ καὶ ζῆν φαμέν, ᾗ δ' αἰσθητικόν, ταύτῃ τὸ σῶμα ζῷον εἶναι
10 λέγομεν. [m] Διὰ τί δ' αἱ μὲν τῶν αἰσθήσεων φανερῶς συντείνουσι πρὸς τὴν καρδίαν, αἱ δ' εἰσὶν ἐν τῇ κεφαλῇ (διὸ καὶ δοκεῖ τισὶν αἰσθάνεσθαι τὰ ζῷα διὰ τὸν ἐγκέφαλον), τὸ
11 αἴτιον [n] τούτων ἐν ἑτέροις εἴρηται χωρίς. Κατὰ μὲν οὖν τὰ φαινόμενα δῆλον ἐκ τῶν εἰρημένων ὅτι ἐν τούτῳ τε καὶ ἐν τῷ μέσῳ τοῦ σώματος [o] τῶν τριῶν μορίων ἥ τε τῆς αἰσθητικῆς [p] ἀρχὴ ψυχῆς ἐστὶ καὶ [q] ἡ τῆς αὐξητικῆς καὶ [r] τῆς θρεπτικῆς.

4 Κατὰ δὲ τὸν λόγον, ὅτι τὴν φύσιν ὁρῶμεν ἐν πᾶσιν [s] ἐκ τῶν δυνατῶν ποιοῦσαν [t] τὸ κάλλιστον. Ἐν τῷ μέσῳ δὲ τῆς οὐσίας [v] τῆς ἀρχῆς οὔσης ἑκατέρας μάλιστα [w] μὲν [x] ἀποτελεῖ τῶν μορίων ἑκάτερον τὸ αὑτοῦ ἔργον, τό τε κατεργαζόμενον τὴν ἐσχάτην τροφὴν καὶ τὸ δεκτικόν· πρὸς [y] ἑκατέρῳ γὰρ αὐτῶν οὕτως ἔσται, καὶ ἔστιν ἡ τοῦ τοιούτου [z] μέση χώρα
2 ἄρχοντος χώρα. Ἔτι τὸ χρώμενον καὶ ᾧ [a] χρῆται, δεῖ διαφέρειν. Ὥσπερ [b] δὲ τὴν δύναμιν, οὕτως [c] ἂν [d] ἐνδέχοιτο καὶ τὸν [e] τρόπον, [f] ὥσπερ οἵ τ' αὐλοὶ καὶ τὸ κινοῦν [g] τοὺς αὐλούς, ἡ χείρ. Εἴπερ οὖν τὸ ζῷον ὥρισται [h] τῷ τὴν αἰσθητικὴν ἔχειν ψυχήν, τοῖς μὲν ἐναίμοις ἀναγκαῖον ἐν τῇ καρδίᾳ ταύτην ἔχειν τὴν ἀρχήν, τοῖς δ' ἀναίμοις ἐν τῷ ἀνά-
3 λογον [i] μορίῳ. Πάντα δὲ τὰ μόρια καὶ πᾶν τὸ σῶμα τῶν ζῴων ἔχει τινὰ σύμφυτον θερμότητα φυσικήν· διὸ ζῶντα μὲν φαίνεται θερμά, τελευτῶντα δὲ καὶ στερισκόμενα τοῦ

[m] διότι P. [n] τούτων om. L. [o] τῶν om. M.Z. [p] ἀρχὴ ψυχῆς] ἀρχῆς M.Z, ψυχῆς ἀρχὴ L. [q] ἡ om. L. [r] τῆς post καὶ om. M.P.S.Z. [s] ἐν τῷ δυνατῷ M. [t] τὸ om. L. [v] τῆς ἀρχῆς om. S. [w] μὲν] ἂν M.Z. [x] ἀποτελοῖ Z, ἀποτελῇ M. [y] ἑκατέρων M. [z] μέσου L.P.S μέρους M.Z. [a] χρῆται τὸ χρώμενον διαφέρει M.Z. [b] δὲ καὶ τὴν M.Z. [c] αν om. S. [d] ἐνδέχεται S.Z, ἐνδέχηται M.P. [e] τόπον L.Z. [f] ὥσπερ om. M. [g] τοὺς—ὥρισται om. M.Z. [h] τῶν τὴν αἰσθητικὴν ἐχόντων M.Z. [i] μορίῳ om. M.Z.

*ζῆν τοὐναντίον. Ἀναγκαῖον [k] δὴ [l] ταύτης τὴν ἀρχὴν τῆς* 4
*θερμότητος ἐν τῇ καρδίᾳ τοῖς ἐναίμοις [m] εἶναι, τοῖς δ' ἀναί-
μοις ἐν τῷ ἀνάλογον· ἐργάζεται γὰρ καὶ πέττει τῷ φυσικῷ
θερμῷ [n] τὴν τροφὴν πάντα, μάλιστα δὲ τὸ κυριώτατον. Διὸ* 5
*τῶν μὲν ἄλλων μορίων ψυχομένων ὑπομένει τὸ ζῆν, τοῦ δ' ἐν
ταύτῃ φθείρεται πάμπαν, διὰ τὸ τὴν ἀρχὴν ἐντεῦθεν τῆς
θερμότητος ἠρτῆσθαι πᾶσι, [o] καὶ τῆς ψυχῆς ὥσπερ [p] ἐμπε-
πυρευμένης [q] ἐν τοῖς μορίοις [r] τούτοις, τῶν μὲν ἀναίμων ἐν
τῷ ἀνάλογον, ἐν δὲ τῇ καρδίᾳ τῶν ἐναίμων. Ἀνάγκη τοί-* 6
*νυν ἅμα τό τε ζῆν ὑπάρχειν καὶ τὴν τοῦ θερμοῦ τούτου
σωτηρίαν, καὶ τὸν καλούμενον θάνατον [s] εἶναι [t] τὴν τούτου
φθοράν.*

*Ἀλλὰ μὴν πυρός γε δύο ὁρῶμεν φθοράς, μάρανσίν τε καὶ* 5
*σβέσιν. Καλοῦμεν δὲ τὴν μὲν [v] ὑφ' αὑτοῦ [w] μάρανσιν, τὴν
δ' [x] ὑπὸ τῶν ἐναντίων σβέσιν, τὴν [y] μὲν γήρᾳ, τὴν δὲ βίαιον.
Συμβαίνει δ' ἀμφοτέρας διὰ ταὐτὸ γίνεσθαι [z] τὰς φθοράς·
[a] ὑπολειπούσης γὰρ τῆς τροφῆς, οὐ δυναμένου λαμβάνειν τοῦ
θερμοῦ τὴν τροφήν, φθορὰ γίνεται τοῦ πυρός. Τὸ μὲν γὰρ* 2
*ἐναντίον παῦον τὴν πέψιν κωλύει τρέφεσθαι· ὁτὲ [b] δὲ μαραί-
νεσθαι [c] συμβαίνει, [d] πλείονος ἀθροιζομένου θερμοῦ διὰ τὸ μὴ
ἀναπνεῖν μηδὲ καταψύχεσθαι· ταχὺ γὰρ [e] καὶ οὕτω καταναλί-
σκει τὴν τροφὴν πολὺ συναθροιζόμενον τὸ θερμόν, καὶ φθάνει
[f] καταναλίσκον πρὶν ἐπιστῆναι τὴν ἀναθυμίασιν. Διόπερ οὐ* 3
*μόνον [g] μαραίνεται τὸ ἔλαττον παρὰ [h] τὸ πλεῖον πῦρ, ἀλλὰ
καὶ αὐτὴ καθ' [i] αὑτὴν [k] ἡ τοῦ λύχνου φλὸξ [l] ἐντιθεμένη πλεί-
ονι φλογὶ [m] κατακάεται, καθάπερ ὁτιοῦν ἄλλο τῶν καυστῶν.
Αἴτιον δ' ὅτι τὴν μὲν οὖσαν ἐν τῇ φλογὶ τροφὴν φθάνει*

[k] *δὴ*] *δ' εἶναι* L. [l] *ταύτην* M.Z. [m] *εἶναι* om. S. [n] *πάντα τὴν τροφήν* L. [o] *καὶ τῆς*] *καὶ τοῖς* P. [p] *ἐμπεπυρευμένοις* S. [q] *ἐν* om. M.S.U. [r] *τούτοις—καρδίᾳ* om. M.Z. [s] *εἶναι* om. M.Z. [t] *τὴν* om. S. [v] *ἐφ' ἑαυτοῦ* L, om. M.Z. [w] *μάρανσιν τὴν δ'* om. M.Z. [x] *ὑπὸ τῶν ἐναντίων*] *ὑπ' ἄλλου* M, incerto Z. [y] *μὲν ἐν γήρᾳ* M.Z. [z] *τὰς* om. M.Z. [a] *ὑπολιπούσης* L. [b] *δὲ*] *τε* M. [c] *ξυμβαίνει* M.Z. [d] *πλείονα* S. [e] *καὶ* om. P. [f] *καταναλίσκειν* Z. [g] *μαραίνεται ἀεὶ τὸ* M. [h] *τὸ πλέον πῦρ* L.S, *τοῦ πλείονος πυρὸς* M.Z. [i] *ἑαυτὴν* M.S.Z. [k] *ἡ*] *οἷον ἡ* M.Z. [l] *ἐντιθεμένη ἐν πλείονι* P. [m] *κατακαίεται* M.P.S.Z.

λαμβάνουσα ἡ μείζων φλὸξ πρὶν ἐπελθεῖν ἑτέραν, τὸ δὲ πῦρ
ἀεὶ διατελεῖ γινόμενον καὶ ῥέον ὥσπερ ποταμός, ἀλλὰ λαν-
4 θάνει διὰ τὸ τάχος. Δῆλον τοίνυν ὡς εἴπερ δεῖ σώζεσθαι
τὸ θερμόν (τοῦτο δ' ἀναγκαῖον, εἴπερ μέλλει ζῆν), δεῖ γίνε-
5 σθαί τινα τοῦ θερμοῦ τοῦ ἐν τῇ ἀρχῇ κατάψυξιν. Παρά-
δειγμα [n] δὲ τούτου [o] λαβεῖν ἔστι τὸ συμβαῖνον ἐπὶ τῶν
καταπνιγομένων ἀνθράκων· ἂν μὲν [p] γὰρ ὦσι [q] περιπεπωμα-
σμένοι τῷ καλουμένῳ πνιγεῖ συνεχῶς, ἀποσβέννυνται ταχέως·
[r] ἂν δὲ παρ' ἄλληλά τις ποιῇ πυκνὰ τὴν ἀφαίρεσιν καὶ τὴν
6 ἐπίθεσιν, μένουσι [s] πεπυρωμένοι πολὺν χρόνον. ˈΗ [t] δ'
ἔγκρυψις σώζει τὸ πῦρ· [v] οὔτε γὰρ ἀποπνεῖν κωλύεται διὰ
μανότητα τῆς τέφρας, [w] ἀντιφράττει τε τῷ πέριξ ἀέρι
[x] πρὸς τὸ μὴ σβεννύναι τῷ πλήθει τῆς ἐνυπαρχούσης [y] αὐτῷ
7 θερμότητος. ˈἈλλὰ περὶ μὲν τῆς αἰτίας ταύτης, ὅτι τὸ
ἐναντίον συμβαίνει τῷ [z] ἐγκρυπτομένῳ καὶ [a] καταπνιγομένῳ
πυρί (τὸ μὲν γὰρ μαραίνεται, τὸ δὲ διαμένει πλείω χρόνον),
[b] εἴρηται ἐν τοῖς προβλήμασιν.

6 ˈἘπεὶ δὲ πᾶν ζῷον ἔχει ψυχήν, [c] αὐτὸ δ' οὐκ ἄνευ [d] φυσι-
κῆς ὑπάρχει θερμότητος, ὥσπερ εἴπομεν, τοῖς μὲν φυτοῖς ἡ
διὰ [e] τῆς τροφῆς καὶ τοῦ περιέχοντος ἱκανὴ γίνεται βοήθεια
2 πρὸς τὴν τοῦ φυσικοῦ θερμοῦ σωτηρίαν. Καὶ γὰρ ἡ τροφὴ
ποιεῖ κατάψυξιν [f] εἰσιοῦσα, καθάπερ καὶ τοῖς ἀνθρώποις τὸ
πρῶτον [g] προσενεγκαμένοις· αἱ δὲ νηστεῖαι θερμαίνουσι καὶ
[h] δίψας ποιοῦσιν· ἀκίνητος γὰρ ὢν ὁ ἀὴρ ἀεὶ θερμαίνεται,
τῆς δὲ τροφῆς εἰσιούσης [i] καταψύχει κινούμενος, [k] ἕως ἂν
3 λάβῃ τὴν πέψιν. [l] ˈἘὰν δὲ [m] ἡ τὸ περιέχον [n] ὑπερβάλλῃ
ψυχρότητι διὰ τὴν ὥραν, ἰσχυρῶν [o] γινομένων πάγων, ἐξαυ-

[n] δὲ] τε M.Z. [o] λαμβάνειν S. [p] γὰρ om. Z. [q] παραπεπωμασμένοι L. [r] ἐὰν P. [s] πεπυρωμένα L. [t] δὲ κρύψις L.S. [v] ὅτε γὰρ ἀποπνεῖ M.Z. [w] ἀντιφράττειν τῷ πέριξ M. [x] πρὸς τὸ μὴ] διὰ τὸ M.Z. [y] αὐτοῦ S. [z] ἐκκρυπτομένῳ S. [a] ἀποπνιγομένῳ L. [b] εἴρηται καὶ ἐν M.P.S. [c] τοῦτο M.Z, αὐτὴ S. [d] φύσεως P.S. [e] τῆς τροφῆς] γῆς M.Z, τροφῆς P. [f] εἰσιοῦσα—ἀνθρώποις om. M.P.S.Z. [g] εἰσενεγκαμένοις L. [h] δίψαν M. [i] καταψύχεται L. [k] ἕως om. Z. [l] ἂν L. [m] ἡ om. M.Z. [n] ὑπερβάλῃ S.Z. [o] γενομένων P.

*αἰνεται, [p] ἢ τοῦ θέρους ἰσχυρὰ συμβαίνῃ καύματα καὶ μὴ
δύνηται τὸ σπώμενον ἐκ τῆς γῆς ὑγρὸν καταψύχειν, φθείρε-
ται μαραινόμενον τὸ θερμόν, καὶ λέγεται σφακελίζειν καὶ
[q] ἀστρόβλητα γίνεσθαι τὰ δένδρα περὶ τοὺς καιροὺς τούτους.
Διὸ καὶ γένη τινὰ λίθων ταῖς ῥίζαις [r] ὑποβάλλουσι καὶ ὕδωρ* 4
*ἐν ἀγγείοις, ὅπως αἱ ῥίζαι ψύχωνται τῶν φυτῶν. Τῶν δὲ
ζῴων ἐπεὶ τὰ μέν ἐστιν ἔνυδρα τὰ δ' ἐν τῷ ἀέρι ποιεῖται τὴν
δίαιταν, [s] ἐκ τούτων καὶ διὰ τούτων πορίζεται τὴν κατάψυξιν,
τὰ μὲν τῷ ὕδατι τὰ δὲ τῷ ἀέρι. Τίνα δὲ τρόπον καὶ πῶς,
λεκτέον [t] ἐπιστήσασι τὸν [v] λόγον [w] μᾶλλον.*

*Περὶ [x] γὰρ ἀναπνοῆς ὀλίγοι μέν τινες τῶν [y] πρότερον* I
*φυσικῶν εἰρήκασιν· [z] τίνος μέντοι χάριν ὑπάρχει τοῖς ζῴοις,
οἱ μὲν οὐδὲν ἀπεφήναντο, οἱ δὲ εἰρήκασι μέν, οὐ καλῶς δ'
εἰρήκασιν ἀλλ' ἀπειροτέρως τῶν συμβαινόντων. Ἔτι δὲ
πάντα τὰ ζῷά φασιν ἀναπνεῖν· τοῦτο δ' οὐκ ἔστιν ἀληθές.
Ὥστ' ἀναγκαῖον περὶ τούτων [a] πρῶτον ἐπελθεῖν, [b] ὅπως μὴ* 2
*δοκῶμεν ἀπόντων [c] κενὴν κατηγορεῖν. Ὅτι μὲν οὖν ὅσα
[d] πλεύμονα ἔχει τῶν ζῴων, ἀναπνεῖ πάντα, φανερόν. Ἀλλὰ
καὶ [e] τούτων αὐτῶν ὅσα μὲν ἄναιμον ἔχει [f] τὸν πλεύμονα καὶ
σομφόν, ἧττον δέονται τῆς ἀναπνοῆς· διὸ πολὺν χρόνον [g] ἐν
τοῖς ὕδασι [h] δύνανται [i] διαμένειν παρὰ τὴν τοῦ σώματος
ἰσχύν. Τὸν δὲ πλεύμονα σομφὸν ἔχει πάντα τὰ ᾠοτοκοῦν-* 3
*τα, οἷον τὸ τῶν βατράχων γένος. Ἔτι δὲ [k] αἱ [l] ἐμύδες τε
[m] καὶ [n] χελῶναι πολὺν χρόνον μένουσιν ἐν τοῖς ὑγροῖς· ὁ γὰρ
πλεύμων ὀλίγην ἔχει θερμότητα· ὀλίγαιμον [o] γὰρ [p] ἔχουσιν
[o] αὐτόν· ἐμφυσώμενος οὖν αὐτὸς τῇ κινήσει καταψύχει καὶ*

[p] *ἡ τοῦ θερμοῦ ἰσχύς. ἂν δὲ συμβαίνει* M.Z. [q] *ἀπρόβλητα γίνεται* M.Z. [r] *ὑπερβάλλουσι* S. [s] *ἐκ τούτων διὰ τοῦτο π.* M.Z. [t] *ἐπίστασιν* S. [v] *τρόπον* M. [w] *μᾶλλον* om. P. [x] *γὰρ*] *οὖν* S. [y] *προτέρων* L. [z] *τίνος μέντοι χάριν*] *καὶ τοῦ χάριν οὐδὲν* M.Z, *τίνος δὲ χάριν* L. [a] *πρῶτον* om. S. [b] *ὅπως*] *ὡς* L. [c] *κενῶς* L, *μόνον* M.Z. [d] *πλεύμ*—hic et posthac Z: nam L.M.P.S. *πνεύμ*—. [e] *τούτῳ καὐτῶν* P. [f] *καὶ σομφὸν τὸν πνεύμονα* S. [g] *ἐν τοῖς ὕδασι* om. L.P.S. [h] *δύναται* L. [i] *μένειν περὶ* S. [k] *αἱ* om. M.Z. [l] *μύδες* L.M.P, *μύες* S. [m] *καὶ αἱ χ.* S. [n] *χελῶναι καὶ ὕδροι π.* M.Z. [o] *γὰρ* et *αὐτόν* om. S. [p] *ἔχει* L.

4 ποιεῖ διαμένειν πολὺν χρόνον. ˥Ἐὰν [q] μέντοι βιάζηταί τις
λίαν [r] κατέχων πολὺν χρόνον, ἀποπνίγονται πάντα· οὐδὲν
γὰρ τῶν τοιούτων δέχεται [s] τὸ ὕδωρ ὥσπερ οἱ [t] ἰχθῦς. Τὰ
δ' ἔναιμον ἔχοντα [v] τὸν πλεύμονα [w] πάντα μᾶλλον δεῖται τῆς
ἀναπνοῆς διὰ τὸ πλῆθος τῆς θερμότητος· τῶν δ' ἄλλων ὅσα
μὴ ἔχει πλεύμονα, οὐδὲν ἀναπνεῖ.

2 Δημόκριτος [x] μὲν οὖν ὁ ˥Ἀβδηρίτης καί τινες ἄλλοι τῶν
[y] περὶ ἀναπνοῆς εἰρηκότων οὐδὲν περὶ τῶν ἄλλων διωρίκασι
ζῴων, ἐοίκασι μέντοι λέγειν ὡς πάντων ἀναπνεόντων· ˥Ἀνα-
ξαγόρας δὲ καὶ Διογένης, πάντα φάσκοντες ἀναπνεῖν, περὶ
τῶν ἰχθύων καὶ τῶν [z] ὀστρείων λέγουσι τίνα τρόπον ἀναπνέ-
2 ουσιν. Καί φησιν ˥Ἀναξαγόρας [a] μέν, ὅταν ἀφῶσι τὸ ὕδωρ
διὰ τῶν βραγχίων, [b] τὸν ἐν τῷ στόματι γινόμενον ἀέρα ἕλ-
κοντας ἀναπνεῖν τοὺς ἰχθῦς· οὐ γὰρ [c] εἶναι κενὸν οὐδέν·
Διογένης δ' ὅταν ἀφῶσι τὸ ὕδωρ διὰ τῶν βραγχίων, ἐκ τοῦ
περὶ τὸ στόμα περιεστῶτος [d] ὕδατος ἕλκειν τῷ κενῷ τῷ [e] ἐν
τῷ στόματι τὸν ἀέρα, ὡς ἐνόντος ἐν τῷ ὕδατι ἀέρος. Ταῦτα
3 δ' ἐστὶν ἀδύνατα. Πρῶτον μὲν γὰρ τὸ ἥμισυ τοῦ πράγμα-
τος ἀφαιροῦσι, διὰ τὸ τὸ κοινὸν ἐπὶ θατέρου λέγεσθαι [f] μό-
νον. ˥Ἀναπνοὴ γὰρ καλεῖται, ταύτης δὲ τὸ μὲν [g] ἐκπνοή
ἐστι τὸ δ' εἰσπνοή· περὶ ἧς οὐθὲν λέγουσι, τίνα τρόπον
4 ἐκπνέουσι τὰ τοιαῦτα [h] τῶν ζῴων. Οὐδ' ἐνδέχεται αὐτοῖς
εἰπεῖν· ὅταν γὰρ [i] ἀναπνεύσωσι, ταύτῃ ᾗ ἀνέπνευσαν πάλιν
δεῖ ἐκπνεῖν, καὶ τοῦτο [k] ποιεῖν ἀεὶ [l] παραλλάξ, ὥστε [m] συμ-
βαίνει ἅμα δέχεσθαι τὸ [n] ὕδωρ κατὰ [o] τὸ στόμα καὶ ἐκπνεῖν.

[q] μέντοι] οὖν M.Z, οὖν μέντοι S. [r] πολὺν χρόνον κατέχων P. [s] τὸ om. S. [t] ἰχθύες M.P.Z. [v] τὸν om. M.P.Z. [w] πάντα om. L. [x] μὲν οὖν] δὲ L. [y] περὶ τῆς ἀναπνοῆς M.P.Z. [z] ὀστρέων M.Z. [a] μέν om. M.Z. [b] τῶν P. τὸν—βραγχίων om. M.Z. [c] κενὸν οὐδὲν εἶναι P. [d] ὕδατος om. M.Z. [e] ἐν] ἐπὶ P. [f] μόνου S. [g] ἐστιν εἰσπνοὴ τὸ δ' ἐκπνοή Z. ἐστι om. L. [h] τῶν ζῴων om. P. [i] ἀναπν.—καὶ] ἀναπνεύσωσιν πάλιν ταύτῃ ἀναπνεύσαντα διεκπνεῖ καὶ M.Z. [k] ποιεῖ ἀεὶ Z, ἀεὶ ποιεῖν M. [l] παραλλὰξ καὶ ποιοῦσιν ὥστε L.S, παραλλὰξ ἅμα δὲ ἀφέντας ἀνάγκη τὸ ὕδωρ διὰ τῶν βραγχίων δέχεσθαι τὸ θύραθεν καὶ ταύτησ (ταύτηι Z, ταύτῃ εἰ i.) παραλλὰξ ποιοῦσιν ὥστε M.Z.i. [m] συμβαίνειν M.Z. [n] ὕδωρ καὶ κατὰ M. [o] τὸ om. S.Z.

Ἀνάγκη δ' [p] ἀπαντῶντα ἐμποδίζειν θάτερον θατέρῳ. Εἶτα 5
ὅταν [q] ἀφῶσι τὸ ὕδωρ, τότε ἐκπνέουσι κατὰ [r] τὸ στόμα ἢ
κατὰ τὰ βράγχια, ὥστε συμβαίνει ἅμα ἐκπνεῖν καὶ ἀναπνεῖν·
τότε γάρ φασιν αὐτὸ ἀναπνεῖν. Ἅμα δ' [s] ἀναπνεῖν καὶ
ἐκπνεῖν ἀδύνατον. Ὥστ' εἰ ἀνάγκη τὰ ἀναπνέοντα ἐκπνεῖν
καὶ εἰσπνεῖν, ἐκπνεῖν δὲ μὴ ἐνδέχεται μηδὲν αὐτῶν, φανερὸν
ὡς οὐδ' [t] ἀναπνεῖ [v] αὐτῶν οὐδέν.

Ἔτι δὲ τὸ φάναι τὸν ἀέρα ἕλκειν ἐκ τοῦ στόματος [w] ἢ 3
ἐκ τοῦ ὕδατος διὰ τοῦ στόματος ἀδύνατον· οὐ γὰρ [x] ἔχουσιν
ἀρτηρίαν διὰ τὸ πλεύμονα μὴ ἔχειν, ἀλλ' εὐθὺς [y] ἡ κοιλία
πρὸς τῷ στόματί ἐστιν, ὥστ' ἀναγκαῖον τῇ κοιλίᾳ ἕλκειν.
Τοῦτο δὲ κἂν [z] τἆλλα ἐποίει ζῷα· νῦν δὲ οὐ ποιοῦσιν. Κἂν
ἐκεῖνα δ' ἔξω τοῦ ὑγροῦ ὄντα ἐπιδήλως ἂν [a] αὐτὸ ἐποίει· φαί-
νεται δ' οὐ ποιοῦντ' αὐτό. Ἔτι πάντων τῶν ἀναπνεόντων 2
καὶ ἑλκόντων [b] τὸ πνεῦμα ὁρῶμεν γινομένην [c] κίνησίν τινα
τοῦ μορίου τοῦ ἕλκοντος, ἐπὶ δὲ τῶν ἰχθύων οὐ [d] συμβαῖνον·
οὐδὲν γὰρ φαίνονται κινοῦντες τῶν περὶ τὴν κοιλίαν, ἀλλ' [e] ἢ
τὰ βράγχια μόνον, καὶ ἐν τῷ ὑγρῷ καὶ εἰς τὸ ξηρὸν [f] ἐκπε-
σόντες, ὅταν [g] σπαίρωσιν. Ἔτι ὅταν ἀποθνήσκῃ πνιγόμενα 3
[h] ἐν τοῖς ὑγροῖς πάντα τὰ ἀναπνέοντα, γίνονται πομφόλυγες
τοῦ πνεύματος ἐξιόντος βιαίως, οἷον ἐάν τις βιάζηται χελώ-
νας ἢ βατράχους ἤ [i] τι ἄλλο τῶν τοιούτων γενῶν· ἐπὶ δὲ τῶν
ἰχθύων οὐ συμβαίνει πειρωμένοις πάντα τρόπον, ὡς οὐκ ἐχόν-
των [k] πνεῦμα θύραθεν οὐθέν. Ὄν τε τρόπον [l] λέγουσι γίνε- 4
σθαι τὴν ἀναπνοὴν αὐτοῖς, ἐνδέχεται καὶ τοῖς ἀνθρώποις οὖ-
σιν ἐν τῷ ὑγρῷ [m] συμβαίνειν· εἰ γὰρ καὶ οἱ ἰχθύες ἕλκουσιν
ἐκ τοῦ πέριξ ὕδατος [n] τῷ στόματι, [o] διὰ τί τοῦτο οὐκ ἂν

[p] ἀπάντων τὸ M. [q] ἀφίωσι M.Z. [r] τὰ στόματα L.P, στόματος S. [s] ἀναπνέειν καὶ ἐκπνέειν Z. [t] ἀναπνεῖν M.P.S.Z. [v] οὐθὲν αὐτῶν P. [w] ἢ—στόματος om. M.Z. [x] ἔχει L. [y] ἡ om. L. [z] τἆλλα] πόλλ' Z. [a] αὐτὰ M.P. [b] τὸν πνεύμονα P. [c] τινὰ κίνησιν M.P.Z. [d] συμβαίνει P. [e] ἢ om. M.Z. [f] ἐμπεσόντες L.M.P.Z. [g] ἀσπαρίζωσιν L.P.S. [h] ἐν om. M.Z. [i] ἄλλο τι L.P. [k] πνεῦμα—λέγουσι] πνεῦσιν M.Z. [l] λέγουσι διὰ τοῦτο οὐ γίνεσθαι S. [m] συμβαίνει M.Z, omisso εἰ. [n] τῷ στόματι om. M.Z. [o] διὰ τί τοῦτο οὐκ ἂν] τοῦτο κἂν Z, κἂν M.S.

[p] ποιοῖμεν καὶ οἱ ἄνθρωποι καὶ τἆλλα ζῷα; Καὶ τὸν ἐκ τοῦ
5 στόματος δ' ἂν [q] ἕλκοιμεν ὁμοίως τοῖς ἰχθύσιν. Ὥστ' εἴπερ
κἀκεῖνα ἦν δυνατά, καὶ ταῦτ' [r] ἂν ἦν· ἐπεὶ δ' οὐκ ἔστι, δῆλον
ὡς οὐδ' ἐπ' ἐκείνων ἐστίν. Πρὸς δὲ τούτοις διὰ τίν' αἰτίαν
ἐν τῷ ἀέρι ἀποθνήσκουσι [s] καὶ [t] φαίνονται ἀσπαρίζοντα ὥσπερ
τὰ πνιγόμενα, [v] εἴπερ ἀναπνέουσιν; Οὐ γὰρ [w] δὴ τροφῆς γε
6 ἐνδείᾳ τοῦτο πάσχουσιν. Ἣν [x] γὰρ λέγει Διογένης αἰτίαν,
εὐήθης· φησὶ γὰρ ὅτι τὸν ἀέρα πολὺν ἕλκουσι λίαν ἐν τῷ
ἀέρι, ἐν δὲ τῷ ὕδατι μέτριον, [y] καὶ διὰ τοῦτ' ἀποθνήσκειν.
Καὶ γὰρ ἐπὶ τῶν πεζῶν ἔδει δυνατὸν εἶναι τοῦτο συμβαίνειν·
νῦν δ' [z] οὐδὲν τῷ σφόδρα ἀναπνεῦσαι ἀποπνίγεται [a] πεζὸν
7 ζῷον. Ἔτι δ' εἰ πάντα ἀναπνεῖ, [b] δῆλον ὅτι καὶ τὰ ἔντομα
τῶν ζῴων ἀναπνεῖ· φαίνεται δ' αὐτῶν [c] πολλὰ διατεμνόμενα
ζῆν, οὐ μόνον εἰς δύο μέρη ἀλλὰ καὶ εἰς πλείω, οἷον αἱ κα-
λούμεναι σκολόπενδραι· [d] ἃ πῶς ἢ [e] τίνι ἐνδέχεται ἀναπνεῖν;
8 Αἴτιον δὲ μάλιστα τοῦ μὴ λέγεσθαι περὶ αὐτῶν καλῶς τό
[f] τε τῶν μορίων ἀπείρους εἶναι τῶν ἐντός, [g] καὶ μὴ λαμβάνειν
ἕνεκά τινος τὴν φύσιν [h] πάντα ποιεῖν· ζητοῦντες γὰρ τίνος
ἕνεκα ἡ ἀναπνοὴ τοῖς ζῴοις ὑπάρχει, καὶ ἐπὶ τῶν μορίων
τοῦτ' ἐπισκοποῦντες, οἷον ἐπὶ [i] βραγχίων καὶ πλεύμονος, εὗρον
ἂν θᾶττον τὴν αἰτίαν.

4 Δημόκριτος δ' ὅτι μὲν ἐκ τῆς ἀναπνοῆς συμβαίνει τι τοῖς
ἀναπνέουσι [k] λέγει, φάσκων κωλύειν ἐκθλίβεσθαι τὴν ψυχήν·
οὐ μέντοι ὡς τούτου γ' ἕνεκα [l] ποιήσασαν τοῦτο τὴν φύσιν
οὐθὲν εἴρηκεν· ὅλως γὰρ ὥσπερ καὶ οἱ ἄλλοι φυσικοί, καὶ
2 οὗτος οὐθὲν ἅπτεται τῆς τοιαύτης αἰτίας. Λέγει δ' ὡς ἡ
ψυχὴ καὶ τὸ θερμὸν ταὐτὸν τὰ πρῶτα σχήματα τῶν σφαι-
ροειδῶν. [m] συγκρινομένων οὖν αὐτῶν ὑπὸ τοῦ περιέχοντος

[p] ποιοῦμεν M.Z. [q] ἕλκομεν M, ἕλκοιεν L.P. et corr. Z. [r] ἂν om. L. [s] καὶ] καὶ οὐ M. [t] φαίνεται L.S. [v] ἅπερ S. εἴπερ—πάσχουσιν om. L. [w] δὴ om. P. [x] λέγει γὰρ P, γὰρ τέγουν S. [y] καὶ ante διὰ om. M.Z. [z] οὐδὲν ἐν τῷ M.Z. [a] ζῷον πεζόν P. [b] δῆλον ὅτι post ζῴων P. [c] διατεμνόμενα πολλὰ P. [d] ἃ πῶς] ὅπως M.Z. [e] τίσιν L. [f] τε om. L.P.S. [g] καὶ τὸ μὴ M.Z. [h] πάντα ποιεῖν om. M.Z. [i] βραγχίου L. [k] φάσκει λέγων P. [l] τοῦτο ποιήσασαν S. [m] ἐκκρινομένων L.

ἐκθλίβοντος, βοήθειαν γίνεσθαι τὴν ἀναπνοήν φησιν. Ἐν 3
γὰρ τῷ ἀέρι πολὺν ἀριθμὸν εἶναι τῶν τοιούτων ἃ καλεῖ ἐκεῖ-
νος νοῦν καὶ ψυχήν· [n] ἀναπνέοντος οὖν καὶ εἰσιόντος τοῦ
ἀέρος [o] συνεισιόντα [p] ταῦτα, καὶ [q] ἀνείργοντα [r] τὴν θλίψιν,
[s] κωλύειν τὴν ἐνοῦσαν ἐν τοῖς ζῴοις διιέναι ψυχήν. Καὶ διὰ 4
τοῦτο [t] ἐν τῷ ἀναπνεῖν καὶ ἐκπνεῖν εἶναι τὸ ζῆν καὶ [v] τὸ ἀπο-
θνήσκειν· ὅταν γὰρ κρατῇ τὸ περιέχον συνθλῖβον, καὶ μη-
κέτι θύραθεν εἰσιὸν [w] δύνηται [x] ἀνείργειν, μὴ [y] δυναμένου
ἀναπνεῖν, [z] τότε συμβαίνειν τὸν θάνατον τοῖς ζῴοις· εἶναι
γὰρ τὸν θάνατον τὴν τῶν τοιούτων [a] σχημάτων ἐκ τοῦ σώ-
ματος ἔξοδον ἐκ [b] τῆς τοῦ περιέχοντος ἐκθλίψεως. Τὴν δ' 5
αἰτίαν διὰ τί ποτε πᾶσι μὲν ἀναγκαῖον [c] ἀποθανεῖν, οὐ μέν-
τοι ὅτε ἔτυχεν ἀλλὰ κατὰ φύσιν μὲν γήρᾳ, βίᾳ [d] δὲ παρὰ
φύσιν, οὐθὲν δεδήλωκεν. [e] Καίτοι ἐχρῆν, ἐπεὶ ὁτὲ μὲν φαί-
νεται τοῦτο γινόμενον, ὁτὲ δ' οὐ φαίνεται, [f] πότερον τὸ
αἴτιον ἔξωθέν ἐστιν ἢ ἐντός. Οὐ λέγει [g] δὲ οὐδὲ περὶ τῆς 6
ἀρχῆς τοῦ ἀναπνεῖν τί τὸ αἴτιον, πότερον [h] ἔσωθεν ἢ ἔξωθεν·
[i] οὐ γὰρ δὴ ὁ [k] θύραθεν νοῦς τηρεῖ τὴν βοήθειαν, ἀλλ' ἔσωθεν
ἡ ἀρχὴ τῆς ἀναπνοῆς γίνεται καὶ τῆς κινήσεως, οὐχ ὡς βια-
ζομένου τοῦ περιέχοντος. [l] Ἄτοπον δὲ καὶ τὸ ἅμα τὸ
περιέχον συνθλίβειν καὶ [m] εἰσιὸν διαστέλλειν. Ἃ μὲν οὖν
εἴρηκε [n] καὶ ὥς, σχεδὸν ταῦτ' ἐστίν. Εἰ δὲ δεῖ νομίζειν 7
ἀληθῆ εἶναι τὰ πρότερον λεχθέντα καὶ μὴ πάντα τὰ ζῷα
ἀναπνεῖν, οὐ περὶ παντὸς θανάτου τὴν αἰτίαν ὑποληπτέον
εἰρῆσθαι ταύτην, ἀλλὰ μόνον ἐπὶ τῶν ἀναπνεόντων. Οὐ μὴν
οὐδ' ἐπὶ τούτων καλῶς. Δῆλον δ' ἐκ τῶν συμβαινόντων καὶ
τῶν τοιούτων ὧν ἔχομεν πάντες πεῖραν. [o] Ἐν γὰρ ταῖς 8

[n] ἀναπνέοντες P. [o] συνιόντα P. [p] ταῦτα om. Z. [q] συνθλίβοντα M, συνει ροντα Z. [r] τῇ θλίψει M.Z. [s] κωλύει L.M.P.S.Z. [t] ἐν τῷ] ἐκ τοῦ L. [v] τὸ post καὶ om. M.Z. [w] δύναται M.S.Z. [x] ἐνεργεῖν M.Z. [y] δυναμένου δ' ἀναπνεῖν M.S.Z. [z] τότε συμβαίνει L, τότε ξυμβαίνειν S, ξυμβαίνειν τότε M.Z. [a] σωμάτων M.Z. [b] τῆς om. M.Z. [c] ἀποθνήσκειν Z. [d] δὲ παρὰ] δ' οὐ κατὰ P. [e] καίτοι γ' ἐχρῆν L. [f] πότερον δὲ τὸ P. [g] δὲ om. P. [h] ἔξωθεν ἢ ἔνδοθεν M.Z. [i] οὐδὲ γὰρ δὴ M.Z, οὐδὲ γὰρ L.P. [k] θύραζε L. [l] ἄτοπον—περιέχον om. M.Z. [m] ἴσον M, εἴσω Z. [n] καὶ ὥς om. L. [o] ἔν τε γὰρ M.S.Z.

*ἀλέαις θερμαινόμενοι μᾶλλον [p] καὶ τῆς ἀναπνοῆς μᾶλλον δεόμεθα καὶ [q] πυκνότερον ἀναπνέομεν πάντες· ὅταν δὲ [r] τὸ πέριξ ᾖ ψυχρὸν καὶ συνάγῃ καὶ συμπηγνύῃ τὸ σῶμα, κατέ-*
9 *χειν συμβαίνει τὸ πνεῦμα. Καίτοι τότ' ἐχρῆν [s] τὸν θύραθεν εἰσιόντα κωλύειν τὴν σύνθλιψιν. Νῦν δὲ γίνεται τοὐναντίον· ὅταν γὰρ πολὺ λίαν ἀθροισθῇ τὸ θερμὸν μὴ ἐκπνεόντων, τότε [t] δέονται τῆς ἀναπνοῆς· ἀναγκαῖον [v] δ' εἰσπνεύσαντας ἀναπνεῖν. Ἀλεάζοντες δὲ πολλάκις ἀναπνέουσιν, ὡς ἀναψύξεως χάριν ἀναπνέοντες, [w] ὅτε τὸ λεγόμενον ποιεῖ πῦρ ἐπὶ πῦρ.*

5 *Ἡ δ' ἐν τῷ Τιμαίῳ γεγραμμένη περίωσις περί τε τῶν ἄλλων ζῴων οὐδὲν διώρικε τίνα τρόπον αὐτοῖς ἡ τοῦ θερμοῦ γίνεται σωτηρία, πότερον τὸν αὐτὸν ἢ δι' ἄλλην τινὰ αἰτίαν· εἰ μὲν γὰρ μόνοις τὸ τῆς ἀναπνοῆς ὑπάρχει τοῖς πεζοῖς, [x] λεκτέον τὴν αἰτίαν τοῦ μόνοις· εἰ δὲ [y] καὶ τοῖς ἄλλοις, ὁ δὲ τρόπος ἄλλος, [z] καὶ περὶ τούτου διοριστέον, εἴπερ δυνατὸν*
2 *[a] ἀναπνεῖν πᾶσιν. Ἔτι δὲ καὶ πλασματώδης ὁ τρόπος τῆς αἰτίας. Ἐξιόντος γὰρ [b] ἔξω τοῦ θερμοῦ διὰ τοῦ στόματος, τὸν περιέχοντα ὠθούμενον [c] ἀέρα φερόμενον [d] ἐμπίπτειν [e] εἰς τὸν αὐτὸν τόπον φησὶ διὰ μανῶν οὐσῶν τῶν σαρκῶν, ὅθεν τὸ ἐντὸς ἐξῄει θερμόν, διὰ τὸ μηδὲν εἶναι κενὸν ἀντιπεριισταμένων ἀλλήλοις· θερμανθέντα δὲ πάλιν ἐξιέναι κατὰ τὸν αὐτὸν τόπον, καὶ περιωθεῖν εἴσω διὰ τοῦ στόματος τὸν ἀέρα τὸν ἐκπίπτοντα θερμόν· καὶ τοῦτο [f] δὴ διατελεῖν ἀεὶ ποιοῦντας,*
3 *ἀναπνέοντάς τε καὶ ἐκπνέοντας. Συμβαίνει δὲ τοῖς οὕτως οἰομένοις πρότερον τὴν [g] ἐκπνοὴν γίνεσθαι τῆς εἰσπνοῆς. [h] Ἔστι δὲ τοὐναντίον. Σημεῖον δέ· γίνεται μὲν γὰρ ἀλλήλοις ταῦτα παρ' ἄλληλα, τελευτῶντες δὲ [i] ἐκπνέουσιν, ὥστ'*
4 *ἀναγκαῖον εἶναι τὴν ἀρχὴν [k] εἰσπνοήν. Ἔτι δὲ τὸ τίνος*

[p] *καὶ* ante *θερμ.* M.Z. [q] *πυκνότερα* S. [r] *τὸ* om. S. [s] *τὸ θύραθεν εἰσνὸν* M.Z. [t] *δέον* P. [v] *δ' ἔστι νεύσαντας* M.Z. [w] *ὅτε καὶ τὸ* L. [x] *τεκτέον* S. [y] *καὶ* om. M.Z. [z] *καὶ τὸ περὶ* M.Z. [a] *ἀναπνεῖν* om. L. [b] *ἔξω* om. L. [c] *ἀέρα φερ.*] *ἀναφερ.* S. [d] *ἐπιπίπτειν* Z. [e] *φησὶν εἰς τὸν αὐτὸν τόπον* L. [f] *δὴ* om. L. [g] *εἰσπνοὴν γίν. τῆς ἐκπνοῆς* L.S. [h] *ἔστι δὲ τοὐναντίον* om. L.P.S. [i] *ἐνπνέουσιν* S, *ἀναπνέουσιν* M.Z. [k] *ἐκπνοήν* M.Z.

ἕνεκα ταῦθ' ὑπάρχει τοῖς ζῴοις (λέγω δὲ [l] τὸ ἀναπνεῖν καὶ τὸ ἐκπνεῖν) οὐθὲν εἰρήκασιν οἱ τοῦτον τὸν τρόπον λέγοντες, ἀλλ' ὡς περὶ συμπτώματός τινος ἀποφαίνονται μόνον. Καίτοι γε κύρια ταῦθ' ὁρῶμεν τοῦ ζῆν καὶ τελευτᾶν· ὅταν γὰρ ἀναπνεῖν μὴ δύνωνται, τότε συμβαίνει γίνεσθαι τὴν φθορὰν τοῖς ἀναπνέουσιν. Ἔτι δὲ ἄτοπον τὸ τὴν μὲν τοῦ 5
θερμοῦ διὰ τοῦ στόματος ἔξοδον καὶ πάλιν εἴσοδον [m] μὴ λανθάνειν ἡμᾶς, τὴν δ' εἰς τὸν θώρακα τοῦ πνεύματος εἴσοδον καὶ πάλιν θερμανθέντος ἔξοδον λανθάνειν. Ἄτοπον δὲ καὶ τοῦ θερμοῦ τὴν ἀναπνοὴν εἴσοδον εἶναι. Φαίνεται γὰρ τοὐ- 6
ναντίον· τὸ [n] μὲν γὰρ ἐκπνεόμενον [o] εἶναι θερμόν, τὸ δ' εἰσπνεόμενον ψυχρόν. Ὅταν δὲ θερμὸν ᾖ, ἀσθμαίνοντες ἀναπνέουσιν· διὰ γὰρ τὸ μὴ καταψύχειν ἱκανῶς τὸ εἰσιὸν [p] πολλάκις τὸ πνεῦμα συμβαίνει σπᾶν.

Ἀλλὰ μὴν οὐδὲ τροφῆς [q] γε χάριν ὑποληπτέον γίνεσθαι 6
τὴν ἀναπνοήν, ὡς τρεφομένου τῷ πνεύματι τοῦ ἐντὸς πυρός, καὶ ἀναπνέοντος μὲν ὥσ[r]περ ἐπὶ πῦρ ὑπέκκαυμα ὑποβάλλεσθαι, τραφέντος δὲ [s] τοῦ πυρὸς γίνεσθαι τὴν ἐκπνοήν. Ταὐτὰ 2
γὰρ ἐροῦμεν πάλιν καὶ πρὸς τοῦτον τὸν λόγον [t] ἅπερ πρὸς τοὺς ἔμπροσθεν· καὶ γὰρ ἐπὶ τῶν ἄλλων ζῴων ἐχρῆν τοῦτο συμβαίνειν ἢ τὸ ἀνάλογον τούτῳ· πάντα γὰρ ἔχει θερμότητα ζωτικήν. Ἔπειτα καὶ τὸ γίνεσθαι [v] τὸ θερμὸν ἐκ τοῦ 3
πνεύματος τίνα [w] χρὴ τρόπον λέγειν, πλασματῶδες [x] ὄν· μᾶλλον [y] γὰρ ἐκ τῆς τροφῆς τοῦτο γινόμενον ὁρῶμεν. [z] Συμβαίνει [a] τε κατὰ [b] ταὐτὸ δέχεσθαι τὴν τροφὴν καὶ τὸ περίττωμα [c] ἀφιέναι· τοῦτο δ' ἐπὶ τῶν ἄλλων οὐχ ὁρῶμεν γινόμενον.

Λέγει δὲ περὶ ἀναπνοῆς καὶ Ἐμπεδοκλῆς, οὐ μέντοι τίνος 7
γ' ἕνεκα, οὐδὲ περὶ πάντων τῶν ζῴων οὐδὲν ποιεῖ δῆλον, εἴτε

[l] τό τε ἀν. L. [m] μὴ—εἴσοδον om. M.Z. [n] μὲν om. M.S.Z. [o] εἶναι om. M. [p] πολλ. πνεῦμα συμβαίνει πᾶν P. [q] τε M.Z. [r] περ om. M. [s] τοῦ πυρὸς om. M.Z. [t] ἅπερ καὶ πρὸς M.Z. [v] τὸ ante θ. om. L.M Z. [w] τρόπον χρὴ M.Z. [x] ὂν om. L.P.S. [y] γὰρ om. P. [z] συμβαίνειν P.S. [a] τε] τὸ L, δὲ M.P.Z. [b] τοῦτο L.P.S. [c] ἀφιέναι· τοῦτὸ γὰρ γιγνόμενον ὁρῶμεν· τοῦτο M.Z.

ἀναπνέουσιν εἴτε μή. Καὶ περὶ τῆς διὰ τῶν μυκτήρων ἀνα-
πνοῆς [d]λέγων οἴεται καὶ περὶ τῆς κυρίας λέγειν ἀναπνοῆς.
2 Ἔστι γὰρ [e]καὶ διὰ τῆς ἀρτηρίας [f]ἐκ τῶν στηθῶν [g]ἡ ἀνα-
πνοή, καὶ ἡ διὰ τῶν μυκτήρων· αὐτοῖς δὲ χωρὶς ἐκείνης οὐκ
ἔστιν ἀναπνεῦσαι τοῖς μυκτῆρσιν. Καὶ τῆς μὲν διὰ τῶν
μυκτήρων [h]γινομένης [i]ἀναπνοῆς στερισκόμενα τὰ ζῷα [k]οὐ-
δὲν πάσχουσι, τῆς δὲ κατὰ τὴν ἀρτηρίαν ἀποθνήσκουσιν.
3 Καταχρῆται γὰρ ἡ φύσις ἐν παρέργῳ τῇ διὰ τῶν μυκτήρων
ἀναπνοῇ πρὸς τὴν ὄσφρησιν [l]ἐν ἐνίοις τῶν ζῴων· διόπερ
ὀσφρήσεως μὲν σχεδὸν μετέχει πάντα [m]τὰ ζῷα, [n]ἔστι δ' οὐ
πᾶσι τὸ αὐτὸ αἰσθητήριον. Εἴρηται δὲ περὶ αὐτῶν ἐν ἑτέ-
4 ροις σαφέστερον. Γίνεσθαι δέ φησι τὴν ἀναπνοὴν καὶ ἐκ-
πνοὴν διὰ τὸ φλέβας εἶναί τινας, ἐν αἷς [o]ἔνεστι μὲν αἷμα, οὐ
μέντοι πλήρεις εἰσὶν αἵματος, ἔχουσι δὲ πόρους εἰς τὸν ἔξω
ἀέρα, τῶν μὲν τοῦ σώματος μορίων ἐλάττους, τῶν δὲ τοῦ
ἀέρος μείζους· [p]διὸ τοῦ αἵματος πεφυκότος [q]κινεῖσθαι ἄνω
καὶ κάτω, [r]κάτω μὲν φερομένου εἰσρεῖν τὸν ἀέρα καὶ γίνεσθαι
ἀναπνοήν, [s]ἄνω δ' ἰόντος [t]ἐκπίπτειν θύραζε καὶ γίνεσθαι τὴν
ἐκπνοήν, παρεικάζων τὸ συμβαῖνον ταῖς κλεψύδραις.

5 Ὧδε δ' ἀναπνεῖ [v]πάντα καὶ ἐκπνεῖ. Πᾶσι [w]λίφαιμοι
σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται,
καί σφιν [x]ἐπὶ στομίοις [y]πυκναῖς τέτρηνται [z]ἄλοξιν
ῥινῶν ἔσχατα [a]τέρθρα διαμπερές, ὥστε [b]φόνον [c]μὲν
κεύθειν, αἰθέρι δ' [d]εὐπορίην [e]διόδοισι τετμῆσθαι.
Ἔνθεν ἔπειθ' [f]ὁπόταν μὲν [g]ἀπαΐξῃ [h]τέρεν αἷμα,

[d] λέγων—μυκτήρων om. M.Z. [e] καὶ om. P.S. [f] ἐκ] διὰ S. [g] ἡ om. S. [h] γενομένης M. [i] ἀναπνοῆς] ἧς M. et fortasse Z. [k] οὐ M.S.Z. [l] ἐν om. L.P.S. [m] τὰ om. S. [n] ἔστι] ἐπεὶ M.Z. [o] ἔστι L. [p] διὸ] καὶ διὰ M.Z. [q] κινεῖσθαι ἅμα καὶ κάτω καὶ ἄνω M.Z. [r] ἄνω M.S.Z. [s] κάτω M.S.Z. [t] ἐκπνεῖν M.Z. [v] πάντως V. [w] λείφαιμοι N.V.n, δίαιμοι M.i.l. [x] ἐπιστομίοις L.N.P.Q.G[a].H[a], ἐπιστομίαις M.Z.i.l. [y] πυκναῖς M.Z.i.l, πυκινοῖς L.Q.G[a].H[a].f.m.o: ceteri πυκνοῖς. [z] ἄλεξι V, δόναξι M.i.l. [a] τέρθρα L.G[a].H[a]. et corr. m.o, lacunam M: ceteri τέθρα, ambiguo V. [b] φόνον M.i.l: ceteri φανόν. [c] μὲν κεύθειν, αἰθέρι] μέν γ' ἐνθεῖναι θέρει M, μέν γ' αἰθέρι i.l. [d] εὐπορίην L.Q.H[a].f, εὔπνοιαν pr. Z: ceteri εὐπορίαν. [e] διόδρισι S, διόδεσι n. [f] ὅταν L.X.G[a].f. [g] ἀπαΐξῃ L.X.G[a].H[a].m.o, ἐπαΐξοι corr. i, ἐπάξοι pr. i, ἐπάξειε l, ἐπάξῃ M. et pr. Z: ceteri ἐπαΐξῃ. [h] τέραν S.

*αἰθὴρ παφλάζων [i] καταβήσεται [k] οἴδματι [l] μάργῳ,*
*εὖτε δ' ἀναθρώσκει, [m] πάλιν ἐκπνεῖ, ὥσ[n]περ ὅταν [o] παῖς*
*[p] κλεψύδρην [q] παίζησι [r] δι' εὐπετέος χαλκοῖο.*
*Εὖτε μὲν αὐλοῦ πορθμὸν ἐπ' [s] εὐειδεῖ [t] χερὶ [v] θεῖσα*
*[w] εἰς ὕδατος βάπτῃσι [x] τέρεν δέμας [y] ἀργυφέοιο,*
*[z] οὐδ' ὅγ' [a] ἐς [b] ἄγγος[c] δ' ὄμβρος [d] ἐσέρχεται, ἀλλά [e] μιν [f] εἴργει*
*ἀέρος ὄγκος [g] ἔσωθε πεσὼν [h] ἐπὶ τρήματα πυκνά,*
*[i] εἰσόκ' ἀποστεγάσῃ [k] πυνικὸν ῥόον· [l] αὐτὰρ [m] ἔπειτα*
*πνεύματος [n] ἐλλείποντος [o] ἐσέρχεται [p] αὔξιμον ὕδωρ.*
*Ὡς δ' αὔτως ὅθ' ὕδωρ μὲν ἔχει κατὰ [q] βένθεα χαλκοῦ*
*πορθμοῦ [r] χωσθέντος [s] βροτέῳ [t] χροῒ ἠδὲ [v] πόροιο,*
*αἰθὴρ δ' [w] ἐκτὸς [x] ἔσω [y] λελιημένος ὄμβρον ἐρύκει*
*ἀμφὶ πύλας [z] ἰσθμοῖο δυσηχέος, [a] ἄκρα [b] κρατύνων,*
*εἰσόκε χειρὶ [c] μεθῇ· [d] τότε δ' αὖ πάλιν, ἔμπαλιν ἢ πρίν,*
*πνεύματος [e] ἐμπίπτοντος [f] ὑπεκθέει [g] αὔξιμον ὕδωρ.*
*Ὡς δ' αὔτως τέρεν αἷμα [h] κλαδασσόμενον [i] διὰ γυίων*
*ὁππότε [k] μὲν παλίνορσον [l] ἐπαΐξειε μυχόνδε,*

[i] *καταΐσσεται* L.Q.$G^a$.$H^a$.f. [k] *ὕδατι* S. et pr. o. [l] *μαργῷ* P.S.i l, *μαρθρῷ* n. [m] *πᾶσιν* $H^a$. [n] *περ* om. n. [o] *ταῖς* N, incerto V. [p] *κλεψύδρην* L.M.P.Q.S.X.Z.$G^a$.$H^a$.f.i.l.m.o: ceteri *κλεψύδραις.* [q] *παίζησι* i.l, *παίζουσι* M.Z: ceteri *παίζουσα.* [r] *διιπετέος* M.Z.i.l, *δι' εὐπετέοις* S, *δι' εὐπαγέος* P. [s] *εὐϊδεῖ* i.l, *ἀειδεῖ* M. [t] *χειρὶ* M.N.P.V.Z.m.o. [v] *θεὶς* M. et pr. Z. et postposito *χερὶ* i.l. [w] *ἐς* f, *ἅλις* M.i.l. [x] *τέραν* N.n. [y] *ἀργυφαιοῖο* M.Z, *ἀργυφαοῖο* i.l. [z] *οὐδ' ὅτ'* i.l. et corr. Z, *οὐδ' ὅτι* M. et pr. Z, *οὐδετ'* L.N.P.Q.S.V.X.$G^a$.$H^a$.f. m.n.o. [a] *εἰς* M. et pr. Z. [b] *ἄγκος* f, *ἄργος* M. et pr. Z. [c] *δ'* M.N. Q S.V.$G^a$.$H^a$.f.i.l.m.n.o, om. P: vulgo *ἔτ'*. [d] *εἰσέρχεται* M.N.P.Q. X.Z.$G^a$.$H^a$.f.l.m.n.o. [e] *μὴν* M. et pr. Z. [f] *ἔργει* V. [g] *ἔσωθε* M.i.l, *ἔσωθεν* L.N.Q.S.V.X.Z.$G^a$.$H^a$.f.n.o, *ἔσωθι* P. [h] *ἐπεὶ* M. [i] *εἰσόκ' ἀποστεγάσει* P.f.m.o, *εἰς ὅκ' ἀναστεγάσῃ* i.l, *εἰς ὀσακαναστεγάσῃ* M. et pr. Z. [k] *πυκνὸν* Q.Z.$H^a$.f. [l] *ἀτὰρ* n. [m] *ἐπεὶ* Z, *ἐπὶ* M. [n] *ἐκλείποντος* M.Z.i.l. [o] *εἰσέρχεται* L.M.N.P.Q.X.Z.$G^a$.f.i.l.o. [p] *αὔξιμον* L.M.Q.Z.$G^a$.$H^a$.f.i.l: ceteri *αἴσιμον.* [q] *βένθεος* V. [r] *χρωσθέντος* M.N.P.S.V.Z.i.l.m.n.o. [s] *βροτέο* o, *βροτέα* P. [t] *χρωὶ ἠδὲ* f, *χροιῆδε* N.P.V.n.o, *χροιῆνδε* M.Z, *χροίηνε δὲ* i.l, *χερὶ ἠδὲ* X. [v] *πόρους* M.i.l. [w] *ἔκτ* ante lacunam n, *ἐκ τῶν* N.V. [x] *ἔσσω* M, *ἔσωθι* i.l. [y] *λελιμμένος* M.Z, *λελειμμένος* i.l. [z] *ἠθμοῖο* P.S.X.Z. [a] *ἄηρος* V. [b] *κραταίνων* S, *κρατ.* ante lacunam n, *τιταίνων* M.Z.i.l. [c] *μεθίῃ* N.V. [d] *τότε*] *τῇ* n. [e] *ἐκπίπτοντος* M.Z.$G^a$.i.l.n. [f] *ὑπεκθέει* M.Z.i.l: ceteri *ὑπεκθεῖ.* [g] *αἰγῖμον* V: ceteri *αἴσιμον.* [h] *κλαδασσώμενον* $G^a$, *κλα σόμενον* V, *κλαδασσομένων* Z.i.l. [i] *διὰ γυίων* i.l, *διὰ γύων* M, *διὰ γυῶν* n: ceteri *δι' ἀγυιῶν.* [k] *μιν* V.Z.m.n, om. P. [l] *ἐπάξειεν* M.Z.

[m] *αἰθέρος εὐθὺς ῥεῦμα* [n] *κατέρχεται* [o] *οἴδματι θῦον,*
*εὖτε δ'* [p] *ἀναθρώσκῃ,* [q] *πάλιν ἐκπνεῖ ἶσον* [r] *ὀπίσσω.*

6 Λέγει μὲν οὖν ταῦτα περὶ τοῦ ἀναπνεῖν, ἀναπνεῖ δ', ὥσπερ εἴπομεν, τὰ φανερῶς ἀναπνέοντα διὰ τῆς ἀρτηρίας, διά [s] τε τοῦ στόματος ἅμα καὶ [t] διὰ τῶν μυκτήρων. Ὥστ' εἰ μὲν περὶ ταύτης λέγει τῆς ἀναπνοῆς, ἀναγκαῖον [v] ζητεῖν πῶς ἐφαρμόσει ὁ εἰρημένος [w] λόγος τῆς αἰτίας· φαίνεται γὰρ
7 τοὐναντίον συμβαῖνον. Ἄραντες μὲν γὰρ τὸν τόπον, καθάπερ τὰς φύσας ἐν τοῖς χαλκείοις, ἀναπνέουσιν· αἴρειν δὲ τὸ θερμὸν [x] εὔλογον, ἔχειν δὲ τὸ αἷμα τὴν τοῦ θερμοῦ χώραν· [y] συνιζάνοντες δὲ καὶ [z] καταπνίγοντες, ὥσπερ ἐκεῖ τὰς φύσας, ἐκπνέουσιν. Πλὴν ἐκεῖ μὲν [a] οὐ [b] κατὰ ταὐτὸν εἰσδέχονταί [c] τε τὸν ἀέρα καὶ πάλιν ἐξιᾶσιν, οἱ δ' ἀναπνέοντες [d] κατὰ
8 ταὐτόν. Εἰ δὲ περὶ τῆς κατὰ [e] τοὺς μυκτῆρας [f] λέγει μόνης, πολὺ διημάρτηκεν· οὐ γάρ ἐστιν ἀναπνοὴ μυκτήρων [g] ἴδιος, ἀλλὰ [h] παρὰ τὸν αὐλῶνα τὸν [i] περὶ τὸν γαργαρεῶνα, ᾗ τὸ ἔσχατον τοῦ ἐν τῷ στόματι οὐρανοῦ, συντετρημένων τῶν μυκτήρων [k] χωρεῖ τὸ μὲν ταύτῃ τοῦ πνεύματος, τὸ δὲ διὰ τοῦ στόματος, ὁμοίως [l] εἰσιόν τε καὶ ἐξιόν. Τὰ μὲν οὖν παρὰ τῶν ἄλλων εἰρημένα περὶ τοῦ ἀναπνεῖν τοιαύτας καὶ τοσαύτας [m] ἔχει δυσχερείας.

8 Ἐπεὶ δὲ εἴρηται πρότερον ὅτι τὸ ζῆν καὶ ἡ τῆς ψυχῆς ἕξις μετὰ θερμότητός τινός ἐστιν· οὐδὲ γὰρ ἡ πέψις, δι' ἧς ἡ τροφὴ γίνεται τοῖς ζῴοις, οὔτ' ἄνευ ψυχῆς οὔτ' ἄνευ θερ-
2 μότητός ἐστιν· [n] πυρὶ γὰρ ἐργάζεται πάντα. Διόπερ ἐν ᾧ

[m] *αἰθέρος* M.Z.i.l: ceteri *ἕτερον.* [n] *κατέρπεται* o. [o] *οἴδματι θετὸν* V, *οἶδμα τιταῖνον* M.Z.i.l. [p] *ἀναθρώσκῃ* M.S.Z, *ἀναθρώσκοι* i.l: ceteri *ἀναθρώσκει.* [q] *πάλιν πνεῖ ἶσον* Z, *πάλιν ἶσον* M, *παλίνορσον ἵκετ'* i.l. [r] *ὀπίσω* P.f. [s] *τε*] *δὲ* M.Z. [t] *διὰ* om. L. [v] *ζητεῖν*] *ἐστι* M. et nescio an Z. [w] *τῆς αἰτίας λόγος* M.Z. [x] *ἔλεγον* M.Z. [y] *συνίζοντες* P.S. [z] *καταπλήττοντες* M.Z, *καταπνέοντες* L. [a] *οὐ* om. M.Z. [b] *καταυτὸν* Z, *κατὰ ταυτὸ* M. [c] *τε* om. S. [d] *κατὰ ταυτόν*] *οὐ κατὰ ταυτὸν* M.S, *οὐ καταυτὸν* Z, *κατὰ ταῦτα* L. [e] *τὸν μακτῆρα* M.Z. [f] *λέγοι* M. [g] *ἴδιος—τῶν μυκτήρων* om. M.Z. [h] *περὶ* L. [i] *παρὰ* L.P.S. [k] *χωρείτω μὲν ταύτῃ τὸ τοῦ* M.S. [l] *ἐξιόν τε καὶ εἰσιόν* L, *ἐξιόν τε* S, *ἐξιόν* M.Z. [m] *ἔχει τὰς δυσχερείας* Z. [n] *πῦρ* M.Z.

*πρώτῳ τόπῳ τοῦ σώματος καὶ ἐν ᾧ πρώτῳ [o] τοῦ τόπου τούτου μορίῳ τὴν ἀρχὴν ἀναγκαῖον εἶναι [p] τὴν τοιαύτην, ἐνταῦθα καὶ [q] τὴν πρώτην [r] τὴν θρεπτικὴν ψυχὴν ἀναγκαῖον ὑπάρχειν. Οὗτος δ' ἐστὶν ὁ μέσος τόπος τοῦ [s] τε δεχομένου τὴν τροφὴν [t] καὶ καθ' ὃν ἀφίησι τὸ περίττωμα. Τοῖς μὲν [v] οὖν ἀναίμοις ἀνώνυμον, τοῖς δ' ἐναίμοις ἡ καρδία τοῦτο [w] τὸ μόριόν ἐστιν. Ἡ τροφὴ μὲν γὰρ ἐξ ἧς ἤδη γίνεται τὰ μόρια* 3
*τοῖς ζῴοις, ἡ τοῦ αἵματος φύσις ἐστίν. Τοῦ δ' αἵματος καὶ τῶν φλεβῶν τὴν [x] αὐτὴν ἀρχὴν ἀναγκαῖον εἶναι· θατέρου γὰρ ἕνεκα θάτερόν ἐστιν, ὡς ἀγγεῖον καὶ δεκτικόν. Ἀρχὴ δὲ τῶν φλεβῶν ἡ καρδία τοῖς ἐναίμοις· οὐ γὰρ διὰ ταύτης, ἀλλ' ἐκ ταύτης ἠρτημέναι πᾶσαι τυγχάνουσιν. Δῆλον δ'* 4
*ἡμῖν τοῦτο ἐκ τῶν ἀνατομῶν. Τὰς μὲν οὖν ἄλλας δυνάμεις τῆς ψυχῆς ἀδύνατον ὑπάρχειν ἄνευ τῆς θρεπτικῆς (δι' ἣν δ' αἰτίαν, εἴρηται πρότερον ἐν τοῖς περὶ ψυχῆς), ταύτην δ' ἄνευ τοῦ φυσικοῦ πυρός· ἐν τούτῳ γὰρ ἡ φύσις [y] ἐμπεπύρευκεν αὐτήν. Φθορὰ δὲ πυρός, ὥσ[z]περ εἴρηται πρότερον, [a] σβέσις καὶ μάρανσις. [b] Σβέσις μὲν ἡ ὑπὸ τῶν ἐναντίων· διό[c]περ* 5
*ἀθρόον [d] τε ὑπὸ [e] τῆς τοῦ περιέχοντος ψυχρότητος, καὶ θᾶττον [f] ὅτι [g] σβέννυται διασπώμενον. Αὕτη μὲν οὖν ἡ φθορὰ βίαιος ὁμοίως ἐπὶ τῶν ἐμψύχων [h] καὶ τῶν ἀψύχων ἐστίν· καὶ γὰρ ὀργάνοις διαιρουμένου τοῦ ζῴου, καὶ πηγνυμένου διὰ ψύχους ὑπερβολήν, ἀποθνήσκουσιν. Ἡ δὲ μά-* 6
*ρανσις διὰ [i] πλῆθος θερμότητος· καὶ γὰρ ἂν ὑπερβάλλῃ τὸ πέριξ θερμόν, καὶ τροφὴν [k] ἐὰν μὴ λαμβάνῃ, φθείρεται τὸ [l] πυρούμενον, [m] οὐ ψυχόμενον [n] ἀλλὰ μαραινόμενον. Ὥστ' ἀνάγκη γίνεσθαι κατάψυξιν, εἰ [o] μέλλει τεύξεσθαι σωτηρίας· τοῦτο γὰρ βοηθεῖ πρὸς ταύτην τὴν φθοράν.*

[o] *τοῦ μορίου τήν*, omissis *τόπου τούτου*, M.Z. [p] *τὴν* ante *τ.* om. M.Z. [q] *τὴν* om. S. [r] *τὴν* om. M.P.S.Z. [s] *τε* om. M.P.S.Z. [t] *καὶ* om. S. [v] *οὖν—δ'* om. M.Z. [w] *τὸ* om. P. [x] *αὐτὴν* om. M.Z. [y] *ἐκπεπύρωκεν*, super *ω* posita *ευ*, L. [z] *περ* om. M. [a] *σβέσις καὶ μάρανσις* om. M.Z. [b] *ἡ μὲν σβέσις* S. [c] *περ* om. M.Z. [d] *τε* om. L. [e] *τοῦ περιέχοντος τῆς* P. [f] *ὅτι* om. M.Z. [g] *ἀποσβέννυται* Z. [h] *καὶ τῶν ἀψύχων* om. M.Z. [i] *πλήθους* S. [k] *ἂν* L. [l] *πῦρ οὐ μόνον* M.Z. [m] *οὐ* om. M.S.Z. [n] *ἀλλὰ καὶ μαρ.* M.Z. [o] *μέλλοι* S.

9 ˈἘπεὶ δὲ τῶν ζῴων τὰ μὲν ἔνυδρα, τὰ δ' ἐν [p] τῇ γῇ ποιεῖται τὴν διατριβήν, τούτων τοῖς μὲν [q] μικροῖς πάμπαν καὶ τοῖς ἀναίμοις ἡ γινομένη ἐκ τοῦ περιέχοντος ἢ ὕδατος ἢ ἀέρος ψύξις ἱκανὴ πρὸς [r] τὴν βοήθειαν τῆς φθορᾶς ταύτης· μικρὸν γὰρ ἔχοντα τὸ θερμὸν μικρᾶς δέονται [s] τῆς βοηθείας. Διὸ καὶ βραχύβια σχεδὸν πάντα τὰ τοιαῦτ' ἐστίν· ἐπ' ἀμ-
2 φότερα γὰρ [t] μικρᾶς ὄντα τυγχάνει ῥοπῆς. Ὅσα δὲ μακροβιώτερα τῶν ἐντόμων (ἄναιμα γάρ ἐστι πάντα τὰ ἔντομα), τούτοις [v] ὑπὸ τὸ διάζωμα διέσχισται, [w] ὅπως διὰ [x] λεπτοτέρου ὄντος τοῦ ὑμένος ψύχηται· μᾶλλον γὰρ ὄντα θερμὰ πλείονος δεῖται τῆς καταψύξεως, οἷον αἱ μέλιτται (τῶν γὰρ μελιττῶν ἔνιαι ζῶσι καὶ ἑπτὰ ἔτη) καὶ τἆλλα δὲ ὅσα [y] βομ-
3 βεῖ, [z] οἷον σφῆκες καὶ μηλολόνθαι καὶ τέττιγες. Καὶ γὰρ τὸν ψόφον ποιοῦσι πνεύματι, [a] οἷον ἀσθμαίνοντα· ἐν αὐτῷ γὰρ τῷ ὑποζώματι, [b] τῷ ἐμφύτῳ πνεύματι αἴροντι καὶ [c] συνίζοντι, συμβαίνει [d] πρὸς τὸν ὑμένα γίνεσθαι τρίψιν· κινοῦσι γὰρ τὸν τόπον τοῦτον, ὥσπερ τὰ ἀναπνέοντα ἔξωθεν τῷ
4 πλεύμονι καὶ οἱ ἰχθύες τοῖς βραγχίοις. Παραπλήσιον γὰρ συμβαίνει [e] κἂν εἴ τίς [f] τινα τῶν ἀναπνεόντων πνίγοι, τὸ στόμα κατασχών· καὶ γὰρ ταῦτα ποιήσει τῷ πλεύμονι τὴν ἄρσιν ταύτην. ˈἈλλὰ τούτοις μὲν [g] οὐχ ἱκανὴν ἡ τοιαύτη
5 [h] ποιεῖ κίνησις κατάψυξιν, ἐκείνοις δ' ἱκανήν. Καὶ τῇ τρίψει τῇ [i] πρὸς τὸν ὑμένα ποιοῦσι τὸν βόμβον, ὥσπερ [k] λέγομεν, οἷον διὰ τῶν καλάμων τῶν τετρυπημένων [l] τὰ παιδία, ὅταν ἐπιθῶσιν ὑμένα λεπτόν. Διὰ γὰρ τοῦτο καὶ τῶν τεττίγων οἱ ᾄδοντες ᾄδουσιν· θερμότεροι γάρ εἰσι, καὶ ἔσχισται αὐτοῖς ὑπὸ τὸ ὑπόζωμα· τοῖς δὲ μὴ ᾄδουσι τοῦτ' [m] ἐστὶν ἄσχιστον.

[p] τῇ om. M.P.S.Z. [q] μικρὰ M. [r] τὴν om. L. [s] τῆς om. L. [t] μικρὰ ὄντα μικρᾶς τυγχ. M.Z. [v] ὑπὸ τὸ διάζωμα] ὑποδιασχιζόμενα M.Z. [w] ὅπως] ἵν' ὥσπερ M.Z. [x] λεπτοτέρως S, λεπτομεροῦς M, λεπτοῦ μέρους Z. [y] βομβοῖ M. [z] οἷον αἱ σφῆκες M.Z. [a] οἷον τὰ ἀσθμαίνοντα M.Z. [b] τῷ ἐμφ. πν. αἴροντι om. M.Z. [c] συνίζοντι πρὸς τὸν αὐχένα συμβαίνει M. [d] πρὸς] κατὰ S. et pr. L. πρὸς τὸν ὑμένα om. M. [e] κἂν om. M.Z. [f] τινι M.Z. [g] οὐδ' M.Z. [h] ποιεῖ ante ἡ S, post κίνησις L. [i] πρὸς] κατὰ L. [k] λέγομεν οἷον] οἱ λεγόμενοι M.Z. [l] τὰ] καὶ τὰ M.Z. [m] ἐστὶν αὐτοῖς ἄσχιστον M.

Καὶ τῶν ἐναίμων δὲ [n] καὶ πλεύμονα ἐχόντων, [o] ὀλίγαιμον δ' 6
ἐχόντων καὶ σομφόν, ἔνια [p] διὰ τοῦτο πολὺν χρόνον [q] δύναν-
ται [r] ἀπνευστὶ ζῆν, ὅτι ὁ πλεύμων ἄρσιν ἔχει πολλήν, ὀλίγον
ἔχων τὸ [s] αἷμα καὶ τὸ ὑγρόν· ἡ γὰρ οἰκεία κίνησις ἐπὶ πο-
λὺν χρόνον διαρκεῖ καταψύχουσα. [t] Τέλος δ' οὐ δύναται, 7
ἀλλ' ἀποπνίγεται μὴ ἀναπνεύσαντα, καθάπερ εἴρηται καὶ
πρότερον· τῆς γὰρ μαράνσεως ἡ διὰ τὸ μὴ ψύχεσθαι φθορὰ
καλεῖται [v] πνίξις, καὶ [w] τὰ οὕτω φθειρόμενα ἀποπνίγεσθαί
φαμεν. [x] Ὅτι δ' οὐκ ἀναπνεῖ τὰ ἔντομα τῶν ζῴων, εἴρη- 8
ται μὲν καὶ πρότερον, φανερὸν δὲ καὶ ἐπὶ τῶν μικρῶν [y] ἐστὶ
ζῴων, οἷον [z] μυιῶν καὶ μελιττῶν· ἐν γὰρ τοῖς ὑγροῖς πολὺν
χρόνον [a] ἀνανήχεται, ἂν μὴ λίαν ᾖ θερμὸν ἢ ψυχρόν. Καί-
τοι τὰ μικρὰν ἔχοντα [b] δύναμιν πυκνότερον ζητεῖ ἀναπνεῖν.
Ἀλλὰ φθείρεται [c] ταῦτα καὶ λέγεται ἀποπνίγεσθαι [d] πλη- 9
ρουμένης τῆς κοιλίας καὶ φθειρομένου τοῦ ἐν τῷ ὑποζώματι
[e] ὑγροῦ. Διὸ καὶ [f] ἐν τῇ τέφρᾳ χρονισθέντα ἀνίσταται.
Καὶ τῶν ἐν τῷ ὑγρῷ δὲ [g] ζώντων ὅσα ἄναιμα, πλείω χρόνον 10
ζῇ ἐν τῷ ἀέρι [h] τῶν ἐναίμων καὶ δεχομένων τὴν [i] θάλατταν,
οἷον τῶν ἰχθύων· διὰ γὰρ τὸ ὀλίγον ἔχειν τὸ θερμὸν [k] ὁ ἀὴρ
ἱκανός ἐστιν ἐπὶ πολὺν χρόνον [l] καταψύχειν, οἷον τοῖς τε
μαλακοστράκοις καὶ τοῖς [m] πολύποσιν. Οὐ μὴν εἰς τέλος 11
γε διαρκεῖ πρὸς τὸ [n] ζῆν, διὰ τὸ ὀλιγόθερμα εἶναι, ἐπεὶ
καὶ τῶν ἰχθύων οἱ πολλοὶ ζῶσιν ἐν τῇ γῇ, ἀκινητίζοντες
μέντοι, καὶ εὑρίσκονται ὀρυττόμενοι. Ὅσα γὰρ [o] ἢ μηδ'
ὅλως [p] ἔχει πλεύμονα ἢ ἄναιμον, [q] ἐλαττονάκις δεῖται κατα-
ψύξεως.

[n] καὶ τῶν πν. L, καὶ τὸν πν. S. [o] ὀλίγον M.Z. [p] διὰ τοῦτο] δὲ τούτων S, δὴ τούτων P, om. L. [q] δύναται L.S. [r] ἀπνευτὶ S, om. M.Z. [s] αἷμα] πνεῦμα M.Z. [t] τελέως Z. [v] μίξις S, ψύξις M.Z. [w] τὰ] ταῦτα M.Z. [x] ὅτι—ἔντομα om. M.Z. [y] ἐστὶ ζῴων] ζώων ἐστὶ M.Z, τούτων ζώων P. [z] μυῶν M.P. [a] ἀνέχεται M.Z, ἀνανήχεται καὶ ἀνέχεται S. [b] δύναμιν τοῦ συνίστασθαι καὶ ζῆν χωρὶς τοῦ ἀναπνεῖν πυκνότερον P. [c] ταῦτα om. P. [d] πνιγομένης M.S.Z. [e] θερμοῦ M.Z. [f] ἐν ante τῇ om. P. [g] ζώων M. [h] τῶν ἐναίμων om. M. [i] θήλαιλαν M. [k] ὁ om. M. [l] καταψύχων M.Z. [m] πολύπουσιν M. [n] ζῆν διὰ τὸ om. M.Z. [o] ἢ μηδ' ὅλως] ἢ μὴ ὅλως M, μὴ ὅλως P.S, μὴ L. [p] ἔχοντα M. [q] ἐλαττονάκις δὲ δεῖται L.S.

10 Περὶ μὲν οὖν τῶν ἀναίμων, ὅτι τοῖς μὲν ὁ περιέχων ἀὴρ
τοῖς δὲ [r] τὸ ὑγρὸν βοηθεῖ [s] πρὸς τὴν ζωήν, [t] εἴρηται· τοῖς
δ' ἐναίμοις καὶ τοῖς ἔχουσι καρδίαν, ὅσα [v] μὲν ἔχει πλεύ-
μονα, πάντα δέχεται τὸν ἀέρα καὶ τὴν κατάψυξιν ποιεῖται
2 [w] διὰ τοῦ ἀναπνεῖν [x] καὶ ἐκπνεῖν. Ἔχει δὲ [y] πλεύμονα τά τε
ζῳοτοκοῦντα ἐν αὐτοῖς καὶ μὴ θύραζε μόνον (τὰ [z] γὰρ σε-
λάχη ζῳοτοκεῖ μέν, ἀλλ' οὐκ ἐν αὐτοῖς) καὶ τῶν ᾠοτοκούν-
των τά τε [a] πτερυγωτά, οἷον ὄρνιθες, καὶ τὰ φολιδωτά, οἷον
3 [b] χελῶναι καὶ σαῦραι καὶ ὄφεις. Ἐκεῖνα μὲν οὖν [c] ἔναιμον,
τούτων δὲ τὰ πλεῖστα τὸν πλεύμονα ἔχει σομφόν. Διὸ καὶ
τῇ ἀναπνοῇ χρῆται μανότερον, [d] ὥσπερ εἴρηται καὶ πρότε-
4 ρον. Χρῆται δὲ πάντα καὶ ὅσα διατρίβει καὶ [e] ποιεῖται τὸν
βίον ἐν τοῖς ὕδασιν, οἷον τὸ τῶν ὕδρων γένος καὶ βατρά-
χων καὶ κροκοδείλων καὶ [f] ἐμύδων [g] καὶ χελῶναι αἵ τε θα-
λάττιαι καὶ [h] αἱ χερσαῖαι [i] καὶ φῶκαι· [k] ταῦτα γὰρ πάντα
καὶ τὰ τοιαῦτα καὶ τίκτει ἐν τῷ ξηρῷ, [l] καὶ καθεύδει [m] ἢ ἐν
τῷ ξηρῷ, ἢ ἐν τῷ ὑγρῷ ὑπερέχοντα [n] τὸ στόμα διὰ τὴν ἀνα-
5 πνοήν. Ὅσα δὲ βράγχια ἔχει, πάντα [o] καταψύχεται δεχό-
μενα τὸ ὕδωρ· ἔχει δὲ βράγχια τὸ τῶν [p] καλουμένων σε-
λαχῶν γένος καὶ τῶν ἄλλων ἀπόδων. Ἄποδες δ' οἱ ἰχθύες
πάντες· καὶ γὰρ ἃ [q] ἔχει, καθ' ὁμοιότητα τῶν [r] πτερυγίων
[s] ἔχουσιν. Τῶν δὲ πόδας ἐχόντων [t] ἓν ἔχει βράγχιον [v] μόνον
6 τῶν τεθεωρημένων [w] ὁ καλούμενος [x] κορδύλος. Ἅμα δὲ πλεύ-
μονα καὶ βράγχια οὐδὲν ὦπταί πω ἔχον. Αἴτιον δ' ὅτι ὁ
μὲν πλεύμων τῆς ὑπὸ τοῦ πνεύματος καταψύξεως ἕνεκέν ἐστιν
(ἔοικε δὲ [y] καὶ τοὔνομα εἰληφέναι ὁ πνεύμων διὰ τὴν τοῦ

[r] τὸ om. M.Z. [s] πρὸς om. Z. [t] εἴρηται πρότερον τοῖς M.Z. [v] μὲν αὐτῶν ἔχει P. [w] διά τε τοῦ S. [x] καὶ ἐκπνεῖν om. M.Z. [y] πλείονα M.Z. [z] γὰρ] δὲ S. [a] πτερωτὰ L. [b] σαῦραι χελῶναι L, χελῶναι καὶ σαῦροι M.Z. [c] ἔναιμα M.Z, ἔνεμα S. [d] ὥσπερ—πρότερον om. M.Z. [e] ποιεῖ L. [f] ἐμύδων M.Z, αἱμύδων L.P, αἱμύδων S. [g] καὶ αἱ χελῶναι αἱ θ. L.P.S. [h] αἱ om. M.Z. [i] καὶ αἱ φῶκαι L.P.S. [k] πάντα γὰρ ταῦτα καὶ L.P, πάντα γὰρ S. [l] καὶ καθεύδει om. L, καὶ καθ.—ξηρῷ om. S, καθ.—ξηρῷ ἢ om. P. [m] ἢ om. M.S.Z. [n] τὸ στόμα om. M.Z. [o] καταψύξεως M. [p] καλουμένων] πλατέων L. [q] ἔχειν M.Z. [r] πτερύγων L.M.P.S. [s] λέγουσι M.P.S.Z, λέγεται L. [t] ἓν om. L. [v] μόνον om. S. [w] ὁ] νῦν ὁ M.Z. [x] σκορδύλος P. [y] καὶ om. S.

*πνεύματος ὑποδοχήν), τὰ δὲ βράγχια πρὸς τὴν ἀπὸ τοῦ
ὕδατος κατάψυξιν· ἓν δ' ἐφ' ἓν [z] ὄργανον χρήσιμον, καὶ
μία κατάψυξις ἱκανὴ πᾶσιν. [y] Ὥστ' ἐπεὶ μάτην οὐδὲν ὁρῶμεν* 7
*ποιοῦσαν τὴν φύσιν, [a] δυοῖν δ' ὄντοιν θάτερον ἂν ἦν μάτην,
διὰ τοῦτο [b] τὰ μὲν ἔχει βράγχια τὰ δὲ πνεύμονα, ἄμφω δ'
οὐδέν.*

*Ἐπεὶ δὲ πρὸς [c] μὲν τὸ εἶναι τροφῆς δεῖται τῶν ζῴων* 11
*ἕκαστον, πρὸς δὲ τὴν σωτηρίαν τῆς καταψύξεως, τῷ αὐτῷ
ὀργάνῳ χρῆται [d] πρὸς ἄμφω ταῦτα ἡ φύσις, καθάπερ ἐνίοις
τῇ γλώττῃ πρός τε τοὺς χυμοὺς καὶ πρὸς τὴν ἑρμηνείαν,
οὕτω τοῖς ἔχουσι τὸν πλεύμονα [e] τῷ καλουμένῳ στόματι
πρός τε τὴν τῆς τροφῆς ἐργασίαν καὶ τὴν ἐκπνοὴν καὶ τὴν
ἀναπνοήν. Τοῖς [f] δὲ μὴ ἔχουσι πνεύμονα μηδ' ἀναπνέουσι τὸ* 2
*μὲν στόμα πρὸς [g] τὴν ἐργασίαν τῆς τροφῆς, [h] πρὸς δὲ τὴν
κατάψυξιν τοῖς δεομένοις καταψύξεως ἡ τῶν βραγχίων
[i] ὑπάρχει φύσις. Πῶς μὲν οὖν ἡ τῶν εἰρημένων ὀργάνων
δύναμις ποιεῖ τὴν κατάψυξιν, ὕστερον ἐροῦμεν. Πρὸς δὲ* 3
*[k] τὸ τὴν τροφὴν μὴ διακωλύειν παραπλησίως τοῖς τ' ἀνα-
πνέουσι συμβαίνει καὶ τοῖς δεχομένοις τὸ ὑγρόν· οὔτε [l] γὰρ
ἀναπνέοντες ἅμα καταδέχονται τὴν [m] τροφήν· εἰ δὲ μή, συμ-
βαίνει πνίγεσθαι [n] παρεισιούσης τῆς τροφῆς ἢ τῆς [o] ὑγρᾶς
ἢ τῆς ξηρᾶς ἐπὶ τὸν πνεύμονα διὰ τῆς ἀρτηρίας· [p] πρότερον
γὰρ κεῖται ἡ ἀρτηρία τοῦ οἰσοφάγου, δι' οὗ ἡ τροφὴ πο-
ρεύεται εἰς τὴν καλουμένην κοιλίαν. Τοῖς μὲν οὖν τετράποσι* 4
*καὶ ἐναίμοις ἔχει ἡ ἀρτηρία οἷον πῶμα τὴν ἐπιγλωττίδα·
τοῖς δ' ὄρνισι καὶ τῶν τετραπόδων τοῖς ᾠοτόκοις οὐκ [q] ἔπε-
στιν, ἀλλὰ τῇ συναγωγῇ τὸ αὐτὸ ποιοῦσιν· δεχόμενα γὰρ
τὴν τροφὴν τὰ μὲν συνάγει, τὰ δ' ἐπιτίθησι τὴν ἐπιγλωτ-
τίδα. Προελθούσης δὲ τὰ μὲν ἐπαίρει, τὰ δὲ [r] διοίγει καὶ* 5

[z] χρήσιμον ὄργανον L.M.S.Z. [a] δυεῖν Z. [b] τὸ μὲν—τὸ δὲ M.Z. [c] μὲν—δὲ τὴν om. M.Z. [d] πρὸς om. M. [e] τῷ] ἐν τῷ M.Z. [f] δ' ἢ μὴ S. [g] τὴν om. L. [h] πρὸς δὲ τὴν κατάψυξιν τοῖς δεομένοις] τοῖς δεομένοις δὲ M.Z. [i] ὑπερέχει M. [k] τὸ om. Z. [l] γὰρ τὰ ἀναπνέοντα L. [m] τροφήν, οὔτε ἐκπνέοντες. εἰ δὲ μή, συμβαίνει καὶ τοῖς δεχομένοις τὸ ὑγρὸν πνίγεσθαι P. [n] εἰσιούσης M.Z. [o] ξηρᾶς ἢ τῆς ὑγρᾶς L.P.S. [p] προτέρα L.Z. [q] ἔνεστιν L.P.S. [r] διάγει L.M.S.Z.

καταδέχεται τὸ πνεῦμα πρὸς τὴν κατάψυξιν. Τὰ [s] δ' ἔχοντα
βράγχια, ἀφέντα διὰ τούτων τὸ ὑγρόν, διὰ τοῦ στόματος
καταδέχεται τὴν τροφήν· [t] ἀρτηρίαν μὲν γὰρ οὐκ ἔχουσιν,
ὥστε ταύτῃ μὲν οὐθὲν ἂν [v] βλάπτοιντο ὑπὸ τῆς τοῦ ὑγροῦ
6 παρεμπτώσεως, ἀλλ' εἰς τὴν κοιλίαν εἰσιόντος. Διὸ ταχεῖαν
ποιεῖται τὴν ἄφεσιν καὶ τὴν λῆψιν τῆς τροφῆς, καὶ τοὺς
ὀδόντας ὀξεῖς ἔχουσι, [w] καὶ [x] καρχαρόδοντες σχεδὸν [y] πάντες
[z] εἰσίν· οὐ γὰρ ἐνδέχεται λεαίνειν τὴν τροφήν.

12 Περὶ δὲ τὰ κητώδη τῶν ἐνύδρων ἀπορήσειεν ἄν τις, ἔχει
[a] δὲ [b] κἀκεῖνα κατὰ λόγον, οἷον περί τε τοὺς δελφῖνας καὶ
τὰς φαλαίνας, καὶ τῶν ἄλλων ὅσα ἔχει τὸν καλούμενον αὐ-
λόν. Ταῦτα γὰρ ἄποδα μέν ἐστιν, ἔχοντα δὲ πνεύμονα
δέχεται τὴν θάλατταν. Αἴτιον δὲ τούτου τὸ νῦν [c] εἰρημέ-
2 νον· οὐ γὰρ καταψύξεως [d] ἕνεκεν δέχεται τὸ ὑγρόν. Τοῦτο
[e] μὲν γὰρ γίνεται αὐτοῖς ἀναπνέουσιν· [f] ἔχουσι γὰρ πλεύ-
μονα. Διὸ [g] καὶ καθεύδουσιν ὑπερέχοντα τὸ στόμα, καὶ
ῥέγχουσιν οἵ [h] γε δελφῖνες. Ἔτι δὲ [i] κἂν ληφθῶσι τοῖς
δικτύοις, ταχὺ ἀποπνίγονται διὰ τὸ μὴ ἀναπνεῖν· [k] καὶ ἐπι-
πολάζοντα φαίνεται τὰ τοιαῦτα ἐπὶ τῆς θαλάττης διὰ τὴν
3 ἀναπνοήν. Ἀλλ' ἐπειδὴ ἀναγκαῖον ποιεῖσθαι τὴν τροφὴν
[l] ἐν ὑγρῷ, ἀναγκαῖον δεχόμενα τὸ ὑγρὸν ἀφιέναι, καὶ διὰ
τοῦτ' ἔχουσι πάντα τὸν αὐλόν· δεξάμενα γὰρ τὸ ὕδωρ,
ὥσπερ [m] οἱ ἰχθύες κατὰ [n] τὰ βράγχια, ταῦτα κατὰ τὸν
4 αὐλόν, ἀνασπᾷ τὸ ὕδωρ. Σημεῖον δὲ καὶ ἡ θέσις τοῦ αὐλοῦ·
πρὸς οὐθὲν γὰρ περαίνει τῶν ἐναίμων, ἀλλὰ πρὸ τοῦ ἐγκε-
φάλου τὴν θέσιν ἔχει, καὶ ἀφίησι τὸ ὕδωρ. Διὰ [o] ταὐτὸ δὲ
τοῦτο δέχεται καὶ τὰ μαλάκια [p] τὸ ὕδωρ [q] καὶ τὰ [r] μαλακό-
στρακα, λέγω [s] δ' οἷον τοὺς καλουμένους καράβους καὶ τοὺς
5 καρκίνους. Καταψύξεως μὲν γὰρ αὐτῶν οὐδὲν τυγχάνει δεό-

[s] τ' L. [t] ἀρτηρίας L. [v] βλάπτοιτο Z. [w] καὶ om. M. [x] καρχαρόδοντας Z, καρχαρόδοντα P.S. [y] πάντ' P.S. [z] ἐστίν P.S, om. M.Z. [a] δὲ] γὰρ S. [b] κἀκεῖ L.P. [c] ῥηθησόμενον P. [d] ἕνεκα M.S. [e] μὲν om. P. [f] ἔχουσι γὰρ] ἔχουσι μὲν γὰρ M.Z. [g] καὶ ante καθεύδουσιν om. M. [h] γε om. M Z. [i] ἂν ληφθῶσιν ἐν τοῖς M.Z. [k] καὶ] διὸ καὶ M.Z. [l] ἐν τῷ ὑγρῷ P. [m] οἱ om. M.Z. [n] τὰ om. L. [o] ταὐτὰ P. [p] τὸ] καὶ P. [q] καὶ τὰ] τὰ δὲ M.Z. [r] μαλάκια Z. [s] δ' om. M.Z.

*μενον· ὀλιγόθερμον γάρ ἐστι καὶ ἄναιμον ἕκαστον αὐτῶν,
ὥσθ' ἱκανῶς καταψύχεται ὑπὸ τοῦ περιέχοντος ὑγροῦ· ἀλλὰ
διὰ τὴν τροφήν, ὅπως μὴ ἅμα δεχομένοις* [t] *εἰσρέῃ τὸ ὑγρόν.
Τὰ μὲν οὖν μαλακόστρακα,* [v] *οἷον οἵ τε καρκίνοι καὶ οἱ κάρα-* 6
*βοι, παρὰ τὰ δασέα ἀφιᾶσι τὸ ὕδωρ διὰ τῶν* [w] *ἐπιπτυγμά-
των, σηπίαι δὲ καὶ πολύποδες διὰ τοῦ κοίλου τοῦ ὑπὲρ τῆς
καλουμένης κεφαλῆς. Γέγραπται δὲ περὶ* [x] *αὐτῶν δι' ἀκρι-* 7
*βείας μᾶλλον ἐν* [y] *ταῖς περὶ* [z] *τῶν ζῴων* [a] *ἱστορίαις. Περὶ
μὲν οὖν τοῦ* [b] *δέχεσθαι τὸ ὑγρόν, εἴρηται ὅτι συμβαίνει διὰ
κατάψυξιν καὶ διὰ τὸ δεῖν δέχεσθαι τὴν τροφὴν ἐκ τοῦ
ὑγροῦ* [c] *τὰ τὴν φύσιν ὄντα τῶν ζῴων* [d] *ἔνυδρα.*

*Περὶ δὲ τῆς καταψύξεως, τίνα γίνεται τρόπον τοῖς τ'* 13
*ἀναπνέουσι καὶ τοῖς ἔχουσι βράγχια, μετὰ ταῦτα λεκτέον.
Ὅτι μὲν οὖν ἀναπνέουσιν ὅσα* [e] *πνεύμονα τῶν ζῴων ἔχουσι,*
[f] *πρότερον εἴρηται. Διὰ τί δὲ τοῦτο τὸ μόριον ἔχουσιν* 2
*ἔνια, καὶ διὰ τί* [g] *τὰ ἔχοντα δεῖται τῆς ἀναπνοῆς, αἴτιον τοῦ
μὲν ἔχειν ὅτι τὰ τιμιώτερα τῶν ζῴων πλείονος* [h] *τετύχηκε
θερμότητος· ἅμα γὰρ ἀνάγκη καὶ ψυχῆς τετυχηκέναι τιμιω-
τέρας· τιμιώτερα γὰρ* [i] *τὰ τοιαῦτα τῆς φύσεως τῆς τῶν φυ-
τῶν. Διὸ καὶ τὰ μάλιστα ἔναιμον ἔχοντα τὸν πνεύμονα καὶ* 3
*θερμὸν μείζονά* [k] *τε τοῖς μεγέθεσι, καὶ* [l] *τό γε* [m] *καθαρωτά-
τῳ καὶ πλείστῳ* [n] *κεχρημένον αἵματι τῶν ζῴων* [o] *ὀρθότατόν
ἐστιν* [p] *ὁ ἄνθρωπος, καὶ τὸ ἄνω πρὸς τὸ τοῦ ὅλου ἄνω ἔχει
μόνον διὰ τὸ τοιοῦτον ἔχειν* [q] *τοῦτο τὸ μόριον. Ὥστε τῆς
οὐσίας καὶ τούτῳ καὶ τοῖς ἄλλοις θετέον αἴτιον* [r] *αὐτό, καθά-
περ ὁτιοῦν ἄλλο τῶν μορίων. Ἔχει μὲν οὖν* [s] *ἕνεκα τούτου.* 4
*Τὴν δ' ἐξ ἀνάγκης καὶ τῆς κινήσεως αἰτίαν* [t] *καὶ τὰ* [v] *τοιαῦτα*

[t] *εἰσρῇ* M.Z. [v] *οἷον οἵ τε*] *καὶ οἷον οἱ* M.Z. [w] *ἐπιπυγμάτων* S.
[x] *τούτων* M.Z. [y] *τοῖς* L.P.S. [z] *τῶν* om. L. [a] *ἱστορίας* L.P.S.
[b] *δέχεσθαι—δεῖν* om. M.Z. [c] *τὰ* om. M. [d] *ἔνυδρα*] *ἔνυδρα τοσαῦτα εἰρή-
σθω* M.Z. [e] *ἔχουσι τῶν ζώων πνεύμονα* S, *τῶν ζώων πνεύμονα ἔχουσι* Z.
[f] *εἴρηται πρότερον* L.P. [g] *τὰ* om. M.S.Z. [h] *τετύχηκε τῆς θερμότητος* L.
[i] *τὰ τοιαῦτα*] *ταῦτα* M.S.Z. [k] *τε* om. Z. [l] *τότε* L, *τῶν γε* M.Z.
[m] *καθαρώτατον* S. [n] *κεχρημένων* M.Z. [o] *ὀρθότητός* S. [p] *ὁ* om. M.P.Z.
[q] *τὸ μόριον τοῦτο* M. [r] *αὐτοῦ* M.Z. [s] *ἕνεκά του* M.Z. [t] *καὶ* om. P.
[v] *τοιαῦτα δεῖ νομίζειν* L.

*νομίζειν* [w] *συνεστάναι ζῷα,* [x] *καθάπερ καὶ μὴ τοιαῦτα πολλὰ*
*συνέστηκεν· τὰ μὲν γὰρ ἐκ* [y] *γῆς πλείονος* [z] *γέγονεν, οἷον τὸ*
*τῶν φυτῶν γένος, τὰ δ' ἐξ ὕδατος, οἷον* [a] *τὸ τῶν ἐνύδρων·*
*τῶν* [b] *δὲ πτηνῶν καὶ πεζῶν τὰ μὲν ἐξ ἀέρος τὰ δ' ἐκ πυρός.*
*Ἕκαστα* [c] *δ' ἐν τοῖς οἰκείοις τόποις ἔχει τὴν* [d] *τάξιν αὐτῶν.*
14 *Ἐμπεδοκλῆς δ' οὐ καλῶς τοῦτ' εἴρηκε, φάσκων τὰ* [e] *θερ-*
*μότατα καὶ πῦρ ἔχοντα πλεῖστον τῶν ζῴων ἔνυδρα εἶναι,*
[f] *φεύγοντα τὴν ὑπερβολὴν τῆς ἐν τῇ φύσει θερμότητος, ὅπως*
*ἐπειδὴ τοῦ ψυχροῦ καὶ τοῦ ὑγροῦ* [g] *ἐλλείπει, κατὰ τὸν τόπον*
[h] *ἀνασώζηται ἐναντία* [i] *ὄντα· θερμὸν γὰρ εἶναι τὸ ὑγρὸν*
2 *ἧττον τοῦ ἀέρος. Ὅλως μὲν οὖν ἄτοπον πῶς ἐνδέχεται*
[k] *γενόμενον ἕκαστον αὐτῶν ἐν τῷ ξηρῷ μεταβάλλειν τὸν*
*τόπον εἰς τὸ ὑγρόν· σχεδὸν γὰρ* [l] *καὶ ἄποδα τὰ πλεῖστα*
*αὐτῶν ἐστίν. Ὁ δὲ τὴν ἐξ ἀρχῆς αὐτῶν σύστασιν λέγων*
*γενέσθαι μὲν ἐν τῷ ξηρῷ φησί, φεύγοντα δ' ἐλθεῖν εἰς τὸ*
3 [m] *ὑγρόν. Ἔτι δ' οὔτε φαίνεται* [n] *θερμότερα ὄντα τῶν πε-*
*ζῶν· τὰ μὲν γὰρ ἄναιμα* [o] *πάμπαν, τὰ δ' ὀλίγαιμα αὐτῶν*
*ἐστίν. Ἀλλὰ ποῖα μὲν δεῖ λέγειν θερμὰ καὶ ψυχρά, καθ'*
*αὑτὰ τὴν ἐπίσκεψιν εἴληφεν· περὶ δ' ἧς αἰτίας εἴρηκεν Ἐμ-*
*πεδοκλῆς,* [p] *τῇ μὲν ἔχει τὸν ζητούμενον λόγον, οὐ μὴν* [q] *ὅ γε*
4 *φησὶν ἐκεῖνος ἀληθές. Τῶν μὲν γὰρ ἕξεων* [r] *τὰς ὑπερβολὰς*
[s] *ἔχοντας οἱ ἐναντίοι* [t] *τόποι καὶ ὧραι σώζουσιν, ἡ δὲ φύσις*
*ἐν τοῖς οἰκείοις σώζεται* [v] *μάλιστα τόποις. Οὐ γὰρ ταὐτὸν*
*ἥ θ' ὕλη τῶν ζῴων ἐξ ἧς ἐστὶν ἕκαστον, καὶ* [w] *αἱ ἕξεις* [x] *καὶ*
5 *διαθέσεις αὐτῆς. Λέγω δ'* [y] *οἷον εἴ τι ἐκ κηροῦ συστήσειεν*

[w] *συνιστάναι* M.P.Z, *συνεστάναι τὰ* L. [x] *καθάπερ καὶ τὰ τοιαῦτα μὴ πολλὰ* S, *καὶ μὴ καθάπερ πολλὰ τοιαῦτα* M.Z. [y] *πλ. γῆς* P, *τοῦ πλείονος* M. [z] *γέγονεν*] *συνέστηκεν* M.Z. [a] *τὰ* L.M. [b] *πτηνῶν δὲ* P. [c] *δὲ τοῖς οἰκείοις ἔχει τόποις* M.Z. [d] *αὔξησιν* S. [e] *θερμότατα μάλιστα καὶ* L.P.Z. [f] *φυγόντα τὴν ὑπεροχὴν* M.Z. [g] *ἐκλείπει* M. [h] *ἀνασώζῃ τὰ* M.Z, *ἀνισάζῃ τὰ* L. [i] *ὄντα*] *εἶναι* M.Z. [k] *γινόμενον* S. [l] *καὶ* ante *γὰρ* P, om. Z. [m] *ὕδωρ* M.Z. [n] *θερμότερον* L. [o] *πάντη* M, *πάντα* Z. [p] *πῇ* rc. L. [q] *τό γέ φησιν ἐκεῖνο* M.Z. [r] *τὰς*] *τοὺς τὰς* M.P.Z. [s] *ἔχοντες* S. [t] *τόποι καὶ αἱ ὧραι σώζουσιν* P, *σώζουσι τόποι καὶ ὧραι* L. [v] *μάλιστα* om. M.Z. [w] *αἱ* om. P. [x] *καὶ αἱ διαθέσεις* M.Z. [y] *οἷον* om. M.Z.

*ἡ φύσις, οὐκ [z] ἂν ἐν θερμῷ θεῖσα διέσωσεν, οὐδ' εἴ τι ἐκ κρυ-
στάλλου· ἐφθάρη γὰρ ἂν ταχὺ διὰ τοὐναντίον· τήκει γὰρ
τὸ θερμὸν τὸ ὑπὸ τοῦ ἐναντίου συστάν. Οὐδ' εἴ τι ἐξ ἁλὸς
ἢ νίτρου [a] συνέστησεν, οὐκ ἂν εἰς ὑγρὸν φέρουσα κατέθηκεν·
φθείρει γὰρ τὰ ὑπὸ [b] θερμοῦ καὶ ξηροῦ συστάντα τὸ ὑγρόν.
Εἰ [c] οὖν ὕλη πᾶσι τοῖς σώμασι [d] τὸ ὑγρὸν καὶ τὸ ξηρόν,* 6
*εὐλόγως τὰ μὲν ἐξ ὑγροῦ καὶ ψυχροῦ συστάντα ἐν ὑγροῖς
ἐστί, καὶ εἰ ψυχρά, [e] ἔσται ἐν ψυχρῷ, τὰ [f] δ' ἐκ ξηροῦ ἐν
ξηρῷ. Διὰ τοῦτο τὰ δένδρα οὐκ ἐν ὕδατι φύεται, ἀλλ' ἐν
[g] τῇ γῇ. Καί[h]τοι τοῦ αὐτοῦ λόγου [i] ἐστὶν εἰς τὸ ὕδωρ, διὰ* 7
*τὸ εἶναι [k] αὐτὰ ὑπέρξηρα, ὥσπερ τὰ ὑπέρπυρά φησιν ἐκεῖνος·
οὐ γὰρ διὰ τὸ ψυχρὸν ἦλθεν εἰς [l] αὐτό, ἀλλ' ὅτι ὑγρόν.
Αἱ μὲν [m] οὖν φύσεις τῆς ὕλης, ἐν [n] οἵῳπερ τόπῳ εἰσί, τοιαῦ-
ται οὖσαι τυγχάνουσιν, αἱ μὲν ἐν ὕδατι ὑγραί, αἱ δ' ἐν τῇ γῇ
ξηραί, αἱ δ' ἐν τῷ ἀέρι [o] θερμαί. Αἱ μέντοι ἕξεις αἱ μὲν* 8
*ὑπερβάλλουσαι θερμότητι ἐν ψυχρῷ, αἱ δὲ τῇ ψυχρότητι ἐν
θερμῷ τιθέμεναι σώζονται μᾶλλον· ἐπανισοῖ γὰρ [p] εἰς τὸ
μέτριον [q] ὁ τόπος τὴν τῆς ἕξεως ὑπερβολήν. Τοῦτο μὲν
[r] οὖν δεῖ ζητεῖν ἐν τοῖς οἰκείοις τόποις [s] ἑκάστης ὕλης, [t] καὶ
κατὰ τὰς μεταβολὰς τῆς κοινῆς ὥρας· τὰς μὲν γὰρ ἕξεις
ἐνδέχεται τοῖς [v] τόποις ἐναντίας εἶναι, τὴν δ' ὕλην ἀδύνατον.
[v]Ὅτι μὲν οὖν οὐ διὰ θερμότητα τῆς φύσεως τὰ μὲν ἔνυδρα τὰ* 9
*δὲ πεζὰ τῶν ζῴων ἐστί, καθάπερ [w] Ἐμπεδοκλῆς φησίν, το-
σαῦτ' εἰρήσθω, καὶ διότι τὰ μὲν οὐκ ἔχει πνεύμονα τὰ δὲ
ἔχει.*

*Διὰ τί δὲ τὰ ἔχοντα [x] δέχεται τὸν ἀέρα καὶ [y] ἀναπνέουσι,* 15
*καὶ μάλιστ' αὐτῶν ὅσα [z] ἔχουσιν ἔναιμον, αἴτιον τοῦ μὲν ἀνα-*

[z] *ἂν ἐκθερμανθεῖσα δ.* M.Z. [a] *συνέστηκεν* Z, *συνεστηκὸς* M. [b] *ξηροῦ καὶ θερμοῦ* L.P, *τοῦ ξηροῦ* Z, *ξηροῦ* M. [c] *γοῦν* P. [d] *τὸ ὑγρὸν* om. M. [e] *ἔσται*] *δ'* S. [f] *δ' ἐκ*] *δὲ καὶ* M. [g] *τῇ* om. P.S. [h] *τοι* om. M.Z. [i] *ἐστὶν*] *εἶναι* L. [k] *ταῦτα* Z. [l] *αὐτὸ ἀλλ' ὅτι*] *ὕδωρ ἄλλο τι* Z, *ὑπ' ἄλλο τι* M. [m] *οὖν* om. M.Z. [n] *ᾧπερ* L.M.S.Z. [o] *θερμαί*] *ψυχραί* M.Z. [p] *εἰς τὸ μέτρον* pr. P, *πρὸς τὸ μέτρον* Z, *καὶ τὸ μέτρον* M. [q] *ὁ*] *καὶ* M. [r] *οὖν δεῖ*] *δὴ* S. [s] *ἑκάστης ὕλης* om. M.Z. [t] *καὶ* om. L.S. [v] *τόποις καὶ ἐναντίας* M. [w] *φησὶν ἐμπεδοκλῆς* L. [x] *δέχεταί τε τὸν* P. [y] *ἀναγγέλουσι* S. [z] *ἔχει ἔναιμον* L, *ἔναιμον ἔχουσιν* M.Z.

πνεῖν ὁ πνεύμων σομφὸς ὢν καὶ συρίγγων πλήρης. Καὶ
ἐναιμότατον [a] δὴ μάλιστα τοῦτο τὸ μόριον τῶν καλουμένων
2 σπλάγχνων. Ὅσα [b] δὴ ἔχει ἔναιμον αὐτό, ταχείας [c] μὲν
[d] δεῖται τῆς καταψύξεως διὰ τὸ μικρὰν εἶναι τὴν ῥοπὴν τοῦ
ψυχικοῦ πυρός, [e] εἴσω δ' εἰσιέναι διὰ παντὸς διὰ τὸ πλῆθος
τοῦ αἵματος καὶ τῆς θερμότητος. Ταῦτα δ' ἀμφότερα ὁ
μὲν ἀὴρ δύναται ῥᾳδίως ποιεῖν· διὰ γὰρ τὸ λεπτὴν ἔχειν
[f] τὴν φύσιν διὰ παντός τε καὶ ταχέως διαδυόμενος διαψύχει·
3 τὸ δ' ὕδωρ τοὐναντίον. Καὶ διότι δὴ μάλιστ' ἀναπνέουσι
τὰ ἔχοντα [g] τὸν πνεύμονα ἔναιμον, ἐκ [h] τούτων δῆλον· τό τε
γὰρ θερμότερον πλείονος δεῖται [i] τῆς καταψύξεως, ἅμα δὲ
καὶ πρὸς τὴν ἀρχὴν τῆς θερμότητος τῆς ἐν τῇ καρδίᾳ πο-
ρεύεται τὸ πνεῦμα ῥᾳδίως.

16 Ὃν δὲ τρόπον ἡ καρδία τὴν [k] σύντρησιν ἔχει πρὸς τὸν
πλεύμονα, δεῖ θεωρεῖν ἔκ τε τῶν ἀνατεμνομένων καὶ τῶν
ἱστοριῶν τῶν περὶ τὰ ζῷα [l] γεγραμμένων. Καταψύξεως
μὲν οὖν ὅλως ἡ τῶν ζῴων δεῖται φύσις διὰ τὴν ἐν τῇ καρδίᾳ
τῆς ψυχῆς [m] ἐμπύρωσιν. Ταύτην δὲ ποιεῖται διὰ τῆς ἀνα-
πνοῆς, ὅσα μὴ μόνον ἔχουσι καρδίαν ἀλλὰ καὶ πνεύμονα τῶν
2 ζῴων. Τὰ δὲ καρδίαν μὲν ἔχοντα, πνεύμονα δὲ μή, καθάπερ
οἱ ἰχθύες διὰ τὸ ἔνυδρον [n] αὐτῶν τὴν φύσιν εἶναι, τῷ ὕδατι
ποιοῦνται τὴν κατάψυξιν διὰ τῶν βραγχίων. Ὡς δ' ἡ θέσις
ἔχει τῆς καρδίας πρὸς τὰ βράγχια, [o] πρὸς μὲν τὴν ὄψιν ἐκ
τῶν ἀνατομῶν δεῖ θεωρεῖν, [p] πρὸς δ' ἀκρίβειαν ἐκ τῶν ἱστο-
ριῶν· ὡς δ' ἐν κεφαλαίοις εἰπεῖν καὶ [q] νῦν, ἔχει τόνδε τὸν
3 τρόπον. Δόξειε μὲν γὰρ [r] ἂν [s] οὐχ ὡσαύτως ἔχειν τὴν θέσιν
ἡ καρδία τοῖς [t] τε πεζοῖς τῶν ζῴων καὶ τοῖς ἰχθύσιν, [v] ἔχει
δ' ὡσαύτως. Ἧι γὰρ νεύουσι τὰς [w] κεφαλάς, ἐνταῦθ' ἡ καρ-

[a] δὴ om. M.Z. [b] δὲ ἔχουσιν L. [c] μὲν om. Z. [d] δέονται L. [e] ἔσω δ' εἶναι M.Z. [f] διὰ παντὸς τὴν φύσιν P. [g] τὸν om. Z. [h] τούτου L. [i] τῆς om. M. [k] συντήρησιν M.Z. [l] γενομένων L. [m] ἐμπύρευσιν M.Z. [n] εἶναι αὐτῶν τὴν φύσιν M.Z. [o] πρὸς μὲν] κατὰ μὲν L. [p] πρὸς] κατὰ L. [q] νῦν δ' ἔχει τοῦτον τὸν S. [r] ἂν libris deest. [s] οὐχ—καρδία om. M.Z. [t] τε] δὲ P. [v] ἔχει—ἰχθύσι om. M.Z. [w] κεφαλὰς πᾶσιν ἐνταῦθ' P.

*δία τὸ ὀξὺ ἔχει. ˈἘπεὶ δὲ οὐχ ὡσαύτως αἱ κεφαλαὶ νεύουσι
τοῖς τε πεζοῖς τῶν ζῴων καὶ τοῖς ἰχθύσι, πρὸς τὸ στόμα ἡ
καρδία τὸ ὀξὺ* [x] *ἔχει.* Τ*είνει δ' ἐξ ἄκρου τῆς καρδίας αὐλὸς* 4
*φλεβονευρώδης εἰς τὸ μέσον, ᾗ συνάπτουσιν ἀλλήλοις πάντα
τὰ βράγχια.* Μ*έγιστος μὲν* [y] *οὖν οὗτός ἐστιν,* [z] *ἔνθεν δὲ
καὶ ἔνθεν τῆς καρδίας* [a] *καὶ ἕτεροι τείνουσιν εἰς ἄκρον ἑκάστου
τῶν βραγχίων, δι' ὧν ἡ κατάψυξις γίνεται πρὸς τὴν καρ-
δίαν, διαυλωνίζοντος ἀεὶ τοῦ ὕδατος διὰ τῶν βραγχίων.
ˈΩσαύτως* [b] *δὲ τοῖς ἀναπνέουσιν ὁ θώραξ ἄνω καὶ κάτω κινεῖ-* 5
*ται πολλάκις δεχομένων τὸ πνεῦμα καὶ* [c] *ἐξιέντων, ὡς τὰ
βράγχια τοῖς ἰχθύσιν.* Κ*αὶ τὰ μὲν ἀναπνέοντα ἐν* [d] *ὀλίγῳ
ἀέρι καὶ τῷ αὐτῷ ἀποπνίγονται· ταχέως γὰρ* [e] *ἑκάτερον
αὐτῶν γίνεται θερμόν· θερμαίνει γὰρ ἡ τοῦ αἵματος θίξις
ἑκάτερον.* Θ*ερμὸν δ' ὂν τὸ αἷμα κωλύει τὴν κατάψυξιν· καὶ* 6
*μὴ δυναμένων κινεῖν τῶν μὲν ἀναπνεόντων τὸν πνεύμονα τῶν
δ' ἐνύδρων τὰ βράγχια* [f] *διὰ πάθος ἢ διὰ γῆρας, τότε* [g] *συμ-
βαίνειν τὴν τελευτήν.*

*ˈἜστι μὲν οὖν πᾶσι τοῖς ζῴοις κοινὸν γένεσις* [h] *καὶ θάνα-* 17
*τος, οἱ δὲ τρόποι διαφέρουσι τῷ εἴδει· οὐ γὰρ* [i] *ἀδιάφορος ἡ
φθορά, ἀλλ' ἔχει τι κοινόν.* Θ*άνατος δ' ἐστὶν ὁ μὲν βίαιος
ὁ δὲ κατὰ φύσιν, βίαιος μὲν ὅταν ἡ ἀρχὴ* [k] *ἔξωθεν ᾖ, κατὰ
φύσιν δ' ὅταν ἐν αὐτῷ.* Κ*αὶ ἡ τοῦ μορίου σύστασις* [l] *ἐξ
ἀρχῆς τοιαύτη, ἀλλὰ μὴ ἐπίκτητόν τι πάθος.* Τ*οῖς μὲν οὖν* 2
*φυτοῖς αὔανσις, ἐν δὲ τοῖς* [m] *ζῴοις καλεῖται τοῦτο γῆρας.*
[n] *ˈἜστι δὲ θάνατος* [o] *καὶ ἡ φθορὰ πᾶσιν ὁμοίως τοῖς μὴ
ἀτελέσιν· τούτοις δὲ* [p] *παρομοίως μέν, ἄλλον δὲ τρόπον.
ˈἈτελῆ δὲ λέγω οἷον τά τε ᾠὰ καὶ τὰ σπέρματα τῶν φυτῶν,
ὅσα ἄρριζα.* Π*ᾶσι μὲν οὖν ἡ φθορὰ γίνεται διὰ θερμοῦ*

[x] *ἔχειν* M.Z. [y] *οὖν* om. M. [z] *ἐνθένδε καὶ ἐνθένδε* M.Z. [a] *τεί-
νουσι καὶ ἕτεροι* S. [b] *δὲ ἀναπνέουσιν ὧν ὁ* Z. [c] *ἐξιόντων* L.M.Z.
[d] *ὀλίγῳ τῷ ἀέρι* L. [e] *ἑκάτερον* om. L. [f] *διά τι πάθος ἢ γῆρας* M.Z.
[g] *συμβαίνει* S. [h] *καὶ θάνατος* om. M.Z. [i] *ἀδιάφθορος* S. [k] *ἔξω*
M.P.S. [l] *ἐξ ἀρχῆς τοιαύτης* L.S, *τοιαύτη ἐξ ἀρχῆς* M.Z. [m] *ζῴοις*]
*φυτοῖς* M. [n] *ἔστι δ' ὁ θ.* P, *οἷς δ' ἐστι θ.* Z. [o] *καὶ*] *τούτοις καὶ* Z,
*τοῦτο καὶ* M. [p] *παρόμοιος* S.

τινὸς ἔκλειψιν, τοῖς δὲ τελείοις, ἐν ᾧ τῆς οὐσίας ἡ ἀρχή.
3 Αὕτη δ' ἐστίν, ὥσπερ εἴρηται πρότερον, ἐν ᾧ τό τε ἄνω καὶ
τὸ κάτω συνάπτει, τοῖς [q] μὲν φυτοῖς μέσον βλαστοῦ καὶ
ῥίζης, τῶν δὲ ζῴων τοῖς μὲν ἐναίμοις ἡ καρδία, [r] τοῖς δ' ἀναί-
μοις τὸ ἀνάλογον. Τούτων [s] δ' ἔνια δυνάμει πολλὰς ἀρχὰς
4 [t] ἔχουσιν, οὐ μέντοι γε ἐνεργείᾳ. Διὸ καὶ τῶν ἐντόμων ἔνια
διαιρούμενα [v] ζῶσι, καὶ τῶν ἐναίμων ὅσα [w] μὴ ζωτικὰ λίαν
εἰσί, πολὺν [x] χρόνον ζῶσιν ἐξῃρημένης τῆς καρδίας, οἷον αἱ
χελῶναι καὶ [y] κινοῦνται τοῖς ποσίν, [z] ἑπόντων τῶν [a] χελωνίων,
διὰ τὸ μὴ συγκεῖσθαι τὴν φύσιν αὐτῶν εὖ, παραπλησίως [b] δὲ
5 τοῖς ἐντόμοις. Ἡ [c] δ' ἀρχὴ τῆς [d] ζωῆς ἐκλείπει τοῖς ἔχου-
σιν, ὅταν μὴ [e] καταψύχηται [f] τὸ θερμὸν τὸ [g] κοινωνοῦν αὐ-
τῆς. Καθάπερ [h] γὰρ εἴρηται πολλάκις, συντήκεται [i] αὐτὸ
6 ὑφ' αὑτοῦ. [k] Ὅταν οὖν τοῖς μὲν ὁ πλεύμων τοῖς δὲ τὰ
βράγχια σκληρύνηται, διὰ χρόνου μῆκος [l] ξηραινομένων τοῖς
μὲν τῶν βραγχίων τοῖς δὲ τοῦ πλεύμονος, καὶ γινομένων
γεηρῶν, οὐ [m] δύναται ταῦτα τὰ μόρια κινεῖν οὐδ' αἴρειν καὶ
συνάγειν. Τέλος δὲ [n] γινομένης ἐπιτάσεως καταμαραίνεται
7 τὸ πῦρ. Διὸ καὶ μικρῶν παθημάτων ἐπιγινομένων [o] ἐν τῷ
γήρᾳ ταχέως τελευτῶσιν· διὰ γὰρ τὸ ὀλίγον εἶναι τὸ θερ-
μόν, ἅτε τοῦ πλείστου διαπεπνευκότος ἐν τῷ πλήθει τῆς
ζωῆς, [p] ἥτις ἂν [q] ἐπίτασις [r] γένηται τοῦ μορίου, ταχέως ἀπο-
σβέννυται· [s] ὥσπερ γὰρ ἀκαριαίας καὶ μικρᾶς ἐν αὐτῷ φλο-
8 γὸς ἐνούσης διὰ μικρὰν κίνησιν ἀποσβέννυται. Διὸ καὶ ἄλυ-
πός [t] ἐστιν ὁ ἐν τῷ γήρᾳ θάνατος· οὐδενὸς γὰρ [v] βιαίου
πάθους αὐτοῖς συμβαίνοντος τελευτῶσιν, ἀλλ' ἀναίσθητος ἡ

[q] μὲν οὖν φ. L. [r] τῶν δ' ἀναίμων P.S. [s] δέ τινα L.P.S. [t] ἔχει L. [v] ζῶσι καὶ τῶν] ζῶσι τῶν δ' M. [w] μὴ ζωτικὰ λίαν εἰσὶ rc. Z. [x] ζῶσι χρόνον S. [y] κινεῖται P. [z] ἔτι ὄντων L.P.S. [a] χελωνιδίων διὰ τὸ μὴ κινεῖσθαι M.Z. [b] δὲ om. L.P.S. [c] δ'] τε M.Z. [d] ζωῆς] ἀρχῆς M. [e] καταψυχῇ καὶ M.Z. [f] τὸ θερμὸν om. M.S.Z. [g] κοινωνὸν P. [h] γὰρ om. P. [i] αὐτὸ om. M.Z. [k] ὅταν μὲν οὖν M.Z. [l] ξηραινομένων] σκληραινομένων M.Z. [m] δύνανται M.S, δυναμένων Z. [n] γινομένης τῆς ἐπιτάσεως M.Z. [o] ἐν τῷ γήρᾳ om. L. [p] ἥτις ἂν] ἄν τις P. [q] ἐπίστασις S. [r] γίνηται L. [s] ὥσπερ—ἀποσβέννυται om. M.Z. [t] ἐστιν post θάνατος P. [v] βιαίου] ἐναντίου L.

τῆς ψυχῆς ἀπόλυσις γίνεται παντελῶς. Καὶ τῶν νοσημά- 9
των ὅσα [w] ποιοῦσι τὸν πνεύμονα σκληρὸν ἢ φύμασιν ἢ πε-
ριττώμασιν [x] ἢ θερμότητος [y] νοσηματικῆς ὑπερβολῇ, καθά-
περ ἐν τοῖς πυρετοῖς, πυκνὸν τὸ πνεῦμα ποιοῦσι διὰ τὸ μὴ
δύνασθαι τὸν πνεύμονα μακρὰν αἴρειν ἄνω καὶ συνίζειν.
Τέλος δ', ὅταν [z] μηκέτι δύνωνται κινεῖν, τελευτῶσιν ἀπο-
πνεύσαντες.

Γένεσις μὲν οὖν ἐστὶν ἡ πρώτη μέθεξις ἐν τῷ θερμῷ τῆς 18
θρεπτικῆς ψυχῆς, ζωὴ δ' ἡ μονὴ ταύτης. Νεότης δ' ἐστὶν ἡ
τοῦ πρώτου καταψυκτικοῦ μορίου αὔξησις, γῆρας δ' ἡ τούτου
φθίσις, ἀκμὴ δὲ [a] τὸ τούτων μέσον. Τελευτὴ δὲ καὶ φθορὰ 2
βίαιος μὲν ἡ τοῦ θερμοῦ σβέσις καὶ μάρανσις· φθαρείη [b] γὰρ
ἂν δι' ἀμφοτέρας ταύτας τὰς αἰτίας, ἡ δὲ κατὰ φύσιν τοῦ
αὐτοῦ τούτου μάρανσις διὰ χρόνου μῆκος [c] γινομένη καὶ [d] τε-
λειότητα. Τοῖς μὲν οὖν φυτοῖς αὔανσις, ἐν δὲ τοῖς ζῴοις 3
καλεῖται θάνατος. [e] Τούτου δ' ὁ μὲν ἐν γήρᾳ θάνατος μά-
ρανσις τοῦ μορίου δι' ἀδυναμίαν τοῦ καταψύχειν ὑπὸ γήρως.
Τί μὲν οὖν ἐστὶ γένεσις καὶ ζωὴ καὶ θάνατος, καὶ διὰ τίνας
αἰτίας ὑπάρχουσι τοῖς ζῴοις, εἴρηται.

Δῆλον δ' ἐκ τούτων καὶ διὰ τίν' αἰτίαν τοῖς μὲν ανα- 19
πνέουσι τῶν ζῴων [f] ἀποπνίγεσθαι συμβαίνει ἐν τῷ ὑγρῷ, τοῖς
δ' ἰχθύσιν ἐν τῷ ἀέρι· τοῖς μὲν γὰρ διὰ τοῦ ὕδατος [g] ἡ κα-
τάψυξις γίνεται, τοῖς δὲ διὰ τοῦ ἀέρος, ὧν [h] ἑκάτερα [i] στερί-
σκεται μεταβάλλοντα τοὺς [k] τόπους. Ἡ δ' αἰτία τῆς κινή- 2
σεως τοῖς μὲν τῶν βραγχίων τοῖς δὲ τοῦ πνεύμονος, ὧν αἰρο-
μένων καὶ συνιζόντων τὰ μὲν ἐκπνέουσι [l] καὶ εἰσπνέουσι τὰ
δὲ δέχονται τὸ ὑγρὸν καὶ [m] ἐξιᾶσιν, ἔτι δ' ἡ σύστασις τοῦ
ὀργάνου, τόνδ' ἔχει τὸν τρόπον.

[n] Τρία ἐστὶ τὰ συμβαίνοντα περὶ τὴν καρδίαν, ἃ δοκεῖ 20

[w] τὸν πνεύμονα ποιοῦσι P. [x] ἢ ante θερμότητος om. M.Z. [y] νοσηματικοῦ L. [z] μηκέτι] μηδὲν L. [a] τὸ] ἡ MZ. [b] γὰρ] δ' S. [c] γενομένη L. [d] τελειοτάτη M.Z. [e] τούτου—θάνατος om. M.Z. [f] καταπνίγεσθαι L. [g] ἡ om. P. [h] ἑκατέρας L. [i] στερίσκονται L.S. [k] τόπους] exit S. [l] καὶ εἰσπνέουσι om. M.Z. [m] ἀφιᾶσιν Z. [n] τρία δ' ἐστὶ L.P.S.

τὴν αὐτὴν φύσιν ἔχειν, ἔχει δ' οὐ τὴν αὐτήν, πήδησις [o] καὶ
2 [p] σφυγμὸς καὶ [q] ἀναπνοή. Πήδησις μὲν οὖν ἐστὶ σύνωσις
τοῦ θερμοῦ τοῦ ἐν αὐτῇ διὰ κατάψυξιν περιττωματικὴν ἢ
συντηκτικήν, οἷον ἐν τῇ νόσῳ τῇ καλουμένῃ [r] παλμῷ, καὶ ἐν
ἄλλαις δὲ νόσοις, καὶ [s] ἐν τοῖς φόβοις δέ· καὶ γὰρ οἱ [t] φο-
βούμενοι καταψύχονται τὰ ἄνω, τὸ δὲ θερμὸν ὑποφεῦγον
καὶ συστελλόμενον ποιεῖ τὴν πήδησιν, εἰς μικρὸν συνωθούμε-
νον οὕτως ὥστ' ἐνίοτ' ἀποσβέννυσθαι τὰ ζῷα καὶ ἀποθνήσκειν
3 διὰ φόβον καὶ διὰ πάθος [v] νοσηματικόν. Ἡ δὲ συμβαίνουσα
σφύξις [w] τῆς καρδίας, ἣν ἀεὶ φαίνεται ποιουμένη συνεχῶς,
[x] ὁμοία φύμασίν ἐστιν, ἣν [y] ποιοῦνται κίνησιν μετ' ἀλγηδόνος
διὰ τὸ παρὰ φύσιν εἶναι τῷ αἵματι τὴν μεταβολήν. Γί-
4 νεται δὲ [z] μέχρι οὗ ἂν [a] πυωθῇ πεφθέν. Ἔστι δ' ὅμοιον
ζέσει [b] τοῦτο τὸ πάθος· ἡ γὰρ ζέσις γίνεται πνευματου-
μένου τοῦ ὑγροῦ ὑπὸ τοῦ θερμοῦ· αἴρεται γὰρ διὰ τὸ πλείω
γίνεσθαι τὸν ὄγκον. [c] Παῦλα δ' ἐν μὲν τοῖς [d] φύμασιν, ἐὰν
μὴ διαπνεύσῃ, [e] παχυτέρου γινομένου τοῦ ὑγροῦ, σῆψις, τῇ
5 [f] δὲ ζέσει ἡ ἔκπτωσις διὰ τῶν [g] ὀριζόντων. Ἐν δὲ τῇ καρ-
δίᾳ ἡ τοῦ ἀεὶ προσιόντος [h] ἐκ [i] τῆς τροφῆς ὑγροῦ διὰ τῆς
θερμότητος ὄγκωσις ποιεῖ σφυγμόν, [k] αἰρομένη πρὸς τὸν
ἔσχατον [l] χιτῶνα τῆς καρδίας. Καὶ τοῦτ' ἀεὶ γίνεται συνε-
χῶς· [m] ἐπιρρεῖ γὰρ ἀεὶ τὸ ὑγρὸν συνεχῶς, ἐξ οὗ γίνεται
ἡ τοῦ αἵματος [n] φύσις· [o] πρῶτον γὰρ ἐν τῇ καρδίᾳ δημιουρ-
6 γεῖται. Δῆλον δ' ἐν τῇ γενέσει ἐξ ἀρχῆς· οὔπω γὰρ διωρι-
σμένων τῶν φλεβῶν φαίνεται ἔχουσα αἷμα. Καὶ διὰ τοῦτο
σφύζει μᾶλλον τοῖς νεωτέροις τῶν πρεσβυτέρων· γίνεται

[o] καὶ utrumque om. MZ. [p] σφαγμὸς L, σφύξις M.Z. [q] τὸ τῆς ἀναπνοῆς L. [r] πάλλῃ M, πάλλειν Z. [s] ἐν om. P. [t] φοβούμενοι] φόβοι M.Z. [v] νοσημάτων P. [w] τῇ καρδίᾳ Z. [x] ὁμοία τοῖς ἐμφύμασιν Z, ὁμοία τοῖς ἐμφυσήμασιν M. [y] ποιεῖται M. [z] μέχρις M.Z. et omisso οὗ L. [a] ποιωθῇ M.Z. [b] τὸ πάθος τοῦτο P. [c] πολλὰ M.Z. [d] φυσήμασιν L. [e] παχύτερον γινόμενον, omissis τοῦ ὑγροῦ, M.Z. [f] δὲ om. M. [g] ἀφριζόντων M.Z. [h] ἐκ] καὶ ἐκ M.Z. [i] τῆς τροφῆς] τοῦ L. [k] αἰρομένη] διαιρον Z, διερὸν M. [l] τῇ καρδίᾳ χιτῶνα L. [m] ἐπιρρεῖ—συνεχῶς om. M.Z. [n] σφύξις M.Z. [o] πρῶτον—δημιουργεῖται om. M.Z.

γὰρ ἡ ἀναθυμίασις πλείων τοῖς νεωτέροις. Καὶ σφύζουσιν 7
αἱ φλέβες πᾶσαι, καὶ ἅμα ἀλλήλαις, διὰ τὸ ἠρτῆσθαι [p] ἐκ
τῆς καρδίας. [q] Κινεῖ δ' ἀεί· ὥστε κἀκεῖναι αἰεί, [r] καὶ ἅμα ἀλ-
λήλαις, [s] ὅτε κινεῖ. ʽΑναπήδησις μὲν οὖν [t] ἐστὶν ἡ γινομένη
ἄντωσις πρὸς τὴν τοῦ ψυχροῦ [v] σύνωσιν, σφύξις δ' ἡ τοῦ
ὑγροῦ θερμαινομένου πνευμάτωσις.

ʽΗ δ' ἀναπνοὴ γίνεται αὐξανομένου τοῦ θερμοῦ, ἐν ᾧ ἡ 21
ἀρχὴ ἡ θρεπτική. Καθάπερ γὰρ καὶ τἆλλα δεῖται τροφῆς,
[w] κἀκεῖνο, καὶ τῶν ἄλλων [x] μᾶλλον· καὶ γὰρ τοῖς ἄλλοις
[y] ἐκεῖνο τῆς τροφῆς αἴτιόν ἐστιν. ʽΑνάγκη [z] δὴ [a] πλέον γινό-
μενον αἴρειν τὸ ὄργανον. Δεῖ δ' ὑπολαβεῖν τὴν σύστασιν 2
τοῦ ὀργάνου παραπλησίαν μὲν εἶναι ταῖς φύσαις ταῖς [b] ἐν
τοῖς χαλκείοις· οὐ πόρρω γὰρ οὔθ' ὁ πνεύμων οὔθ' ἡ [c] καρ-
δία πρὸς τὸ δέξασθαι σχῆμα τοιοῦτον· διπλοῦν δ' εἶναι τὸ
τοιοῦτον· δεῖ γὰρ ἐν τῷ μέσῳ τὸ θρεπτικὸν εἶναι τῆς φυσι-
κῆς δυνάμεως. Αἴρεται μὲν οὖν [d] πλεῖον [e] γενόμενον, αἰρο-
μένου δ' ἀναγκαῖον αἴρεσθαι καὶ τὸ περιέχον [f] αὐτὸ μόριον.
ʽΟπερ φαίνονται ποιεῖν οἱ ἀναπνέοντες· αἴρουσι γὰρ τὸν 3
θώρακα διὰ τὸ τὴν ἀρχὴν τὴν [g] ἐνοῦσαν αὐτῷ τοῦ τοιούτου
μορίου ταὐτὸ τοῦτο ποιεῖν· αἰρομένου [h] γάρ, καθάπερ εἰς τὰς
[i] φύσας, ἀναγκαῖον [k] εἰσφέρειν τὸν ἀέρα τὸν θύραθεν, [l] καὶ
ψυχρὸν ὄντα καὶ [m] καταψύχοντα σβεννύναι τὴν [n] ὑπεροχὴν
[o] τὴν τοῦ πυρός. ʽΩσπερ [p] δ' [q] αὐξανομένου ἤρετο τοῦτο τὸ 4
μόριον, καὶ φθίνοντος ἀναγκαῖον συνίζειν, καὶ συνίζοντος
ἐξιέναι τὸν ἀέρα τὸν [r] εἰσελθόντα πάλιν, εἰσιόντα μὲν ψυ-
χρὸν ἐξιόντα δὲ θερμὸν διὰ τὴν ἁφὴν τοῦ θερμοῦ τοῦ ἐνόντος
ἐν τῷ μορίῳ τούτῳ, καὶ μάλιστα τοῖς [s] τὸν πνεύμονα [t] ἐναι-

[p] ἐκ] μὲν ἐκ M. [q] κινεῖται δ' ἀεί, ὥστε κἀκείνη M.Z. [r] καὶ πᾶσαι ἅμα L. [s] ὅτι M.P. [t] ἐστὶν om. L. [v] σύνωσιν] ὕπνωσιν M. et fortasse Z. [w] κἀκεῖνο—τῆς τροφῆς om. M.Z. [x] μᾶλλον] μόνον L. [y] κακεῖνο P. [z] δὲ M.Z. [a] πλέον P, om. M. [b] ἐν om. M. [c] καρδία προσδέξασθαι M.P.Z. [d] πλέον M.Z. [e] γινόμενον P. [f] μόριον αὐτό M.Z. [g] ἐνοῦσαν ἐν αὐτῷ P.Z, ἐνοῦσαν ἐν αὐτῇ M. [h] γὰρ] δὲ L. [i] φύσσας P. [k] an εἰσφρεῖν? [l] καὶ ante ψυχρὸν om. M.Z. [m] καταψύχεσθαι M.Z. [n] ὑπερβολὴν M.Z. [o] τὴν om. L. [p] δ'—τὸ om. M.Z. [q] αὐξομένου L. [r] εἰσιόντα P. [s] τὸν om. P. [t] ἔχουσιν ἔναιμον P, ἔχουσιν ἄναιμον M.

μον ἔχουσιν· εἰς πολλοὺς γὰρ οἷον αὐλῶνας τὰς σύριγγας
[v] ἐμπίπτειν τὰς ἐν τῷ [w] πνεύμονι, ὧν παρ' ἑκάστην [x] παρα-
τέτανται φλέβες, ὥστε δοκεῖν ὅλον εἶναι τὸν πνεύμονα πλήρη
5 αἵματος. Καλεῖται δ' ἡ μὲν εἴσοδος τοῦ ἀέρος ἀναπνοή, ἡ
δ' ἔξοδος ἐκπνοή. Καὶ ἀεὶ δὴ τοῦτο γίνεται συνεχῶς, ἕως
[y] περ ἂν ζῇ καὶ [z] κινῇ τοῦτο τὸ μόριον συνεχῶς. Καὶ διὰ
τοῦτο ἐν τῷ ἀναπνεῖν καὶ ἐκπνεῖν ἐστὶ τὸ ζῆν. Τὸν αὐτὸν
δὲ τρόπον [a] καὶ τοῖς ἰχθύσιν ἡ κίνησις γίνεται τῶν βραγ-
6 χίων. Αἱρομένου [b] μὲν γὰρ τοῦ θερμοῦ τοῦ ἐν τῷ αἵματι
διὰ [c] τῶν μορίων αἴρονται καὶ τὰ βράγχια, καὶ διιᾶσι τὸ
ὕδωρ· κατιόντος δὲ πρὸς τὴν καρδίαν διὰ τῶν πόρων καὶ
καταψυχομένου συνίζουσι, καὶ [d] ἀφιᾶσι τὸ ὕδωρ. Ἀεὶ δ' αἰ-
ρομένου τοῦ ἐν [e] τῇ καρδίᾳ, ἀεὶ δέχεται πάλιν καταψυχο-
μένου. Διὸ κἀκείνοις τοῦ ζῆν καὶ μὴ ζῆν [f] τὸ τέλος [g] ἐστὶν
ἐν τῷ ἀναπνεῖν, καὶ τούτοις ἐν τῷ δέχεσθαι τὸ ὑγρόν.
7 Περὶ μὲν [h] οὖν ζωῆς καὶ θανάτου καὶ τῶν συγγενῶν ταύ-
της τῆς σκέψεως, σχεδὸν εἴρηται περὶ [i] πάντων. Περὶ δὲ
ὑγιείας καὶ νόσου οὐ μόνον ἐστὶν ἰατροῦ ἀλλὰ καὶ τοῦ φυσι-
κοῦ μέχρι [k] του τὰς αἰτίας εἰπεῖν. Ἧι δὲ διαφέρουσι καὶ ᾗ
διαφέροντα [l] θεωροῦσιν, οὐ δεῖ λανθάνειν, [m] ἐπεὶ ὅτι γε σύνο-
ρος ἡ πραγματεία μέχρι τινός ἐστι, μαρτυρεῖ τὸ γινόμενον·
τῶν τε γὰρ ἰατρῶν ὅσοι κομψοὶ [n] ἢ περίεργοι, λέγουσί [o] τι
[p] περὶ φύσεως καὶ τὰς ἀρχὰς ἐκεῖθεν ἀξιοῦσι λαμβάνειν, καὶ
τῶν περὶ φύσεως πραγματευθέντων οἱ χαριέστατοι σχεδὸν
τελευτῶσιν [q] εἰς τὰς ἀρχὰς τὰς ἰατρικάς.

[v] ἐμπίπτειν τὰς om. M.Z. [w] πνευμονίῳ παρ' M, πνεύμονι παρ' Z. [x] παρατέτανται] σύριγγα τέτανται Z, σύριγγά τε πάντη M. [y] περ om. M.Z. [z] κινεῖ Z. [a] καὶ ἐν τοῖς L. [b] μὲν om. L.M.Z. [c] τοῦ μορίου L. [d] ἀφανίζουσι M.Z. [e] τῇ om. M.P.Z. [f] τὸ om. M. [g] ἐστὶ ζῆν ἐν P, ἐστὶ τοῦ ζῆν ἐν L. [h] οὖν om. L. [i] ἁπάντων L. [k] τοῦ] που L.M.P. [l] θεωροῦσιν] κοινωνοῦσιν P. [m] ἐπεὶ δὲ ὅτι Z. [n] ἢ] καὶ M.Z. [o] τε L.P. [p] παρὰ φύσιν M. [q] εἰς τὰς ἰατρικὰς ἀρχάς L.

# ΠΕΡΙ ΠΝΕΥΜΑΤΟΣ.

ΤΙΣ ἡ τοῦ ἐμφύτου πνεύματος [a] διαμονή, καὶ τίς ἡ αὔ-
ξησις; Ὁρῶμεν γὰρ ὅτι πλέον καὶ ἰσχυρότερον γίνεται καὶ
καθ' ἡλικίας μεταβολὴν καὶ [b] κατὰ διάθεσιν σώματος. Ἢ
ὡς τἆλλα [c] μέρη, προσγινομένου τινός. Προσγίνεται δὲ
τροφὴ τοῖς ἐμψύχοις, ὥστε ταύτην σκεπτέον ποία τε καὶ
πόθεν. Δύο δὴ τρόποι δι' ὧν γίνεται, ἢ διὰ τῆς ἀναπνοῆς, 2
ἢ διὰ τῆς κατὰ τὴν τῆς τροφῆς προσφορὰν πέψεως, καθά-
περ τοῖς ἄλλοις. Τούτων ἴσως οὐχ ἧττον ἂν οὐχ οὕτω
[d] δόξειεν διὰ τῆς τροφῆς· σῶμα γὰρ ὑπὸ σώματος τρέφεται,
τὸ δὲ πνεῦμα σῶμα. Τίς οὖν ὁ τρόπος; Ἢ δῆλον ὡς ἐκ
τῆς φλεβὸς ὁλκῇ τινὶ καὶ πέψει. Τὸ γὰρ αἷμα ἡ ἐσχάτη 3
τροφὴ καὶ ἡ [e] αὐτὴ πᾶσιν. Ὥσπερ οὖν καὶ εἰς τὸ ἀγγεῖον
αὐτοῦ καὶ εἰς τὸ περιεχόμενον λαμβάνει τροφὴν εἰς τὸ θερ-
μόν. Ἄγει δ' ὁ ἀὴρ τὴν ἐνέργειαν ποιῶν, τήν τε πεπτικὴν
αὐτὸς αὐτῷ προστιθεὶς αὔξει καὶ τρέφει. Οὐδὲν δ' ἴσως
ἄτοπον αὐτό γε τοῦτο, ἀλλὰ γενέσθαι τὸ πρῶτον ἐκ τῆς
τροφῆς. Καθαρώτερον γὰρ ὃ τῇ ψυχῇ συμφυές, εἰ μὴ 4
καὶ τὴν ψυχὴν ὕστερον [f] λέγοι γίνεσθαι, διακρινομένων τῶν
σπερμάτων καὶ εἰς φύσιν ἰόντων. Εἴτε περίττωμα πάσης
τροφῆς ἐστί, ποίᾳ διαπέμπεται [g] τοῦτο; Κατὰ μὲν γὰρ τὴν
ἐκπνοὴν οὐκ εὔλογον· ἀντιλαμβάνει γὰρ εὐθύς. Λοιπὸν δὲ
δῆλον ὅτι διὰ τῶν τῆς ἀρτηρίας πόρων. Τὸ δ' ἐκκρινόμενον 5
ἤτοι λεπτότερον ἢ παχύτερον. Ἀμφοτέρως δ' ἄτοπον, εἰ
τοῦτο πάντων ἔσται καθαρώτατον. Εἰ δὲ παχύτερον, ἔσον-

Codices L.P.Q.Z.B[a]. [a] διαμονὴν Q. [b] κατὰ om. L.P.Q.B[a].
[c] μείνῃ Q. [d] δόξει Z, δόξῃ P.Q.B[a]. et pr. L. [e] αὐτή ἐστι πᾶσιν
L.P.Q.B[a]. [f] λέγει L.P.Q.B[a]. [g] τούτων L.P.Q.

ταί τινες πόροι μείζους. Εἰ δ' ἄρα κατὰ τοὺς αὐτοὺς λαμ-
βάνει καὶ ἐκπέμπει, τοῦτ' [h] αὐτὸ παράλογον καὶ ἄτοπον.
Ἡ μὲν οὖν ἐκ τῆς τροφῆς αὔξησις καὶ διαμονὴ σχεδὸν
ταῦτα.

2 Ἡ δ' ἐκ τῆς ἀναπνοῆς, ὥσπερ Ἀριστογένης οἴεται ([i] τρο-
φὴν γὰρ οἴεται καὶ τὸ πνεῦμα πεττόμενον, οὐ τοῦ ἀέρος ἐν
τῷ πνεύματι· τοῦτο δ' εἰς τὰ ἀγγεῖα διαδίδοσθαι, τὸ πε-
ρίττωμα πάλιν ἐκπέμπεσθαι) πλείους ἔχει τὰς ἀπορίας.
Ἥ τε γὰρ πέψις ὑπὸ τίνος; Εἰκὸς μὲν γὰρ ὑπ' αὐτοῦ, κα-
2 θάπερ καὶ τῶν ἄλλων. Αὐτὸ δὲ τοῦτ' ἄτοπον, εἰ μὴ δια-
φέρει τοῦ ἔξω ἀέρος· οὕτω δ' ἡ θερμότης ἂν πέττοι. Καὶ
μὴν καὶ παχύτερον αὐτὸν εὔλογον εἶναι μεθ' [k] ὑγρότητος τῆς
ἀπὸ τῶν ἀγγείων [l] ὄντα καὶ τῶν ὅλων ὄγκων, ὥσθ' ἡ πέψις
ἂν εἰς τὸ σωματῶδες εἴη. Τὸ δὲ περίττωμα, εἴπερ γίνεται
3 λεπτότερον, οὐ πιθανόν. Ἄλογος δὲ καὶ ἡ [m] ταχυτὴς τῆς
πέψεως. Εὐθὺς γὰρ μετὰ τὴν εἰσπνοὴν ἡ ἐκπνοή. Τί οὖν
τὸ οὕτω ταχὺ μεταβάλλον καὶ ἀλλοιοῦν; Ὑπολάβοι γὰρ
ἄν τις μάλιστα τὸ θερμόν, [n] καὶ μαρτυρεῖ οὕτως ἡ αἴσθησις·
4 ὁ γὰρ ἐκπνεόμενος θερμός. Ἔτι δ' εἰ μὲν ἐν τῷ πνεύμονι
καὶ τῇ ἀρτηρίᾳ τὸ πεττόμενον, ἡ τοῦ θερμοῦ δύναμις ἐν τού-
τοις· ὅπερ οὔ φασιν, ἀλλ' ἐν τῇ κινήσει τῇ τοῦ πνεύματος
ἐκθερμαίνεσθαι τὴν τροφήν. Εἰ δ' ἐξ ἑτέρου τινὸς οἷον ἐπι-
σπᾶται ἢ [o] καὶ κινοῦντος δέχεται, τοῦτ' ἐστὶ θαυμασιώτερον.
5 Ἅμα δὲ καὶ οὐκ αὐτὸ [p] τὸ πρῶτον κινοῦν. Ἔτι δ' ἡ μὲν
ἀναπνοὴ μέχρι τοῦ πνεύμονος, ὥσπερ λέγουσιν αὐτοί, τὸ δὲ
πνεῦμα δι' ὅλου τὸ σύμφυτον. Εἰ δ' ἀπὸ τούτου [q] διαδίδο-
ται καὶ πρὸς τὰ κάτω καὶ πρὸς τὰ ἄλλα, πῶς ἡ πέψις οὕτω
ταχεῖα; Θαυμασιώτερον γὰρ τοῦτο καὶ μεῖζον· οὐ γὰρ δια-
πέμπει τοῦτό γ' εὐθὺς πεττόμενον τὸν ἀέρα [r] τοῖς κάτω.
6 Καίτοι τὸ μὲν [s] δόξειεν ἂν ἀναγκαῖον εἶναι [t] τοῦτο τῆς πέ-

[h] αὐτὸ—ἢ] αὐτῇ P.Q.B[a], αὐτὴ L. [i] τροφὴν γὰρ οἴεται om. L.P.Q.B[a]. [k] ὑγρότητα B[a]. [l] ὂν Q.B[a]. [m] παχύτης L.P.Q.Z.B[a]. [n] καὶ ὡς μαρτ. Z. [o] καὶ om. P.B[a]. [p] πρῶτον τὸ Z. [q] διαδίδωται Z, διαδίδωσι L.Q. [r] τοῖς κάτω] τοῖς ἄλλοις L, om. Q. [s] δόξειεν ἂν] δόξειεν Z, δόξει L.P.Q.B[a]. [t] τῆς πέψεως τοῦτο L.P.Q.B[a].

ψεως γινομένης ἐν τῷ πνεύμονι, τῆς τ' ἀναπνοῆς κοινωνούντων καὶ τῶν κάτω. Μεῖζον δ' οὕτως [v] ἔτι καὶ παραδοξότερον τὸ συμβαῖνον· οἷον γὰρ διόδῳ καὶ θίξει γίνεται μόνον ἡ πέψις. Ἄλογον δὲ καὶ τουτὶ καὶ [w] λογοδέστερον, εἰ ὁ αὐτὸς [x] λόγος τῆς τροφῆς καὶ τοῦ περιττώματος. Εἰ δὲ 7
δι' ἄλλου τινὸς τῶν ἐντός, οἱ αὐτοὶ λόγοι [y] οἵ καὶ πρότερον, εἰ μὴ τοῦτο [z] λέγοι τις, ὡς οὐ πάσης τῆς τροφῆς οὐδὲ πᾶσι γίνεται περίττωμα, καθάπερ οὐδὲ τοῖς φυτοῖς, ἐπεὶ οὐδὲ τῶν τοῦ σώματος μερῶν ἑκάστου λαβεῖν ἔστιν. Εἰ [a] δὲ μή, [b] οὔτι γε παντός. Ἀλλ' ἄρα γε [c] ἡ μὲν ἀγγείων αὔξησις ἡ αὐτὴ 8
καὶ τῶν ἄλλων μορίων, εὐρυνομένων δὲ καὶ διισταμένων τούτων [d] πλείων ὁ ἀὴρ ὁ εἰσρέων καὶ ἐκρέων. Εἰ δέ τι ἀναγκαῖον [e] ἐνυπάρχει, τοῦτο αὐτὸ ζητεῖται, τίς ὁ φυσικὸς καὶ πῶς οὗτος πλείων ὑγιῶς, [f] ἐκ τούτου φανερὸν ἂν εἶεν. Τοῖς δὲ 9
δὴ μὴ ἀναπνευστικοῖς τίς ἡ τροφὴ τοῦ [g] συμφύτου καὶ τίς ἡ αὔξησις; Οὐ γὰρ ἔτι τούτοις ἀπὸ τοῦ ἔξωθεν. Εἰ δ' ἀπὸ τῶν ἐντὸς καὶ τῆς κοινῆς τροφῆς, εὔλογον κἀκείνοις· ἀπὸ γὰρ τῶν αὐτῶν τὰ ὅμοια, καὶ ὡσαύτως. Εἰ μὴ ἄρα καὶ 10
τούτοις ἀπὸ τοῦ ἐκτός, ὥσπερ καὶ τῶν ὀσμῶν αἰσθάνονται. Ἀλλ' [h] οὕτω γ' οἷον ἀναπνοὴ γίνεται. Περὶ οὗ κἂν ἀπορήσειέ τις, εἰ κατὰ ἀλήθειάν ἐστιν, αὐτό τε τοῦτο [i] προφέρων καὶ τὴν ἐπίσπασιν τῆς τροφῆς (ὁλκὴ γὰρ ἅμα πνεύματος), ἔτι δ' ὑπὲρ τῆς καταψύξεως [k] ἀντιλέγων, ὡς κἀκείνων δεομένων. Εἰ δὲ διὰ τοῦ ὑποζώματος αὐτοῖς γίνεται, [l] ταύτῃ 11
δῆλον ὅτι καὶ ἡ τοῦ ἀέρος εἴσοδος· ὥσθ' ὅμοιόν τι τῇ ἀναπνοῇ. Πλὴν οὐκ ἀφορίζεται τίς ὁλκὴ καὶ ὑπὸ τίνος. Ἢ εἰ μὴ ὁλκή, πῶς ἡ εἴσοδος; εἰ μὴ ἄρα αὐτομάτως. Τοῦτο μὲν οὖν ἔχει καὶ αὐτὸ καθ' αὐτὸ σκέψιν. Τοῖς δὲ [m] δὴ ἐνύ- 12
γροις τίς ἡ τροφὴ καὶ αὔξησις τοῦ συμφύτου; Χωρὶς γὰρ

[v] ἔτι om. L.P.Q.B[a]. [w] λογοδέστερον Z, ἀλογωδέστερον L.P.Q.B[a]. [x] λόγος] λέγει L.Q. [y] καὶ οἱ L.Q. [z] λέγει B[a]. [a] δὲ om. P.B[a]. [b] ὅτι γε πάντως L.P.Q.B[a]. [c] ἡ μὲν] εἰ μὲν Z. [d] ὁ ἀὴρ πλείων L.Q. [e] ὑπάρχει B[a]. [f] ἐν τούτοις L.P.Q.B[a]. [g] ἐμφύτου P.Q. [h] οὕτω] οὗτοι L.P.B[a], οὔτι Q. [i] προσφέρων P.Q. [k] ἀντιλέγειν L.Q. [l] τοιαύτῃ L.Q. [m] δὴ] μὴ Q.

*τοῦ μὴ ἀναπνεῖν οὐδ' ἐνυπάρχειν ὅλως ἐν τῷ ὑγρῷ φαμὲν* [n] *ἀέρα. Λοιπὸν ἄρα διὰ τῆς τροφῆς, ὡς οὐχ ὁμοίως πᾶσιν, ἢ κἀκεῖνα διὰ τῆς τροφῆς τὰ ἔνυγρα· τριῶν γὰρ τούτων ἀναγκαῖον ἕν. Καὶ ταῦτα μὲν ὡς περὶ τὴν αὔξησιν καὶ τροφὴν* [o] *τοῦ πνεύματος.*

3 *Περὶ δὲ ἀναπνοῆς οἱ μὲν οὐ λέγουσι τίνος χάριν, ἀλλὰ μόνον ὃν τρόπον γίνεται, καθάπερ ˈἘμπεδοκλῆς καὶ Δημόκριτος· οἱ δ' οὐδὲ τὸν τρόπον* [p] *ὅλως λέγουσιν, ἀλλ' ὡς φανερῷ χρῶνται. Δεῖ δὲ καὶ εἰ καταψύξεως* [q] *χάριν, αὐτὸ τοῦτο διασαφῆσαι. Εἰ γὰρ ἐν τοῖς* [r] *ἄνω τὸ θερμόν, οὐκ*
2 *ἂν ἔτι* [s] *δέοιτο κάτω. Τὸ δὲ σύμφυτον πνεῦμα δι' ὅλου, καὶ* [t] *ἀρχὴ ἀπὸ τοῦ πνεύμονος. Δοκεῖ δὲ καὶ* [u] *τὸ τῆς ἀναπνοῆς εἰς πάντα* [v] *διαδίδοσθαι κατὰ συνέχειαν, ὥστε τοῦτο δεικτέον ὡς οὐκ ἔστιν. ˈἌτοπον δὲ εἰ μὴ δεῖταί τινος κινήσεως καὶ*
3 *οἷον τροφῆς. Εἰ δὲ διαπνεῖ πρὸς πᾶν, οὐκέτι καταψύξεως εἴη χάριν. ˈἈλλὰ* [w] *μὴν καὶ ἡ διάδοσις ἄλλως τ' ἀναίσθητος, καὶ τὸ τάχος αὐτῆς. Καὶ πάλιν τὸ τῆς παλιρροίας, εἴπερ ἀπὸ πάντων, θαυμαστόν, πλὴν* [x] *εἰ ἄλλον τρόπον ἀπὸ*
4 *τῶν ἐσχάτων. Τὸ δὲ πρώτως καὶ κυρίως ἀπὸ τῶν περὶ τὴν καρδίαν. ˈἘν πολλοῖς δ' οὕτω* [y] *τὸ τῶν ἐνεργειῶν καὶ τῶν δυνάμεων. ˈἌτοπον οὖν* [z] *ὅμως εἰ καὶ εἰς τὸ ὀστοῦν διαδίδο-*
5 *ται· καὶ γὰρ δὴ τοῦτό φασιν ἐξ ἀρτηριῶν. Διό, καθάπερ εἴρηται, σκεπτέον περὶ ἀναπνοῆς, καὶ τίνος ἕνεκα καὶ ποίοις μέρεσι καὶ πῶς.* [a] *ˈἜτι οὐδ' ἐπιφορὰ τῆς τροφῆς* [b] *φαίνεται πᾶσι δι' ἀρτηριῶν, οἷον αὐτοῖς* [c] *τε τοῖς ἀγγείοις καὶ ἄλλοις τισὶ τῶν μερῶν· ζῇ δὲ τὰ φυτὰ καὶ τρέφεται. Ταῦτα μὲν* [d] *οἰκειότερά πως* [e] *τοῖς περὶ τὰς τροφάς.*

4 *ˈἘπεὶ δὲ τρεῖς αἱ κινήσεις τοῦ ἐν τῇ ἀρτηρίᾳ πνεύματος, ἀναπνοή, σφυγμός, τρίτη δ' ἡ τὴν τροφὴν ἐπάγουσα καὶ*

[n] *ἀέρα ὅτι διὰ τῆς τροφῆς ἡ τοῦ πνεύματος γένεσις. λοιπὸν* L.P.Q.B[a]. [o] *τοῦ*] *καὶ τοῦ* P.Z.B[a]. [p] *ὅλως*] *αὐτῆς* L.P.Q.B[a]. [q] *χάριν* om. Q. [r] *ἄνω τὸ*] *ἄνωθεν* L.P.Q.B[a]. [s] *δέοιτο*] *οἱ* L.P.Q.B[a]. [t] *ἀρχὴν* P.B[a]. [u] *τὸ*] *τὰ* L.P.Q.B[a]. [v] *διάδοσθαι* Q. [w] *μὴ* Q. [x] *εἰ* om. P.Q. [y] *τὸ* om. L.Q. [z] *ὁμοίως* L.Q. [a] *ἔτι δὲ οὐδ'* L.P.Q.B[a]. [b] *φέρεται* L.P.Q.B[a]. [c] *τε*] *τῶν* Q. [d] *οἰκειότερον* Q. [e] *τῶν* L.Q.

κατεργαζομένη, λεκτέον ὑπὲρ ἑκάστης καὶ ποῦ καὶ πῶς καὶ
τίνος χάριν. Τούτων δ' ἡ μὲν τοῦ σφυγμοῦ [f] καὶ τῇ αἰσθή- 2
σει [g] φανερὰ καθ' ὁτιοῦν μέρος ἁπτομένοις, ἡ δὲ τῆς ἀνα-
πνοῆς μέχρι μέν του [h] φανερά, τὸ δὲ πλέον κατὰ λόγον, ἡ
δὲ τῆς τροφῆς ἅπασα κατὰ λόγον ὡς εἰπεῖν, ὡς ἐκ τῶν
συμβαινόντων δὲ κατὰ τὴν αἴσθησιν. Ἡ μὲν οὖν ἀναπνοὴ 3
δῆλον ὡς ἀπὸ τοῦ ἐντὸς ἔχει τὴν ἀρχήν, εἴτε ψυχῆς δύνα-
μιν εἴτε ψυχὴν δεῖ λέγειν ταύτην, εἴτε καὶ ἄλλην τινὰ σω-
μάτων μίξιν, ἣ δι' αὐτῶν ποιεῖ τὴν τοιαύτην ὁλκήν. Ἡ 4
δὲ θρεπτικὴ [i] δόξειεν ἂν ἀπὸ τῆς ἀναπνοῆς· αὕτη γὰρ ἀντα-
ποδίδοται, καὶ ὁμοία τῷ ἀληθεῖ. Εἰ δὲ μή, πᾶν ὁμαλίζει
τοῖς χρόνοις τὸ σῶμα κατὰ τὴν τοιαύτην κίνησιν. Ἢ
εἰ μηδὲν διαφέρει τὸ ἅμα, πάντα τὰ μέρη σκεπτέον. Ὁ 5
δὲ σφυγμὸς ἴδιός τις [k] παρ' αὐτάς, τῇ μὲν ἂν δοκῶν [l] εἶναι
κατὰ συμβεβηκός, εἴπερ, ὅταν ἐν ὑγρῷ πλῆθος ᾖ θερμό-
τητος, ἀνάγκη τὸ ἐκπνευματούμενον διὰ τὴν [m] ἐναπόληψιν
ποιεῖν σφυγμόν, ἐν τῇ ἀρχῇ δὲ καὶ πρῶτον, εἴπερ τοῖς
πρώτοις σύμφυτον· [n] ἐν γὰρ τῇ καρδίᾳ μάλιστα καὶ πρῶτον,
ἀφ' ἧς καὶ τοῖς ἄλλοις. Τάχα δὲ πρὸς τὴν ὑποκειμένην 6
οὐσίαν τοῦ ζῴου [o] τὴν ἐκ τῆς ἐνεργείας ἀνάγκη τοῦτο [p] πα-
ρακολουθεῖν. Ὅτι δ' οὐδὲν πρὸς τὴν ἀναπνοὴν ὁ σφυγμός,
σημεῖον· ἐάν τε γὰρ πυκνὸν ἐάν τε ὁμαλὸν ἐάν τε σφοδρὸν
ἢ [q] πρᾶον ἀναπνέῃ τις, ὅ [r] γε σφυγμὸς ὅμοιος καὶ [s] ὁ αὐτός,
ἀλλ' ἡ ἀνωμαλία γίνεται καὶ ἐπίτασις ἔν τε σωματικοῖς τισὶ
πάθεσι καὶ ἐν τοῖς τῆς ψυχῆς φόβοις ἐλπίσιν [t] ἀγωνίαις.
Εἰ δὲ καὶ ἐν ταῖς ἀρτηρίαις ὁ σφυγμός, καὶ ὁ αὐτὸς ὢν 7
[v] ῥυθμῷ καὶ ὁμαλὸς ᾖ, σκεπτέον· οὐκ ἔοικε δέ γε τοῖς μακρὰν
ἀπηρτημένοις. Ἥκιστα δ' ἕνεκά του φαίνεται γίνεσθαι,
καθάπερ εἴρηται. Τὸ γὰρ αὖ τῆς ἀναπνοῆς καὶ τῆς ἐπα-

[f] καὶ τῇ αἰσθήσει om. L. [g] φανερὸν L. [h] φανεροῦ L.Q. [i] δόξειεν —γὰρ] lacunam litterarum sex P.Q, undecim L, quindecim Ba. [k] παρὰ ταύτας πῇ L.P.Q.Ba. [l] εἶναι] τις Q, τῆς L. [m] ἐναπόλυσιν P.Ba, ἀναπόλησιν L.Q. [n] ἐν γὰρ—ἄλλοις om. L.P.Q.Ba. [o] τὴν] τῆς L.P.Q.Ba. [p] παρακολουθεῖ L. [q] πραέον Z.Ba. et corr. P. [r] γε] τε L.P.Q.Z.Ba. [s] ὁ om. L.Q. [t] ἀγω εἰ Q. [v] ῥυθμῷ] ἐν θυμῷ L.Q.

γωγῆς, εἴθ' ὡς [w] ἕτερα πάμπαν ἀλλήλων εἴθ' ὡς θάτερον
πρὸς θάτερον, ἕνεκά του φαίνεται καὶ ἔχει τινὰ λόγον.
8 Τριῶν δ' οὐσῶν πότερον εὔλογον εἶναι τὴν [x] γε σφυγμώδη
καὶ τὴν ἀναπνευστικήν; Ἡ γὰρ τροφὴ προϋπάρχοντος.
Ἢ οὔ; Τὸ μὲν γὰρ ἀναπνεῖν, ὅταν ἀπολυθῇ τῆς κυούσης,
ἡ δ' ἐπιφορὰ καὶ [y] ἡ τροφὴ καὶ ξυνισταμένου καὶ ξυνεστηκό-
τος, ὁ δὲ σφυγμὸς εὐθὺς ἐν τῇ ἀρχῇ ξυνισταμένης τῆς καρ-
9 δίας, καθάπερ ἐν τοῖς [z] ᾠοῖς γίνεται φανερόν. Ὥστε αὕτη
[a] πρώτη, καὶ ἔοικεν ἐνεργείᾳ τινὶ καὶ οὐκ [b] ἐναπολήψει πνεύ-
5 ματος, εἰ μὴ ἄρα τοῦτο πρὸς τὴν ἐνέργειαν. Τὸ [c] δὲ πνεῦμα
τὸ ἐκ τῆς ἀναπνοῆς φέρεσθαι μὲν εἰς τὴν κοιλίαν, [d] οὐ διὰ
τοῦ στομάχου (τοῦτο μὲν γὰρ ἀδύνατον), [e] ἀλλὰ πόρον εἶναι
παρὰ τὴν ὀσφύν, δι' οὗ [f] τὸ πνεῦμα τῇ ἀναπνοῇ [g] φέρεσθαι
ἐκ τοῦ [h] βραγχίου εἰς τὴν κοιλίαν καὶ πάλιν ἔξω· τοῦτο δὲ
2 τῇ αἰσθήσει φανερόν. Ἔχει δ' ἀπορίαν καὶ τὰ περὶ τὴν αἴ-
σθησιν. Εἰ γὰρ ἡ ἀρτηρία μόνον αἰσθάνεται, [i] πότερα τῷ
πνεύματι τῷ δι' αὐτῆς, ἢ τῷ ὄγκῳ, ἢ τῷ σώματι; Ἢ εἴπερ
ὁ ἀὴρ πρῶτον ὑπὸ [k] τὴν ψυχήν, τῷ κυριωτέρῳ τε καὶ [l] προ-
τέρῳ; Τί οὖν ἡ ψυχή; Δύναμίν [m] φασι τὴν αἰτίαν τῆς κι-
3 νήσεως τῆς τοιαύτης. Ἢ δῆλον ὡς οὐκ ὀρθῶς ἐπιτιμήσεις
τοῖς τὸ [n] λογιστικὸν καὶ θυμικόν· καὶ γὰρ οὗτοι ὡς [o] δυνά-
μεις λέγουσιν. Ἀλλ' εἰ δὴ ἡ ψυχὴ ἐν τῷ ἀέρι τούτῳ, οὗτός
γε κοινὸς ἢ πάσχων γέ [p] τι καὶ ἀλλοιούμενος, εὐλόγως ἂν
εὔψυχον [q] ἡ ψυχή, πρὸς τὸ συγγενὲς φέρεται, καὶ τῷ ὁμοίῳ
4 τὸ ὅμοιον αὔξεται. Ἢ οὔ; Τὸ γὰρ ὅλον οὐκ ἀήρ, ἀλλὰ
συμβαλλόμενόν [r] τι πρὸς ταύτην τὴν δύναμιν ὁ ἀήρ, ἢ οὐ τὸ
ταύτην ποιοῦν, καὶ τὸ ποιῆσαν τοῦτ' ἀρχὴ καὶ ὑπόθεσις.
Τοῖς [s] δὲ μὴ ἀναπνέουσιν, ἵνα ἀνεπίμικτος τῷ ἔξω. Ἢ οὔ,

[w] ἕτερον σύμπαν L.Q. [x] γε om. L.Q. [y] ἡ addidit Z. [z] ᾠοῖς om. Q. [a] πρώτερον Q. [b] ἐν ἀπολύσει P.B[a]. [c] δ' ἐκ τῆς ἀναπνοῆς πνεῦμα L.Q. [d] οὐ—ἀδύνατον add. Z. [e] ἀλλ' ἄπορον L.P.Q.B[a]. [f] τὸ πνεῦμα post φέρεσθαι P.B[a]. [g] φέρεται Z. [h] βρογχίου Z. [i] πότερον L.Q. [k] τὴν om. Z. [l] πρότερον L.Q. [m] φασι] φανερὸν L. [n] λογικὸν L.P.Q.B[a]. [o] δυνάμει L.P.Q.B[a]. [p] τι] τε L.Q. [q] ἡ] ἢ P.B[a]. [r] τε L.Q. [s] δὴ L.

ἀλλὰ κατ' ἄλλον τρόπον μιγνύμενος; Τίς οὖν ἡ διαφορὰ
τοῦ ἐν τῇ ἀρτηρίᾳ πρὸς τὸν ἔξω; Διαφέρειν γὰρ εὔλογον,
τάχα δὲ καὶ ἀναγκαῖον, λεπτότητι. ʽἈλλ' ἔτι δὲ καθ' [t] αὑ- 5
τὸν θερμὸς ἢ ὑφ' ἑτέρου; Φαίνεται γὰρ ὁ ἔσω καθά[v]περ ὁ
ἔξω· βοηθεῖται δὲ τῇ καταψύξει. [w] Πότερα δέ; ʽἜξω μὲν
γὰρ πραΰς, ἐμπεριληφθεὶς δὲ πνεῦμα, καθάπερ [x] πυκνωθεὶς
καὶ διαδοθείς πως. ʽἩ μίξιν τινὰ [y] ἀνάγκη λαμβάνειν, ἐν 6
ὑγρότητί τε καὶ σωματικοῖς ὄγκοις ἀναστρεφόμενον; Οὐκ
ἄρα [z] λεπτότατος, εἴπερ μέμικται. Καὶ μὴν εὔλογόν [a] γε
[b] τὸ πρῶτον δεκτικὸν ψυχῆς, εἰ μὴ ἄρα καὶ [c] ἡ ψυχὴ τοιοῦ-
τον, καὶ οὐ καθαρόν τι καὶ ἀμιγές, τὴν ἀρτηρίαν μόνον εἶναι
[d] δεκτικὴν πνεύματος, τὸ δὲ νεῦρον οὔ. Διαφέρει δὲ καὶ ὅτι 7
τὸ μὲν νεῦρον ἔχει τάσιν, ἡ δ' ἀρτηρία ταχὺ διαρρήγνυται,
καθάπερ καὶ ἡ φλέψ. Τὸ δὲ δέρμα ἐκ φλεβὸς [e] καὶ νεύρου
καὶ ἀρτηρίας, ἐκ φλεβὸς μὲν ὅτι κεντηθὲν αἷμα ἀναδίδωσιν,
ἐκ νεύρου δὲ ὅτι [f] τάσιν ἔχει, ἐξ ἀρτηρίας δὲ ὅτι διαπνοὴν
ἔχει. Μόνον γὰρ δεκτικὸν πνεύματος ἡ ἀρτηρία. Τὰς δὲ 8
φλέβας ἔχειν πόρους, ἐν αἷς τὸ θερμὸν ὂν ὥσπερ ἐν [g] χαλ-
κείῳ θερμαίνειν τὸ αἷμα· φύσει γὰρ οὐκ εἶναι θερμόν, ἀλλ'
ὥσπερ [h] τὰ τηκτὰ καταδιαχεῖσθαι· [i] διὸ καὶ πήγνυσθαι τὴν
ἀρτηρίαν, καὶ ἔχειν ὑγρότητα [k] καὶ ἐν αὐτῇ καὶ [l] ἐν τοῖς
χιτῶσι τοῖς περιέχουσι τὸ κοίλωμα. Φανερὸν [m] δ' ἔκ τε 9
τῶν [n] ἀνατομῶν εἶναι, καὶ ὅτι εἰς τὸ ἔντερον καὶ [o] εἰς τὴν
κοιλίαν αἵ τε φλέβες καὶ [p] αἱ ἀρτηρίαι συνάπτουσιν, ἃς εἰκὸς
εἶναι τὴν τροφὴν ἕλκειν. ʽἘκ δὲ τῶν φλεβῶν εἰς τὰς σάρκας
διαδίδοσθαι τὴν τροφήν, οὐ κατὰ τὰ πλάγια ἀλλὰ κατὰ τὸ
στόμα, καθάπερ σωλῆνας. ʽἈποτείνει γὰρ ἐκ τῶν πλαγίων 10
φλεβῶν φλέβια λεπτὰ ἐκ τῆς μεγάλης φλεβὸς καὶ τῆς ἀρ-

[t] ἑαυτὸν L.Q. [v] περ add. Z. [w] ποτέρα B$^{a}$, πότερον L.Q. [x] πυκνωθὲν Q. [y] ἀναγκαῖον L.Q. [z] λεπτότητος B$^{a}$. [a] τε P.B$^{a}$. [b] τὸ πρῶτον om. L. [c] ἡ om. Q. [d] δεκτικὸν L.Q. [e] καὶ νεύρου om. L.Q.B$^{a}$. [f] τάσιν ἔχει] τείνεται L.Q. [g] χαλκείοις L.P.Q.B$^{a}$. [h] τὰ τηκτὰ] ταύτῃ L.P.Q.B$^{a}$. [i] καὶ διὸ L.P.Q.B$^{a}$. [k] καὶ ante ἐν om. L.Q. [l] ἐν add. Z. [m] δ' add. Z. [n] ἀτόμων Q. [o] εἰς om. Q. [p] ἡ ἀρτηρία P.B$^{a}$.

τηρίας παρ' ἑκάστην πλευράν, καὶ [q] ἀρτηρίαν καὶ φλέβα παρακεῖσθαι· καὶ τὰ ὀστέα δὲ καθάπτειν τὰ νεῦρα καὶ τὰς φλέβας [r] καὶ εἰς [s] μέσα καὶ εἰς τὰς συμβολὰς τῶν κεφαλῶν, δι' ὧν τὴν τροφὴν δέχεσθαι τοὺς ἰχθύας καὶ ἀναπνεῖν· εἰ δὲ μὴ
11 ἀνέπνεον, ἐξαιρεθέντας ἂν ἐκ τοῦ ὑγροῦ εὐθὺς θνήσκειν. Τὰς δὲ φλέβας καὶ τὰς ἀρτηρίας συνάπτειν εἰς ἀλλήλας καὶ τῇ αἰσθήσει φανερὸν εἶναι. Τοῦτο δ' οὐκ ἂν συμβαίνειν, εἰ μὴ ἐδεῖτο καὶ τὸ ὑγρὸν πνεύματος καὶ τὸ πνεῦμα ὑγροῦ, [t] τῷ θερμὸν εἶναι ἐν νεύρῳ καὶ ἀρτηρίᾳ καὶ φλεβί, θερμότατον δὲ
12 καὶ οἷον φλεβωδέστατον τὸ ἐν τῷ νεύρῳ. Ἄτοπον οὖν τῇ τοῦ πνεύματος χώρᾳ τὸ θερμόν, ἄλλως τε καὶ καταψύξεως χάριν. Εἰ δὲ ποιεῖ καὶ οἷον ἀναζωπυρεῖ θερμῷ τὸ θερμόν, γίγνοιτ' ἄν. Ἔτι πάντων τῶν ἐχόντων θερμότητα σύμφυτόν πως ἡ διαμονή, μηδενὸς ἀντικειμένου μηδὲ καταψύχοντος.
13 Ὅτι γὰρ πάντα δεῖται καταψύξεως, σχεδὸν φανερὸν [v] τῷ αἷμα κατέχειν ἐν τῇ φλεβὶ τὸ θερμὸν οἷον ἀποστέγον· διὸ καὶ ὅταν ἐκρυῇ, μεθιέναι τε καὶ [w] ἀποθνήσκειν, τῷ τὸ ἧπαρ οὐκ ἔχειν οὐδεμίαν ἀρτηρίαν.

6 Πότερον δὲ τὸ σπέρμα διὰ τῆς ἀρτηρίας ὡς καὶ συνθλιβόμενον, καὶ ἐν τῇ προέσει μόνον; Ἐν οἷς δὴ φαίνεται καὶ ἡ ἐξ αἵματος μεταβολὴ τῷ τὰ νεῦρα ἀπὸ τῶν ὀστῶν τρέφεσθαι· [x] καθάπτει γὰρ αὐτά. Ἢ οὔτε τοῦτ' ἀληθές· καὶ γὰρ ἐν τῇ καρδίᾳ νεῦρον, καὶ νεῦρα δὲ ἐκ τῶν ὀστῶν ἠρτημένα. Οὐ συνάπτει δὲ ἐν ἑτέρῳ, ἀλλ' εἰς σάρκα ἀποτελευ-
2 τᾷ. Ἢ τοῦτό γ' οὐθέν· εἴη γὰρ ἂν οὐθὲν ἧττον ἀπὸ τοῦ ὀστοῦ ἡ τροφή. Αὐτοῖς δ' ἀπὸ τοῦ νεύρου τοῖς ὀστοῖς μᾶλλον τὴν τροφήν. Ἄτοπον γὰρ καὶ τοῦτο ξηρὸν φύσει καὶ οὐκ ἔχον πόρους ὑγρούς· ἡ τροφὴ δ' ὑγρόν. Σκεπτέον δὲ πότερον, εἴπερ ἀπὸ τῶν ὀστῶν, τίς ἡ τοῦ ὀστοῦ τροφή, ἢ [y] φέρουσι πόροι [z] καὶ ἐκ τῆς φλεβὸς καὶ ἐκ τῆς ἀρτηρίας εἰς

